§. 2. ἀλλ' s. II, 1, 20 z. d. W. οὕτω = ὧδε, aufs Folgende. — χρὴ ποιεῖν sc. ὑμᾶς ist vor ὥσπερ λέγ. noch einmal zu denken.

ὁποῖον — συμφέρ., Accus. c. Inf. im Relativ., s. I, 9, 29 z. ὃν — εἶναι. — ὁποῖον — τι, s. I, 8, 8 z. τις u. I, 3, 5 z. ὅ,τι ἄν. — οὐδέ, s. I, 3, 3 z. ἀλλ' οὐδέ.

§. 3. ἰέναι hängt zum Ausdruck der beabsichtigten Folge von οὐκ ἐγίγν. ab. — γίγνεσθαι = von statten gehen, gut ausfallen. — ἡμῶν, im D. durch eine Präpos. mit ihrem Kasus. — ὁ Τίγρης ποταμ. ist ein Irrtum des Klearchos; es kann nur ein Kanal gewesen sein. — οὐ μὲν δή = doch fürwahr hier wenigstens, s. I, 9, 13 z. d. W. — τὰ — ἐπιτήδ., s. I, 3, 20 z. τὴν δίκ. — ἰέναι — καλὰ — ἦν, der Inf. hängt von καλ. ἦν = ἐγίγνετο ab.

§. 4. ἀπιόντας, ist prädik. Partic. zu dem zu ergänzenden ἡμᾶς = abituros und hängt so von χρή ab. Im D. koordin. jedoch ἀπιόντ. dem δειπν. und gebrauche des folg. συσκευάζ. wegen sofort den Imperat.; beachte den Übergang aus der abhängigen in die direkte Aufforderung — τις nach ἀπιόντ. = jeder. — σημήνῃ, s. I, 2, 17 z. ἐσάλπιγ. und I, 1, 10 z. πρὶν ἄν. — ὡς hat auch hier den Begriff des Scheinbaren; denn Kl. will die Feinde täuschen. Zur Sache s. Exk. §. 25 u. 47. — ἐπὶ δὲ τῷ τρίτῳ, das im Verb. liegende Substantiv wird auch als Objekt oder Adverbialbest. ausgelassen. — τῷ ἡγουμ., s. Exk. §. 28. — τὰ μὲν ὑποζύγ., s. Exk. §. 45. — ἔχοντες, s. I, 1, 2 z. λαβών. — πρὸς τοῦ ποταμ., s. I, 10, 3 z. πρὸς τῶν Ἑλλήν.; ähnlich das Lat.: ab

1. früh Morgens. 2. nur gut, so müßt ihr handeln: wenn wir herankommen, so gut, wie ihr sagt. 3. was er aber thun wollte, sagte er auch diesen nicht. 4. mit Recht. 5. nach-hin. 6. aufzupacken

5 ποταμοῦ, τὰ δὲ ὅπλα ἔξω. ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ λοχαγοὶ ἀπῆλθον καὶ ἐποίουν οὕτω. καὶ τὸ λοιπὸν ὁ μὲν ἦρχεν, οἱ δὲ ἐπείθοντο, οὐχ ἑλόμενοι, ἀλλὰ ὁρῶντες, ὅτι μόνος ἐφρόνει οἷα δεῖ τὸν ἄρχοντα, οἱ δ' ἄλλοι ἄπειροι ἦσαν.
6 [ἀριθμὸς τῆς ὁδοῦ, ἣν ἦλθον ἐξ Ἐφέσου, τῆς Ἰωνίας μέχρι τῆς μάχης, σταθμοὶ τρεῖς καὶ ἐνενήκοντα, παρασάγγαι πέντε καὶ τριάκοντα καὶ πεντακόσιοι, στάδιοι πεντήκοντα καὶ ἑξακισχίλιοι καὶ μύριοι· ἀπὸ δὲ τῆς μάχης ἐλέγοντο εἶναι εἰς Βα-
7 βυλῶνα στάδιοι ἑξήκοντα καὶ τριακόσιοι]. ἐντεῦθεν, ἐπεὶ σκότος ἐγένετο, Μιλτοκύθης μὲν ὁ Θρᾷξ ἔχων τούς τε ἱππέας τοὺς μεθ' ἑαυτοῦ εἰς τετταράκοντα καὶ τῶν πεζῶν Θρᾳκῶν ὡς
8 τριακοσίους ηὐτομόλησε πρὸς βασιλέα. Κλέαρχος δὲ τοῖς ἄλλοις ἡγεῖτο κατὰ τὰ παρηγγελμένα, οἱ δ' εἵποντο· καὶ ἀφικνοῦνται εἰς τὸν πρῶτον σταθμὸν παρὰ Ἀριαῖον καὶ τὴν ἐκείνου στρατιὰν ἀμφὶ μέσας νύκτας· καὶ ἐν τάξει θέμενοι τὰ ὅπλα συνῆλθον οἱ στρατηγοὶ καὶ λοχαγοὶ τῶν Ἑλλήνων παρ' Ἀριαῖον· καὶ ὤμοσαν οἵ τε Ἕλληνες καὶ Ἀριαῖος καὶ τῶν σὺν αὐτῷ οἱ κράτιστοι μήτε προδώσειν ἀλλήλους σύμμαχοί τε ἔσε-

amne. — τὰ ὅπλα, Metonymie wie I, 7, 10 z. ἀσπίς. — ἔξω sc. des in der Mitte zwischen dem Flusse und den Hopliten befindlichen Trosses = die äußere Seite, die dem feindlichen Angriffe ausgesetzt ist.

§. 5. ταῦτα ἀκούσ., welches Asyndeton? was genügt im D.? s. I, 3, 13 z. ταῦτα εἰπ. — τὸ λοιπόν = fernerhin. — ὁ μέν, Klearchos. — οὐχ ἑλόμ., s. I, 2, 22 z. οὐδεν. κωλύοντ. oder nach I, 1, 6 z. ἐπιβουλ. 3. konzessiv. — ὁρῶντες, kausal. — ἐφρόν., Urteil Xenoph.'s. — δεῖ, warum kann der Inf. φρονεῖν fehlen?

§. 6. ἀριθμ., die Summe der im 1. B. angegebenen Tagereisen beträgt von Sardes aus 84, und 517 Parasangen = 15,510 Stadien. Es kommen somit auf die kurze Strecke von Ephesus bis Sardes 9 Tagereisen und 18 Parasangen. — τῆς Ἰωνίας, Genit. partit. bei geographischen Angaben.

μάχη Metonymie für: Schlachtfeld.

ἐλέγοντο, Xen. wußte das nur von Hörensagen.

ἑξήκοντα. Plut. giebt 500 Stadien an.

§. 7. ἐντεῦθεν bezieht sich auf I, 10, 17. — τοὺς μεθ' ἑαυτοῦ. I, 3, 9 fehlte die Präposition. — Unter welchem Strategen diese Reiter standen, lehrt I, 5, 13. — εἰς u. ὡς bei Zahlen s. I, 1, 10 z. εἰς δισχιλ.

§. 8. ἡγεῖτο nicht als Wegweiser. — κατὰ τὰ παρηγ., s. §. 4. — πρῶτον, vom Schlachtfelde aus; es ist der I, 10, 1 und II, 1, 3 erwähnte, also auf der Rückkehr. Wir nennen ihn in Beziehung auf den Hinmarsch den letzten, den 'nächsten'. — ἐκείνου, s. I, 2, 15 z. d. W. — ἀμφὶ μέσ. νύκτ., s. I, 7, 1 z. d. W. — θέμενοι, Exk. §. 25, Anm. 4, 3. S. 18. — οἱ στρατ., partitive Apposition z. θέμεν. sc. οἱ Ἕλληνες. Ähnliche Konstr. schon I, 8, 27 z. μαχόμενοι. — μήτε — τε, solcher Übergang auch im Lat. neque — et. —

1. — den Hopliten. 2. obgleich sie ihn nicht dazu gewählt hatten, sondern weil sie sahen. 3. in Reih u. Glied die Waffen niedergelegt hatten.

σθαι· οἱ δὲ βάρβαροι προσώμοσαν καὶ ἡγήσεσθαι ἀδόλως. ταῦτα δ' ὤμοσαν, σφάξαντες ταῦρον [καὶ λύκον] καὶ κάπρον 9
καὶ κριὸν εἰς ἀσπίδα, οἱ μὲν Ἕλληνες βάπτοντες ξίφος, οἱ δὲ βάρβαροι λόγχην. ἐπεὶ δὲ τὰ πιστὰ ἐγένετο, εἶπεν ὁ Κλέαρ- 10
χος, Ἄγε δή, ὦ Ἀριαῖε, ἐπείπερ ὁ αὐτὸς ὑμῖν στόλος ἐστὶ καὶ ἡμῖν, εἰπέ, τίνα γνώμην ἔχεις περὶ τῆς πορείας, πότερον ἄπιμεν ἥνπερ ἤλθομεν ἢ ἄλλην τινὰ ἐννενοηκέναι δοκεῖς ὁδὸν
κρείττω. ὁ δ' εἶπεν, Ἣν μὲν ἤλθομεν ἀπιόντες παντελῶς ἂν 11
ὑπὸ λιμοῦ ἀπολοίμεθα· ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων. ἑπτακαίδεκα γὰρ σταθμῶν τῶν ἐγγυτάτω οὐδὲ δεῦρο ἰόντες ἐκ τῆς χώρας οὐδὲν εἴχομεν λαμβάνειν· ἔνθα δέ τι ἦν, ἡμεῖς διαπορευόμενοι κατεδαπανήσαμεν. νῦν δ' ἐπινοοῦμεν πορεύεσθαι μακροτέραν μέν, τῶν δ' ἐπιτηδείων οὐκ
ἀπορήσομεν. πορευτέον δ' ἡμῖν τοὺς πρώτους σταθμοὺς ὡς 12
ἂν δυνώμεθα μακροτάτους, ἵνα ὡς πλεῖστον ἀποσπάσωμεν τοῦ βασιλικοῦ στρατεύματος· ἢν γὰρ ἅπαξ δύο ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκέτι μὴ δύνηται βασιλεὺς ἡμᾶς κα-

προσώμοσ., warum πρός? — ἡγήσεσθαι = den Weg führen.

§. 9. σφάξαντ., s. II, 1, 8 z. παραδόντας. — σφάξ. εἰς, prägnant, weil es den Begriff: 'das Blut fließen lassen' involviert. — Bei feierlichen Eidschwüren, bei denen gern drei Götter angerufen wurden, namentlich bei Bündnissen war es üblich, insofern ein Drittopfer (τριττύς, die Suovetaurilia der Römer) damit verbunden war, entweder die Hand oder wie hier ein Schwert in das aufgefangene Blut zu tauchen, worin die symbolische Andeutung eines ähnlichen Schicksals für den Fall des Eidbruchs enthalten war. — Den Wolf scheinen hier die Perser zugefügt zu haben. Er war nach ihrer Auffassung dem Ariman, dem Gebieter der bösen Geister der Finsternis, geweiht. Der Zweifel einiger, daſs sich Wölfe in jenen Gegenden finden, ist dadurch gehoben, daſs Layard in der Gegend von Mosul (cfr. unten) Jagd auf einen solchen gemacht hat.

§. 10. πιστά = Treuschwur, Vertrag, s. auch I, 2, 26 z. d. W. — ἥνπερ bezieht sich auf das nachfolgende ὁδόν, das Xen. schon bei ἄπιμεν in Gedanken hat. — Im folgenden §. fehlt das Hauptw. ganz, weil es sich in solchen Verbindungen von selbst versteht.

§. 11. ἀπιόντ., konditional. — ἂν ἀπόλ. s. I, 6, 2 z. ἄν. — οὐδὲν τῶν ἐπιτ., der D. koordiniert, während der Grieche subordiniert. — σταθμῶν, Genit. der Zeit, durch eine Präpos. mit ihrem Kasus zu übersetzen. — τῶν ἐγγυτ. s. I, 1, 10 z. τῶν οἰκ. — δεῦρο ἰόντ., durch ein Hauptw.

τῶν δ' ἐπιτηδ., koordiniert, während wir subordinieren, relativ „auf dem wir"; doch kann man auch 'dafür' einschalten u. gleichfalls koordinieren.

§. 12. πορ. ἡμῖν, im D. persönl. — πρώτ. adverb. — πορεύεσθ. σταθμ.: iter facere. — μακροτάτ., s. I, 5, 7 z. d. W. u. I, 1, 6 z. ὡς μάλιστα. — βασιλικοῦ, s. I, 5, 2 z. ἐλαφεί. — τοῦ βασ. στρατ., den Genit. bei den Verben der Trennung übers. wie den entspr. lat. Abl., in der Regel mit „von". — οὐκέτι μή, eine

1. Schilder. 2. Lanze. 3. im Sinne haben. 4. auf den nächsten 17 St. ἐγγ. adv. durch Art. adj. 5. wo. 6. verbrauchen. 7. dafür werden wir aber etc.

ταλαβεῖν. ὀλίγῳ μὲν γὰρ στρατεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων στόλον οὐ δυνήσεται ταχέως πορεύεσθαι· ἴσως δὲ καὶ τῶν ἐπιτηδείων σπανιεῖ. ταύτην, ἔφη, τὴν γνώμην ἔχω ἔγωγε.

13 Ἦν δὲ αὕτη ἡ στρατηγία οὐδὲν ἄλλο δυναμένη ἢ ἀποδρᾶναι ἢ ἀποφυγεῖν. ἡ δὲ τύχη ἐστρατήγησε κάλλιον. ἐπεὶ
6. Septb.] γὰρ ἡμέρα ἐγένετο, ἐπορεύοντο ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν ἅμα ἡλίῳ δύνοντι εἰς κώμας τῆς
14 Βαβυλωνίας χώρας· καὶ τοῦτο μὲν οὐκ ἐψεύσθησαν. ἔτι δὲ ἀμφὶ δείλην ἔδοξαν πολεμίους ὁρᾶν ἱππέας· καὶ τῶν τε Ἑλλήνων οἳ μὴ ἔτυχον ἐν ταῖς τάξεσιν ὄντες εἰς τὰς τάξεις ἔθεον, καὶ Ἀριαῖος, ἐτύγχανε γὰρ ἐφ' ἁμάξης πορευόμενος,
15 διότι ἐτέτρωτο, καταβὰς ἐθωρακίζετο καὶ οἱ σὺν αὐτῷ. ἐν ᾧ δὲ ὡπλίζοντο ἧκον λέγοντες οἱ προπεμφθέντες σκοποί, ὅτι οὐχ ἱππεῖς εἶεν ἀλλ' ὑποζύγια νέμοιντο. καὶ εὐθὺς ἔγνωσαν πάντες, ὅτι ἐγγύς που ἐστρατοπεδεύετο βασιλεύς· καὶ γὰρ καπ-
16 νὸς ἐφαίνετο ἐν κώμαις οὐ πρόσω. Κλέαρχος δὲ ἐπὶ μὲν τοὺς πολεμίους οὐκ ἦγεν· ᾔδει γὰρ καὶ ἀπειρηκότας τοὺς στρατιώτας καὶ ἀσίτους ὄντας· ἤδη δὲ καὶ ὀψὲ ἦν. οὐ μέντοι οὐδὲ

elliptische Verbindung, indem bei οὐ ein Begriff der Furcht (κίνδυνός ἐστι) zu ergänzen ist, von dem μή abhängt = es ist nicht mehr zu fürchten, daſs. — στρατεύματι, s. I, 7, 14 z. συντεταγ. — στόλος in andrer Bedeutung als §. 10. — ταύτην — ἔγωγε durch Stellung betont.

§. 13—21. Die Griechen ziehen im Verein mit Ariaios ab.

§. 13. οὐδὲν ἄλλο — ἤ. In dieser Formel liegt der Ton auf ἄλλο. — ἦν δυναμένη, in der gesonderten Bezeichnung der Handlung (Partic.) und ihrer Existenz liegt ein gewisser Nachdruck; δύνασθαι, zu bedeuten haben. — ἀποδρᾶναι, s. I, 4, 8 z. d. W. — κάλλιον, weil die Perser darin nicht einen Rückmarsch aus strategischen Gründen, sondern ein Vorrücken und einen Angriff sahen. — ἐν δεξιᾷ ἔχον. τ. ἥλ. d. h. nordwärts. Grote (Geschichte, V.) versteht darunter einen östlichen Marsch; denn, sagt er, diese Worte beziehen sich nicht sowohl auf den genauen Punkt wo, oder den Augenblick, wann die Sonne aufgeht, sondern auf ihren täglichen Weg am Himmel und auf die Richtung des Tagemarsches im Allgemeinen. — τοῦτο — ἐψεύσθ., s. I, 8, 10 z. d. W. und I, 3, 3 z. τά τε ἄλλα.

§. 14. δείλη ist auch hier δ. πρωΐα, wie §. 16 lehrt, s. I, 8, 8 z. d. W. — τῶν τε Ἑλλήν., Gen. part. zum folgenden οἵ. — οἳ μὴ hypothet. Relativs. statt εἴ τινες μή. Kennzeichen solcher Sätze ist μη. — ἐτύγχ. — ἐτέτρωτο, Parenthese. — γάρ wegen des folg. καταβάς. — καὶ οἱ σὺν αὐτῷ., die Konjunktio.

§. 15. λέγοντ., nach I, 1, 6 z. ἐπιβουλ. 1.

§. 16. ἦγεν, intrans. — ᾔδει c. Partic. s. I, 1, 7 s. βουλευομ. u. I, 4, 16 z. διαβεβ. — ἀπειρηκ.,

ἀπέκλινε, φυλαττόμενος μὴ δοκοίη φεύγειν, ἀλλ' εὐθύωρον
ἄγων ἅμα τῷ ἡλίῳ δυομένῳ εἰς τὰς ἐγγυτάτω κώμας τοὺς
πρώτους ἔχων κατεσκήνωσεν, ἐξ ὧν διήρπαστο ὑπὸ τοῦ βασι-
λικοῦ στρατεύματος καὶ αὐτὰ τὰ ἀπὸ τῶν οἰκιῶν ξύλα. οἱ μὲν 17
οὖν πρῶτοι ὅμως τρόπῳ τινὶ ἐστρατοπεδεύσαντο, οἱ δὲ ὕστε-
ροι σκοταῖοι προσιόντες ὡς ἐτύγχανον ἕκαστοι ηὐλίζοντο, καὶ
κραυγὴν πολλὴν ἐποίουν καλοῦντες ἀλλήλους, ὥστε καὶ τοὺς
πολεμίους ἀκούειν· ὥστε οἱ μὲν ἐγγύτατα τῶν πολεμίων καὶ
ἔφυγον ἐκ τῶν σκηνωμάτων. δῆλον δὲ τοῦτο τῇ ὑστεραίᾳ 18
ἐγένετο. οὔτε γὰρ ὑποζύγιον ἔτ' οὐδὲν ἐφάνη οὔτε στρατό-
πεδον οὔτε καπνὸς οὐδαμοῦ πλησίον. ἐξεπλάγη δέ, ὡς ἔοικε,
καὶ βασιλεὺς τῇ ἐφόδῳ τοῦ στρατεύματος. ἐδήλωσε δὲ τοῦτο
οἷς τῇ ὑστεραίᾳ ἔπραττε. προϊούσης μέντοι τῆς νυκτὸς ταύτης 19
καὶ τοῖς Ἕλλησι φόβος ἐμπίπτει, καὶ θόρυβος καὶ δοῦπος
ἦν, οἷον εἰκὸς φόβου ἐμπεσόντος γίγνεσθαι. Κλέαρχος δὲ 20
Τολμίδην Ἠλεῖον, ὃν ἐτύγχανεν ἔχων παρ' ἑαυτῷ κήρυκα
ἄριστον τῶν τότε, ἀνειπεῖν ἐκέλευσε σιγὴν κηρύξαντα, ὅτι
προαγορεύουσιν οἱ ἄρχοντες, ὃς ἂν τὸν ἀφέντα τὸν ὄνον
εἰς τὰ ὅπλα μηνύσῃ, ὅτι λήψεται μισθὸν τάλαντον. ἐπεὶ δὲ 21

von ἀπαγορεύω. — κατεσκήν., prägnant c. Acc. der Bewegung: einrücken und sich lagern.

τὰ ἀπὸ τῶν οἰκιῶν, Attraktion wie I, 1, 5 z. τῶν παρὰ βασιλ.

§. 17. ὅμως, d. i. trotz des im Relativsatze ausgesagten. — τρόπῳ τινί ist Gegensatz v. ὡς ἐτύγχαν., s. Exkurs §. 46. — σκοταῖοι, s. I, 2, 25 z. προτέρα. — ὡς ἐτύγχ., das Partic. ergänzt sich aus ηὐλίζοντο. — κραυγὴν ἐποίουν, für ἐποιοῦντο = schreien, s. I, 4, 12 z. ποιήσ. ἐκκλησ. — ὥστε — ὥστε, verschieden konstruiert, s. I, 1, 5 u. I, 4, 8 z. d. W. — τῶν πολεμ. Genit. partit.

§. 18. οὔτε — πλησίον, Beispiel von Negationsverstärkung, s. I, 2, 26 z. οὐδενί. — Welche Wortstellung?

ὡς ἔοικε, zur Milderung des Ausdrucks ἐξεπλ., nicht um das Faktum in Frage zu stellen. — καὶ βασιλ., was ist vorher zu ergänzen? — οἷς, Attrakt., s. I, 1, 8 z. ὧν.

§. 19. προϊούσης, statt des Partic. gebrauche die Präpos. „während“. — καὶ τ. Ἑλ., nicht nur die Perser. — οἷον εἰκὸς κ. τ. λ., wörtlich: von welchem es natürlich ist, daſs es eintritt.

§. 20. κήρυκ. ἄριστον, die Apposition wird im D. dem Relativsatze vorangestellt.

σιγὴν κηρ. wird im D. dem ἀνειπ. vorangestellt u. durch einen Zeitsatz übersetzt. Warum ἀνά? — ὃς — μηνύσῃ, warum vorangestellt? s. I, 1, 5 z. ὅστις und I, 3, 5 z. ὅτι ἂν δέῃ. — τὸν ἀφέντ. s. I, 9, 15 z. τῶν θελόντ. — Das ganze ist eine Kriegslist, um die Aufmerksamkeit der Soldaten auf einen unbedeutenden Urheber der entstandenen Verwirrung zu lenken. Polyaen[1]) erzählt vom Iphikrates: „Da sich seine Krieger vor den

ταῦτα ἐκηρύχθη, ἔγνωσαν οἱ στρατιῶται, ὅτι κενὸς ὁ φόβος εἴη καὶ οἱ ἄρχοντες σῷ. ἅμα δὲ ὄρθρῳ παρήγγειλεν ὁ Κλέαρχος εἰς τάξιν τὰ ὅπλα τίθεσθαι τοὺς Ἕλληνας ᾗπερ
III. εἶχον ὅτε ἦν ἡ μάχη. ὃ δὲ δὴ ἔγραψα ὅτι βασιλεὺς ἐξεπλάγη τῇ ἐφόδῳ, τῷδε δῆλον ἦν. τῇ μὲν γὰρ πρόσθεν ἡμέρᾳ πέμπων τὰ ὅπλα παραδιδόναι ἐκέλευε, τότε δὲ ἅμα ἡλίῳ ἀνατέλ-
2 λοντι κήρυκας ἔπεμψε περὶ σπονδῶν. οἱ δ' ἐπεὶ ἦλθον πρὸς τοὺς προφύλακας, ἐζήτουν τοὺς ἄρχοντας. ἐπειδὴ δὲ ἀπήγγελλον οἱ προφύλακες, Κλέαρχος τυχὼν τότε τὰς τάξεις ἐπισκοπῶν εἶπε τοῖς προφύλαξι κελεύειν τοὺς κήρυκας περιμένειν,
3 ἄχρι ἂν σχολάσῃ. ἐπεὶ δὲ κατέστησε τὸ στράτευμα ὥστε καλῶς ἔχειν ὁρᾶσθαι πάντῃ φάλαγγα πυκνήν, ἐκτὸς δὲ τῶν ὅπλων μηδένα καταφανῆ εἶναι, ἐκάλεσε τοὺς ἀγγέλους, καὶ αὐτός τε προῆλθε τούς τε εὐοπλοτάτους ἔχων καὶ εὐειδεστάτους τῶν αὐτοῦ στρατιωτῶν καὶ τοῖς ἄλλοις στρατηγοῖς ταὐτὰ ἔφρασεν.

Feinden fürchteten u. sich zur Flucht wandten, liefs er den Heroldsruf ergehen: Wer den angeben würde, welcher den Esel losgebunden und in d. Lager gelassen, der solle denselben erhalten. Durch diesen Ausruf erweckte er den Mut der Soldaten wieder und machte sie bereitwilliger, stand zu halten. — Aeneas [2]) erwähnt, ohne den Xen. zu nennen, des im Texte erwähnten Vorfalls und giebt folgende Regel: „Will man selbst das feindliche Heer in Schrecken setzen, so lasse man Kühe in Heerden mit Glocken und andre Zugtiere, die man mit Wein betrunken gemacht hat, ins feindliche Lager laufen.“ — ὅτι λήψεται, warum der Indic.? — εἰς τὰ ὅπλα, Exk. §. 46.

§. 21. τὰ ὅπλ. τίθ., s. Exkurs §. 25, 4, 1. S. 18. — ᾗπερ εἶχον, d. i. wie sie standen. Warum kann τάξιν fehlen? S. IV, 3, 29 ᾗ ἕκαστος τὴν τάξιν εἶχεν.

III. Die Griechen schliefsen nach mancherlei Verhandlungen einen Waffenstillstand und darauf mit Tissaph. einen Vertrag.

§. 1—5. Die Griechen verweigern den Gesandten des Königs den Waffenstillstand.

§. 1. ὃ δὲ δὴ ἔγρ., umschreibt wie das lat. quod das Subj.; frei: ‘Meine vorige Behauptung’ (II, 2, 18). — πέμπων, auch wir können in solchen Fällen unser ‘schicken’ ohne Obj. gebrauchen.

§. 2. ἐπισκοπῶν, ἐπί, „das Auge auf etwas hin richten“. Zur Sache s. Exk. §. 25. — προφύλ., der Deutlichkeit wegen wiederholt. — σχολάσῃ, er will den Abgesandten dadurch zeigen, dafs die Griechen sich nicht fürchten. — Konjunktion in der or. obl., weil ein bestimmt erwartetes Ziel gemeint ist.

§. 3. ὁρᾶσθαι ist Obj. z. καλῶς ἔχειν, wörtlich: in Beziehung auf das gesehen werden; frei: καλ. ἔχ. — ὁρᾶσθαι, einen schönen Anblick gewähren. πάντ. φάλ. πυκν., verbinde durch ‘als’ mit dem vorhergehenden, s. Exk. §. 18, 1. — ταὐτά bezieht sich auf προῆλθε — ἔχων.

1) Polyaen στρατηγήματα III, 9, 4. — 2) Aeneas ὑπομν. τακτ. καὶ πολιορκητ. — bei Köchly Griech. Krgsschrftst. I p. 99 sqq.

ἐπεὶ δὲ ἦν πρὸς τοῖς ἀγγέλοις, ἀνηρώτα, τί βούλοιντο. οἱ δ' 4
ἔλεγον, ὅτι περὶ σπονδῶν ἥκοιεν ἄνδρες, οἵτινες ἱκανοὶ ἔσον-
ται τά τε παρὰ βασιλέως τοῖς Ἕλλησιν ἀπαγγεῖλαι καὶ τὰ παρὰ
τῶν Ἑλλήνων βασιλεῖ. ὁ δὲ ἀπεκρίνατο, Ἀπαγγέλλετε τοίνυν 5
αὐτῷ, ὅτι μάχης δεῖ πρῶτον· ἄριστον γὰρ οὐκ ἔστιν οὐδ' ὁ
τολμήσων περὶ σπονδῶν λέγειν τοῖς Ἕλλησι μὴ πορίσας ἄρι-
στον. ταῦτα ἀκούσαντες οἱ ἄγγελοι ἀπήλαυνον, καὶ ἧκον ταχύ· 6
ᾧ καὶ δῆλον ἦν, ὅτι ἐγγύς που βασιλεὺς ἦν ἢ ἄλλος τις, ᾧ
ἐπετέτακτο ταῦτα πράττειν. ἔλεγον δέ, ὅτι εἰκότα δοκοῖεν λέ-
γειν βασιλεῖ, καὶ ἥκοιεν ἡγεμόνας ἔχοντες, οἳ αὐτούς, ἐὰν
σπονδαὶ γένωνται, ἄξουσιν ἔνθεν ἕξουσι τὰ ἐπιτήδεια. ὁ δὲ 7
ἠρώτα, εἰ αὐτοῖς τοῖς ἀνδράσι σπένδοιτο τοῖς ἰοῦσι καὶ ἀπιοῦ-
σιν, ἢ καὶ τοῖς ἄλλοις ἔσοιντο σπονδαί. οἱ δέ, Ἅπασιν, ἔφασαν,
μέχρι ἂν βασιλεῖ τὰ παρ' ὑμῶν διαγγελθῇ. ἐπεὶ δὲ ταῦτα 8
εἶπον, μεταστησάμενος αὐτοὺς ὁ Κλέαρχος ἐβουλεύετο· καὶ
ἐδόκει τὰς σπονδὰς ποιεῖσθαι [ταχύ] καὶ καθ' ἡσυχίαν ἐλθεῖν

§. 4. *ἄνδρ.* Apposit. zum Subj. in *ἧκ.* „Männer, welche". — *οἵτιν.* — *ἔσονται*, s. I, 3, 14 z. *ὅστις ἀπάξ.* u. §. 6. *οἳ ἄξουσι.* — *ἱκανοὶ* c. Inf. s. I, 9, 1 z. *ἀξιωτ.* — *τά τε παρὰ βασιλ.*, das fehlende Substantiv ist aus dem Verb. *ἀπαγγ.* zu ergänzen, also die Botschaft, Anträge, Vorschläge.

§. 5. *πρῶτον* durch Stellung betont. — *ἄριστον* — *ἄριστον.* Wenn der wichtigste Begriff den Satz beginnt und schliefst, so entsteht der *κύκλος* (palindromischer Chiasmus). An dieser Stelle bezeichnet er als unerwarteter Begründungssatz die Sicherheit und Furchtlosigkeit der Griechen, die, um Lebensmittel zu erhalten (s. II, 2, 3), nicht an Verträge, sondern an e. Schlacht denken. Diese unerwartete Antwort macht auf die Perser den Eindruck, dafs sie bei der Rückkehr die Lieferung der Lebensmittel versprechen. Vergl. Hom. Il. *K*, 466: *θῆκεν ἀνὰ μυρίκην· δέελον δ' ἐπὶ σῆμά τ' ἔθηκεν.* Jul. Caes. b. g. 6, 16: pro vita hominis nisi hominis vita reddatur. Schiller's Spaziergang: Endlos unter mir seh' ich den Aether, über mir endlos. (Vgl. Schiller's Äufserung über diesen Vers bei Viehoff IV, p. 46.) — Jungfrau von Orleans IV, 10: Denn G n a d e hat uns Gott erzeigt, und unser erstes Königswort sei — G n a d e. Mit dem Pronomen „du" daselbst II, 8.

οὐδ' ὁ τολμήσ., Partic. mit Artikel, steht hier prädikativ; im D. Relativs.: einer, w. — *μὴ πορίσας*, zum Ausdruck der Bedingung. S. auch I, 2, 22 z. *οὐδ. κωλύοντ.*

§. 6—16. Der Waffenstillstand wird zugesagt: Aufbruch nach Dörfern mit Lebensmitteln; beiläufiges über Palmwein, Palmkohl u. dergl.

§. 6. *δοκοῖεν* u. *ἥκοιεν*, Wechsel des Subjekts. — *ἐὰν* — *γέν.* s. I, 1, 10 z. *πρὶν ἄν.* — *ἄξουσι* — *ἕξουσι*, eine Parechese.— *ἔνθεν*, das Demonstrativ fehlt wie I, 3, 17 u. II, 1, 6 z. *οὗ.*

§. 7. *αὐτοῖς*, Dat. commodi; s. auch II, 1, 1 z. *Κύρῳ.* — *τοῖς ἀνδρ.* — *ἰοῦσι καὶ ἀπιοῦσιν* umschreiben unser: 'Unterhändler'. S. auch I, 9, 15 z. *θελόντ.* — *σπένδοιτο* nach I, 3, 5 z. *ἐρεῖ* mit 'sollen' z. übersetzen. — *τὰ παρ' ὑμῶν*, s. z. §. 4 = eure Antwort.

§. 8. *ἐδόκει*, wem? — *καθ'*

9 τε ἐπὶ τὰ ἐπιτήδεια καὶ λαβεῖν. ὁ δὲ Κλέαρχος εἶπε, Δοκεῖ
μὲν κἀμοὶ ταῦτα. οὐ μέντοι ταχύ γε ἀπαγγελῶ, ἀλλὰ δια-
τρίψω, ἔστ' ἂν ὀκνήσωσιν οἱ ἄγγελοι, μὴ ἀποδόξῃ ἡμῖν τὰς
σπονδὰς ποιήσασθαι· οἶμαί γε μέντοι, ἔφη, καὶ τοῖς ἡμετέροις
στρατιώταις τὸν αὐτὸν φόβον παρέσεσθαι. ἐπεὶ δὲ ἐδόκει και-
ρὸς εἶναι, ἀπήγγελλεν, ὅτι σπένδοιτο, καὶ εὐθὺς ἡγεῖσθαι
10 ἐκέλευε πρὸς τἀπιτήδεια. καὶ οἱ μὲν ἡγοῦντο, Κλέαρχος μέν-
τοι ἐπορεύετο τὰς μὲν σπονδὰς ποιησάμενος, τὸ δὲ στράτευμα
ἔχων ἐν τάξει, καὶ αὐτὸς ὠπισθοφυλάκει. καὶ ἐνετύγχανον
τάφροις καὶ αὐλῶσιν ὕδατος πλήρεσιν, ὡς μὴ δύνασθαι δια-
βαίνειν ἄνευ γεφυρῶν· ἀλλ' ἐποιοῦντο διαβάσεις ἐκ τῶν φοι-
11 νίκων οὓς εὕρισκον ἐκπεπτωκότας, τοὺς δὲ καὶ ἐξέκοπτον. καὶ
ἐνταῦθα ἦν Κλέαρχον καταμαθεῖν ὡς ἐπεστάτει, ἐν μὲν τῇ
ἀριστερᾷ χειρὶ τὸ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν· καὶ
εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν,
ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαισεν ἄν, καὶ ἅμα αὐτὸς προς-
ελάμβανεν εἰς τὸν πηλὸν ἐμβαίνων· ὥστε πᾶσιν αἰσχύνην

ἡσυχ., κατά = „nach, gemäſs" wie πρός z. I, 3, 19. Es gehört zu beiden folgenden Infinit. — ἐπί, um sie zu holen, πρός im §. 9 drückt nur die Richtung aus. — ἐπιτήδ. gehört in andrer Beziehung auch zu λαβεῖν.

§. 9. ὀκνήσωσιν, s. I, 1, 9 z. ἠγάσθη und I, 1, 10 z. πρὶν ἄν. — καὶ τοῖς ἡμετ., was ist also hinzuzudenken? — ἡγεῖσθαι, s. II, 2, 8 z. d. W.

§. 10. μέντοι korrespondiert dem μέν. — τὰς μὲν — τὸ δέ, wir müssen subordinieren, indem wir ἔχων nach I, 1, 2 z. λαβών u. τὰς μὲν — ποιησ. nach I, 1, 6 z. ἐπιβ. 3. konzessiv als Zwischensatz übersetzen. — ἐν τάξει, Exkurs §. 33. — τάφροις καὶ αὐλῶσ. sind wahrscheinlich Ausflüsse der I, 7, 15 erwähnten διώρυχες (s. auch II, 4, 13) und dienten nach §. 13 zur Bewässerung des Landes nach Art unsrer Rieselwiesen.

ὡς μὴ δύν. s. I, 1, 5 u. I, 4, 8 z. ὥστε. Beachte im Folgend. mit ἀλλ' ἐποιοῦντ. den Übergang in d. Indik.

εὕρισκον ἐκπεπτωκότας. Sie lagen entwurzelt am Boden. Das Participium Perfektum bez. die Gleichzeitigkeit des Vollendetseins der Nebenhandlung im Verhältnis zur Haupthandlung. — τοὺς δέ, selbständiger Zusatz, der den vorhergehenden allgemeinen Gedanken beschränkt. Im D. fahre mit der Relativ-Kstr. fort, s. I, 1, 2 z. καὶ στρατηγ.

§. 11. Κλέαρχ., Anticipation, s. I, 1, 5 z. βαρβάρ. — Er war also von der Nachhut während des Halts nach vorn gegangen. — εἴ τις — δοκ. s. I, 5, 2 z. ἐπεί τις διώκ. — ἐκλεγόμ., beachte das Medium. — τὸν ἐπιτήδειον, das verbale Objekt ergänzt sich aus dem Verb. finit.; übersetze nach I, 1, 2 z. φίλον. — ἔπαισεν ἄν, Aor. des Pflegens; siehe I, 9, 19 z. ἀφείλετ. ἄν. — προσελάμβ., zufassen. — αὐτ. προσελ. und §. 12 προσελ. καὶ οἱ πρεσβύτεροι. Chiasmus. — μὴ οὐ = quominus, quin; nach Verben des Verhinderns und sich Schämens, weil darin eine Verneinung liegt.

εἶναι μὴ οὐ συσπουδάζειν. καὶ ἐτάχθησαν πρὸς αὐτὸ οἱ [εἰς] 12
τριάκοντα ἔτη γεγονότες· ἐπεὶ δὲ καὶ Κλέαρχον ἑώρων σπουδάζοντα, προσελάμβανον καὶ οἱ πρεσβύτεροι. πολὺ δὲ μᾶλλον 13
ὁ Κλέαρχος ἔσπευδεν, ὑποπτεύων αὐτὸ τὸ πλήρεις εἶναι τὰς τάφρους ὕδατος· οὐ γὰρ ἦν ὥρα οἵα τὸ πεδίον ἄρδειν· ἀλλ' ἵνα ἤδη πολλὰ προφαίνοιτο τοῖς Ἕλλησι δεινὰ εἰς τὴν πορείαν, τούτου ἕνεκα βασιλέα ὑπώπτευεν ἐπὶ τὸ πεδίον τὸ ὕδωρ ἀφεικέναι. πορευόμενοι δὲ ἀφίκοντο εἰς κώμας, ὅθεν 14
ἀπέδειξαν οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια. ἐνῆν δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων καὶ ὄξος ἑψητὸν ἀπὸ τῶν αὐτῶν.
αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων οἵας μὲν ἐν τοῖς Ἕλλη- 15
σιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο, αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι, θαυμάσιαι τοῦ κάλλους καὶ τοῦ μεγέθους, ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε· τὰς δέ τινας ξηραίνοντες τραγήματα ἀπετίθεσαν. καὶ ἦν καὶ παρὰ πότον ἡδὺ μέν, κεφαλαλγὲς δέ. ἐνταῦθα καὶ τὸν ἐγκέφαλον τοῦ 16

§. 12. *ἐτάχθησαν*, s. Exk. §. 33. — *ἑώρων*, Subj. allgemein.

§. 13. *ἔσπευδ.*, Kl. wollte so schnell als möglich aus dem Bereich dieser Gräben heraus u. zugleich den König hindern, ihm auf solche Weise Schwierigkeiten zu bereiten. — *ὑποπτ.* nach I, 1, 6 zu *ἐπιβουλ.* 1 oder 3. — *οἵα* c. Inf. ist wie die Adj. der Qualität konstruiert. — Die Bewässerung geschah sonst im Sommer. — *ἵνα κ. τ. λ.* wird im D. Zwischensatz. — *τούτου ἕνεκα* wiederholt mit Nachdruck den Inhalt d. Satzes. — *ὑπώπτευεν*, die Wiederholung des Verbs ist bei der Änderung der Konstr. notwendig.

§. 14. *ὅθεν*, s. I, 2, 8 z. d. W. — *ἀπέδειξ.* nach I, 4, 4 z. *ἐλέγετο*. — *οἶνος φοινίκ.*, s. I, 5, 10. — — *ὄξος*, ein säuerliches Getränk, das aus dem Safte der Datteln bereitet wird. Diese werden erst in einen Ofen gelegt (*ἑψητόν*), worauf der gewonnene Saft in die Erde gegraben gärt. Anfangs ist es ein weiniges Getränk, aber nach einem Jahre wird es sauer.

§. 15. *ἀπὸ τ. αὐτῶν· αὐταὶ δέ* s. I, 1, 7 z. *πλὴν Μιλήτου*. — *ἐν τοῖς Ἕλλησ.*, nach I, 1, 11 z. *εἰς Πισίδ.* — *αἱ δὲ τοῖς*, worin besteht der Wechsel d. Konstruktion? — *ἠλέκτρου*, Griechen und Lateiner vergleichen die Eigenschaft eines Gegenstandes oft nicht mit derselben Eigenschaft eines andern Gegenstandes, sondern kurz mit dem Gegenstandes selbst, an dem sich die Eigenschaft befindet. Iam illa, quae natura, non litteris assecuti sunt (nostri), neque cum Graecia, neque ulla cum gente sunt conferenda. Cic. — *τὰς δέ τινας*, *τὶ, τὶς* verbindet sich oft mit ὁ (οἱ) *μέν*, ὁ (οἱ) *δέ*, um den Grad der Unbestimmtheit hervorzuheben = alius aliquis. — *καὶ ἦν κ. τ. λ.*, Ausführung des *τραγήμ.*, nur ist das Subjekt der unbestimmte Begriff: 'und war das'. — *ἡδύ*, im D. setze das geeignete Hauptwort hinzu.

§. 16. *ἐγκέφαλος*, das weiche Mark am Gipfel des Stammes und noch mehr die Endknospe, in welcher die Keime zu den Blättern wie in einer Schachtel eingeschlossen liegen, sind noch heut zu Tage eine beliebte Speise der Syrer u. Araber.

1. ἄρδειν [illegible] bewässern. 2. Jahreszeit. 3. [illegible] 4. [illegible] 5. [illegible] 6. [illegible] 7. [illegible] = Datteln. 8. bei Seite gelegt sein. 9. vorzüglich. 10. bewunderungswert. 11. Ansehen. 12. [illegible] 13. [illegible] 14. [illegible] 15. [illegible] 16. Mark.

φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται, καὶ οἱ πολλοὶ ἐθαύμασαν τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς. ἦν δε σφόδρα καὶ τοῦτο κεφαλαλγές. ὁ δὲ φοῖνιξ, ὅθεν ἐξαιρεθείη ὁ ἐγκέφαλος, ὅλος αὐαίνετο.

17 Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· καὶ παρὰ μεγάλου βασιλέως ἧκε Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς καὶ ἄλλοι Πέρσαι τρεῖς· δοῦλοι δὲ πολλοὶ εἵποντο. ἐπεὶ δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, ἔλεγε πρῶτος
18 Τισσαφέρνης δι' ἑρμηνέως τοιάδε. Ἐγώ, ὦ ἄνδρες Ἕλληνες, γείτων οἰκῶ τῇ Ἑλλάδι, καὶ ἐπεὶ ὑμᾶς εἶδον εἰς πολλὰ καὶ ἀμήχανα πεπτωκότας, εὕρημα ἐποιησάμην εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι δοῦναι ἐμοὶ ἀποσῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. οἶμαι γὰρ ἂν οὐκ ἀχαρίστως μοι ἔχειν οὔτε
19 πρὸς ὑμῶν οὔτε πρὸς τῆς πάσης Ἑλλάδος. ταῦτα δὲ γνοὺς ᾐτούμην βασιλέα, λέγων αὐτῷ, ὅτι δικαίως ἄν μοι χαρίζοιτο, ὅτι αὐτῷ Κῦρόν τε ἐπιστρατεύοντα πρῶτος ἤγγειλα καὶ βοήθειαν ἔχων ἅμα τῇ ἀγγελίᾳ ἀφικόμην, καὶ μόνος τῶν κατὰ τοὺς Ἕλληνας τεταγμένων οὐκ ἔφυγον, ἀλλὰ διήλασα καὶ συνέμιξα βασιλεῖ ἐν τῷ ὑμετέρῳ στρατοπέδῳ, [ἔνθα βασιλεὺς ἀφίκετο, ἐπεὶ Κῦρον ἀπέκτεινε, καὶ τοὺς σὺν Κύρῳ βαρβάρους ἐδίωξε σὺν τοῖσδε τοῖς παροῦσι νῦν μετ' ἐμοῖ, οἵπερ
20 αὐτῷ εἰσι πιστότατοι]. καὶ περὶ μὲν τούτων ὑπέσχετό μοι βουλεύσεσθαι· ἐρέσθαι δέ με ὑμᾶς ἐκέλευεν ἐλθόντα, τίνος

Ebenso gern werden die unentwickelten Blütenkolben in verschiedenen Bereitungsweisen gegessen. σφόδρα, s. I, 5, 2 z. πολύ. — καὶ τοῦτο, s. I, 5, 10 z. τοῦτο. ἐξαιρεθείη, Opt. iterat., s. I, 1, 5 ὅστις ἀφικν. — ὅθεν = aus welchem immer, allemal.

§. 17—29. Tissaphernes erscheint und es kommt ein Vertrag wegen friedlicher Zurückführung der Griechen zu Stande.

§. 17. τῆς βασ. γυναικ., Statira ist gemeint.

§. 18. πολλὰ καὶ ἀμήχ., der Grieche verbindet 2 Attribute, im D. fehlt die Konjunkt., weil wir „viele" auf das folgende Adj. und Subst. zugleich beziehen. — So auch: multi et praeclari viri.

εὕρημα, jeder Fund bringt nach griechischer Auffassung unverhofften Gewinn. — δοῦναι ἐμοί durch ein Hauptw., ἀποσῶσαι hängt davon ab. — ἂν ἔχειν s. I, 3, 6 z. ἄν. — οὐκ ἀχαρ., Litotes.

§. 19. ὅτι αὐτῷ, Übergang in orat. dir. — ἤγγειλα, s. I, 2, 4. — ἐπιστρ., s. I, 1, 7 z. βουλευόμ., übers. nach I, 1, 6 z. ἐπιβουλ. 1. — ἔχων mit ἀφικόμην frei: bringen. — διήλασα, I, 10, 7 sq. — (ἔνθα bei einem Verb. d. Bewegung.)

§. 20. ὑπέσχετό μοι, Zwischenstellung zur Hervorhebung. — βουλεύσ. u. ἐρέσθαι, Chiasmus mit der Epanastrophe verbunden. — ἐλθόντα nach I, 1, 6 z. ἐπιβουλ. 2. voraufzunehmen, oder nicht zu übers.

ἕνεκεν ἐστρατεύσατε ἐπ᾽ αὐτόν. καὶ συμβουλεύω ὑμῖν μετρίως
ἀποκρίνασθαι, ἵνα μοι εὐπρακτότερον ᾖ, ἐάν τι δύνωμαι ἀγα-
θὸν ὑμῖν παρ᾽ αὐτοῦ διαπράξασθαι. πρὸς ταῦτα μεταστάντες 21
οἱ Ἕλληνες ἐβουλεύοντο· καὶ ἀπεκρίναντο, Κλέαρχος δ᾽ ἔλε-
γεν· Ἡμεῖς οὔτε συνήλθομεν ὡς βασιλεῖ πολεμήσοντες οὔτ᾽
ἐπορευόμεθα ἐπὶ βασιλέα, ἀλλὰ πολλὰς προφάσεις Κῦρος
εὕρισκεν, ὡς καὶ σὺ εὖ οἶσθα, ἵνα ὑμᾶς τε ἀπαρασκεύους
λάβοι καὶ ἡμᾶς ἐνθάδε ἀγάγοι. ἐπεὶ μέντοι ἤδη αὐτὸν 22
ἑωρῶμεν ἐν δεινῷ ὄντα, ᾐσχύνθημεν καὶ θεοὺς καὶ ἀνθρώ-
πους προδοῦναι αὐτόν, ἐν τῷ πρόσθεν χρόνῳ παρέχοντες
ἡμᾶς αὐτοὺς εὖ ποιεῖν. ἐπεὶ δὲ Κῦρος τέθνηκεν, οὔτε βασι- 23
λεῖ ἀντιποιούμεθα τῆς ἀρχῆς οὔτ᾽ ἔστιν ὅτου ἕνεκα βουλοί-
μεθ᾽ ἂν τὴν βασιλέως χώραν κακῶς ποιεῖν, οὐδ᾽ αὐτὸν ἀπο-
κτεῖναι ἂν ἐθέλοιμεν, πορευοίμεθα δ᾽ ἂν οἴκαδε, εἴ τις ἡμᾶς
μὴ λυποίη· ἀδικοῦντα μέντοι πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύ-
νασθαι· ἐὰν μέντοι τις ἡμᾶς καὶ εὖ ποιῶν ὑπάρχῃ, καὶ τού-
του εἴς γε δύναμιν οὐχ ἡττησόμεθα εὖ ποιοῦντες. ὁ μὲν οὕτως 24
εἶπεν· ἀκούσας δὲ ὁ Τισσαφέρνης, Ταῦτα, ἔφη, ἐγὼ ἀπαγγελῶ
βασιλεῖ καὶ ὑμῖν πάλιν τὰ παρ᾽ ἐκείνου· μέχρι δ᾽ ἂν ἐγὼ ἥκω,
αἱ σπονδαὶ μενόντων· ἀγορὰν δὲ ἡμεῖς παρέξομεν. καὶ εἰς 25
μὲν τὴν ὑστεραίαν οὐχ ἧκεν· ὥσθ᾽ οἱ Ἕλληνες ἐφρόντιζον·
τῇ δὲ τρίτῃ ἥκων ἔλεγεν, ὅτι διαπεπραγμένος ἥκοι παρὰ βα-

§. 21. *μεταστάντ.*, warum hier das Aktiv? §. 8 war das Medium. — *ἔλεγεν* = das Wort führen. Impf., denn der Gr. setzt die Verba „sprechen, melden, befehlen“ etc. in d. Impf., um zu bezeichnen, daſs die Handlung sich allmählich entwickelt, fortdauernd wirkt. — *ὡς* c. Part. Fut., s. I, 1, 3 z. *ὡς ἀποκτ.*

ἐπορευόμ., nach I, 3, 5 z. *ἐρεῖ* mit ‘wollen’. — *ὡς καὶ σὺ — οἶσθα*: durch diesen Zwischensatz giebt Kl. zu verstehen, dass er die Absicht des Tiss. zu spionieren durchschaue und seine Frage für überflüſsig halte.

§. 22. *ὄντα* bleibt unübersetzt. — *θεούς*, s. I, 2, 5 z. *τὸν στόλον.* — *παρέχοντες*, Particip. des Imperf. — *παρέχ. ἑαυτὸν εὖ ποιεῖν*, frei: sich Wohlthaten erzeigen, Gutes thun lassen.

§. 24. *οὔτ᾽ ἔστιν ὅτου ἕνεκα* = neque est cur. — *βουλοίμ.* — *ἐθέλ.*, Chiasmus. *βούλεσθαι*, s. I, 3, 8 z. *ἐθέλειν.* — *ἀδικοῦντα*, konditional oder auch relativ. — *σὺν τ. θεοῖς*, der Abhängigkeit von einer höheren Macht waren sich die Griechen schon in den ältesten Zeiten bewuſst. — *ὑπάρχῃ* c. Partic. s. I, 1, 2 z. *ἐτύγχ.* — *δύναμιν*, wir gebrauchen den Plural.

§. 24. *ἀκούσας*, s. I, 3, 13 z. *ταῦτα εἰπών.* — *ταῦτα — τὰ παρ᾽ ἐκείνου*, Chiasmus. *τὰ παρ᾽ ἐκ.*, s. §. 4. — *μέχρι ἂν ἥκω*, s. I. 1, 10 z. *πρὶν ἄν* u. unten §. 29 z. *ἐπειδάν.* — *ἀγορ. παρέχ.*, s. Exk. §. 51.

§. 25. *εἰς τὴν ὑστερ.*, s. I, 7, 1 z. *εἰς τὴν ἐπιοῦσ.* — *ἥκων ἔλεγεν*, s. I, 2, 18 z. *ἰδοῦσα.*

διαπεπραγμ., mache im D. zum Prädikat. *ἥκοι* bleibt dann unüber-

1. streitig machen. 2. [illegible] 3. Lebensmittel zu Kauf stellen. 4. besorgt werden.

σιλέως δοθῆναι αὐτῷ σώζειν τοὺς Ἕλληνας, καίπερ πολ-
λῶν ἀντιλεγόντων, ὡς οὐκ ἄξιον εἴη βασιλεῖ ἀφεῖναι τοὺς
26 ἐφ' ἑαυτὸν στρατευσαμένους. τέλος δὲ εἶπε, Καὶ νῦν ἔξεστιν
ὑμῖν πιστὰ λαβεῖν παρ' ἡμῶν ἦ μὴν φιλίαν παρέξειν ὑμῖν
τὴν χώραν καὶ ἀδόλως ἀπάξειν εἰς τὴν Ἑλλάδα ἀγορὰν παρ-
έχοντας· ὅπου δ' ἂν μὴ ᾖ πρίασθαι, λαμβάνειν ὑμᾶς ἐκ τῆς
27 χώρας ἐάσομεν τὰ ἐπιτήδεια. ὑμᾶς δὲ αὖ ἡμῖν δεήσει ὀμόσαι
ἦ μὴν πορεύεσθαι ὡς διὰ φιλίας ἀσινῶς σῖτα καὶ ποτὰ λαμ-
βάνοντας, ὁπόταν μὴ ἀγορὰν παρέχωμεν· ἢν δὲ παρέχωμεν
28 ἀγοράν, ὠνουμένους ἕξειν τὰ ἐπιτήδεια. ταῦτα ἔδοξε, καὶ
ὤμοσαν καὶ δεξιὰς ἔδοσαν Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως
γυναικὸς ἀδελφὸς τοῖς τῶν Ἑλλήνων στρατηγοῖς καὶ λοχαγοῖς
29 καὶ ἔλαβον παρὰ τῶν Ἑλλήνων. μετὰ δὲ ταῦτα Τισσαφέρνης
εἶπε, Νῦν μὲν δὴ ἄπειμι ὡς βασιλέα· ἐπειδὰν δὲ διαπράξω-
μαι ἃ δέομαι, ἥξω συσκευασάμενος ὡς ἀπάξων ὑμᾶς εἰς τὴν
Ἑλλάδα καὶ αὐτὸς ἀπιὼν ἐπὶ τὴν ἐμαυτοῦ ἀρχήν.

IV. Μετὰ ταῦτα περιέμενον Τισσαφέρνην οἵ τε Ἕλληνες καὶ Ἀριαῖος ἐγγὺς ἀλλήλων ἐστρατοπεδευμένοι ἡμέρας πλείους ἢ
29. Septbr.] εἴκοσιν. ἐν δὲ ταύταις ἀφικνοῦνται πρὸς Ἀριαῖον καὶ

setzt. — **δοθῆναι** Obj. z. διαπρ., s. auch §. 18 z. δοῦναι. — **ἑαυτόν.** Das Reflexiv bezieht sich auf βασιλεῖ, weil es in Gedanken als Subjekt vorschwebt.

§. 26. **τέλος**, s. I, 3, 19 z. πρὸς φιλ. — **παρέξειν** und **ἀπάξειν**: der Subjektsaccusativ ist aus παρ' ἡμῶν, das Obj. z. ἀπάξειν nach I, 4, 8 z. στερήσονται aus ὑμῖν zu ergänzen. Die Inf. hängen von der Phrase π. λαβεῖν ab. — **ὅπου δ' ἄν** s. I, 3, 5 z. ὅ,τι ἄν.

§. 27. **ὑμᾶς δὲ αὖ ἡμῖν**, einander entgegengesetzte Pronomina werden zur Hervorhebung gern nebeneinander gestellt. — **πορεύεσθαι**, im D. ein andres Tempus od. nach I, 3, 5 z. ἐρεῖ ein Hülfszeitwort. — **σῖτα καὶ ποτὰ** — **ἐπιτήδεια**, Chiasmus der Sätze und Worte. — **ὁπόταν** — **παρέχ.** s. I, 5, 3 z. ἄν τις — **ἢν δέ**, davor ist im D. das auf **ὠνουμ.** ἕξ. hinweisende: 'dafs ihr dagegen' einzuschalten; denn ἕξειν hängt auch von ὀμόσαι ab. — **ὠνουμέν.**, s. I, 1, 6 z. ἐπιβουλ. 1., vergl. auch I, 3, 14 z. ἔχομεν.

§. 28. **ταῦτα ἔδοξε** s. I, 3, 10 z. ἔδοξε u. beachte die verschied. Stellung. — **ὤμοσαν**, das voranstehende Prädikat im Plur. Wie stand es §. 17?

§. 29. **ἃ δέομ.**, Acc. des Inhalts. — **ὡς**, s. I, 2, 4 z. d. W. — **συσκευασ.**, frei: 'marschfertig'. — ὡς c. Part. Fut. s. I, 1, 3 z. ὡς ἀποκτεν. Es ist hier mit ἥξω zu verbinden. — **ἀρχήν**, Karien.

IV. Nach des Tissaphernes Rückkehr Abzug aus Babylonien, Übergang über den Tigres und Marsch bis zum Zapatas.

§. 1—7. Mifstrauen der Griechen gegen Ariaios; Klearchos widerrät den Abmarsch der Griechen.

§. 1. **ἡμέρ.** — **εἴκοσ.**, nach Diodor war Tissaphernes während dieser Zeit in der Hauptstadt Babylon und empfing den Lohn für seine

οἱ ἀδελφοὶ καὶ οἱ ἄλλοι ἀναγκαῖοι καὶ πρὸς τοὺς σὺν ἐκείνῳ Περσῶν τινες, [οἳ] παρεθάρρυνόν τε καὶ δεξιὰς ἐνίοις παρὰ βασιλέως ἔφερον μὴ μνησικακήσειν βασιλέα αὐτοῖς τῆς σὺν Κύρῳ ἐπιστρατείας μηδὲ ἄλλου μηδενὸς τῶν παροιχομένων. τούτων 2
δὲ γιγνομένων ἔνδηλοι ἦσαν οἱ περὶ Ἀριαῖον ἧττον προσέχοντες τοῖς Ἕλλησι τὸν νοῦν· ὥστε καὶ διὰ τοῦτο τοῖς μὲν πολλοῖς τῶν Ἑλλήνων οὐκ ἤρεσκον, ἀλλὰ προσιόντες τῷ Κλεάρχῳ ἔλεγον καὶ τοῖς ἄλλοις στρατηγοῖς, Τί μένομεν; ἢ 3
οὐκ ἐπιστάμεθα, ὅτι βασιλεὺς ἡμᾶς ἀπολέσαι ἂν περὶ παντὸς ποιήσαιτο, ἵνα καὶ τοῖς ἄλλοις Ἕλλησι φόβος εἴη ἐπὶ βασιλέα μέγαν στρατεύειν; καὶ νῦν μὲν ἡμᾶς ὑπάγεται μένειν διὰ τὸ διεσπάρθαι αὐτῷ τὸ στράτευμα· ἐπὴν δὲ πάλιν ἁλισθῇ αὐτῷ ἡ στρατιά, οὐκ ἔστιν ὅπως οὐκ ἐπιθήσεται ἡμῖν. ἴσως δέ που 4
ἢ ἀποσκάπτει τι ἢ ἀποτειχίζει, ὡς ἄπορος εἴη ἡ ὁδός. οὐ γάρ ποτε ἑκών γε βουλήσεται ἡμᾶς ἐλθόντας εἰς τὴν Ἑλλάδα ἀπαγγεῖλαι, ὡς ἡμεῖς τοσοίδε ὄντες ἐνικῶμεν [τὸν] βασιλέα ἐπὶ ταῖς θύραις αὐτοῦ καὶ καταγελάσαντες ἀπήλθομεν. Κλέαρχος δὲ 5
ἀπεκρίνατο τοῖς ταῦτα λέγουσιν, Ἐγὼ ἐνθυμοῦμαι μὲν καὶ ταῦτα πάντα· ἐννοῶ δ' ὅτι, εἰ νῦν ἄπιμεν, δόξομεν ἐπὶ πολέμῳ ἀπιέναι καὶ παρὰ τὰς σπονδὰς ποιεῖν. ἔπειτα πρῶτον

Dienste. — *πρὸς τοὺς σὺν ἐκείν.* übersetze durch ein Hptw. „Leute“ und das Pron. poss. — *δεξιὰς ἔφερ.*, ein symbolischer Ausdruck für unser: ‘im Namen des Königs versprechen’. Die Phrase hat dieselbe Kstr. wie das einfache Verb.; beachte auch, dafs nicht *οὐ* steht, sondern *μή*, wie VII, 6, 17 nach *ὄμνυμι*. Ähnl. *δεξιὰν πέμπειν*. u. Cornel Dat. 10: dextram mittebat. — *μηδενός*, s. I, 2, 26 z. *οὐδενί*.

§. 2. *οἱ περί* od. *οἱ ἀμφί* mit dem Accus. bezeichnen die Person mit der Umgebung, s. jedoch VII, 2, 18 z. d. W. — *ἔνδηλοι* c. Partic. s. I, 2, 11 z. *δῆλος*. — *καὶ διὰ τοῦτο* ist ein specieller Grund, der allgemeine ist das Ausbleiben des Tissaph. — *τοῖς μὲν πολλ.*, Gegensatz ist *Κλέαρχ. δέ* §. 5. — *ἀλλὰ προσιόντ.*, Übergang in einen selbständigen Satz, daher Wechsel des Subjekts; im D. setze den Nbs. fort.

§. 3. *περὶ παντ. ποιήσ.*, s. I, 9, 7 z. d. W.

φόβ. εἴη. Umschreibung d. Verb. fin. zur Hervorhebung. — *ὑπάγεται*, s. II, 1, 18 z. d. W.

διὰ τὸ διεσπάρθ., s. I, 5, 9 z. *τῷ διεσπάρθαι*. — *αὐτῷ*, können wir durch d. Possessiv. übersetzen. *οὐκ ἔστιν ὅπως οὐκ*, es ist kein Grund, wie oder warum er nicht, d. i. er wird auf jede Weise, ohne Zweifel s. I, 5, 7 z. *ἦν δὲ οὗς*.

§. 4. *τι*, s. I, 10, 16 z. d. W. — Was liegt in *ἀπό*? — *τοσοίδε ὄντες*, s. I, 6, 7 z. *δύναμιν*. — Im D. fasse diese Worte frei als Appos. z. *ἡμεῖς*, = solch' ein Häuflein. — *ἐπὶ ταῖς θύρ.*, hyperbolisch; da sie einmal im Lande sind, hat die Entfernung für sie keinen Wert, im Geiste sind sie in der Nähe der Residenz.

§. 5. *ἐπί* c. Dativ des Zwecks. — *παρέξει* gehört prägnant auch

1. des erlittenen Bösen eingedenk sein. 2. med. locken. 3. ἴξω versammeln.
4. abschneiden / Gräben. 5. so viele = so wenige

μὲν ἀγορὰν οὐδεὶς παρέξει ἡμῖν οὐδὲ ὅθεν ἐπισιτιούμεθα·
αὖθις δὲ ὁ ἡγησόμενος οὐδεὶς ἔσται· καὶ ἅμα ταῦτα ποιούν-
των ἡμῶν εὐθὺς Ἀριαῖος ἀποσταίη· ὥστε φίλος ἡμῖν οὐδεὶς
λελείψεται, ἀλλὰ καὶ οἱ πρόσθεν ὄντες πολέμιοι ἡμῖν ἔσονται.
ποταμὸς δ' εἰ μέν τις καὶ ἄλλος ἄρα ἡμῖν ἐστι διαβατέος οὐκ
6 οἶδα· τὸν δ' οὖν Εὐφράτην ἴσμεν ὅτι ἀδύνατον διαβῆναι
κωλυόντων πολεμίων. οὐ μὲν δή, ἂν μάχεσθαί γε δέῃ, ἱππεῖς
εἰσιν ἡμῖν σύμμαχοι, τῶν δὲ πολεμίων ἱππεῖς εἰσιν οἱ πλεῖ-
στοι καὶ πλείστου ἄξιοι· ὥστε νικῶντες μὲν τίνα ἂν ἀποκτεί-
7 ναιμεν; ἡττωμένων δὲ οὐδένα οἷόν τε σωθῆναι. ἐγὼ μὲν οὖν
βασιλέα, ᾧ οὕτω πολλά ἐστι τὰ σύμμαχα, εἴπερ προθυμεῖται
ἡμᾶς ἀπολέσαι, οὐκ οἶδα ὅ,τι δεῖ αὐτὸν ὀμόσαι καὶ δεξιὰν
δοῦναι καὶ θεοὺς ἐπιορκῆσαι καὶ τὰ ἑαυτοῦ πιστὰ ἄπιστα
ποιῆσαι Ἕλλησί τε καὶ βαρβάροις. τοιαῦτα πολλὰ ἔλεγεν.
8 Ἐν δὲ τούτῳ ἧκε Τισσαφέρνης ἔχων τὴν ἑαυτοῦ δύναμιν
ὡς εἰς οἶκον ἀπιὼν καὶ Ὀρόντας τὴν ἑαυτοῦ δύναμιν· ἦγε δὲ
9 καὶ τὴν θυγατέρα τὴν βασιλέως ἐπὶ γάμῳ. ἐντεῦθεν δὲ ἤδη
Τισσαφέρνους ἡγουμένου καὶ ἀγορὰν παρέχοντος ἐπορεύοντο·

z. *οὐδὲ ὅθεν* = Dörfer anweisen, aus. — *ὁ ἡγησόμ.*, s. II, 3, 5 z. *ὁ τολμήσ.* — *ἅμα* c. Partic. die Zeitbedeutung bestimmter hervorhebend drückt die vollkommne Gleichzeitigkeit der Haupthandlung mit der Nebenhandlung aus. — *ποιούντ. ἡμ.*, konditional. — *λελείψ.* Futur. III. siehe I, 5, 17 z. *κατακεκ.* — *οἱ πρόσθεν ὄντες*, das fehlende Prädik. ergiebt der vorhergehende Satz; im D. wird dasselbe in dem Relativs. durch „es" angedeutet.

§. 6. *ποταμός*, durch Stellung betont. — *δ' οὖν*, s. I, 2, 12 z. d. W. — *Εὐφράτην*, die bekannte Anticipation, wodurch das Hptw. durch Stellung betont wird. — *οὐ μὲν δή*, s. I, 9, 13 z. d. W. — *ὥστε κ. τ. λ.*, der Folgesatz wird in eine Frage gekleidet, wodurch der Gedanke an Kraft u. Nachdruck gewinnt. Wir können das nicht nachahmen. — *ἡττωμέν.*, warum kann der Subjektsgenitiv fehlen? — *οὐδένα*, im D. ziehe die Negat. z. *οἷον*, das unbestimmte Pronom. = „auch nur einen" als Subj. z. *σωθῆναι*.

§. 7. *βασιλέα*, Anticipation, und durch Stellung betont, denn wir setzen es erst zu *ὅ,τι δεῖ*, weshalb Xen. daselbst *αὐτόν* wiederholt. Konstr.: *ἐγὼ μὲν οὖν οὐκ οἶδα, ὅ,τι δεῖ βασιλέα, ᾧ — εἴπερ — ἀπολ., ὀμόσαι κ. τ. λ. σύμμαχ.* — *σύμμαχα*, Neutr., weil Xen. Menschen und Dinge, wie die Ströme, im Sinne hat. — *θεούς*, Acc. d. Person, bei der man schwört. s. III, 1, 22. — *πιστὰ ἄπιστα ποιῆσ.*, Paronomasie d. Gegensätze: „Eide zu Meineiden machen".

§. 8—14. Zug bis zum Tigres; Einiges über die Bewässerungsgräben.

§. 8. *εἰς οἶκον*, II, 3, 29 z. *εἰς τὴν — ἀρχήν*. — *Ὀρόντας*, Satrap von Armenien, s. III, 5, 17. — Stellung ist die Konjunktio. — *ἦγε*, Orontas, s. III, 4, 13. *ἐπί* c. Dativ., zu einer förmlichen Ehe; frei: als Gattin.

§. 9. *ἐπορ.* — *ἐπορ.*, Epanastrophe, durch welche hier ver-

1. ἐπισιτίζεσθαι sich Nahrungsmittel nehmen. 2. Meineid schwören. 3. [illegible] 4. [illegible]

ἐπορεύετο δὲ καὶ Ἀριαῖος τὸ Κύρου βαρβαρικὸν ἔχων στρά-
τευμα ἅμα Τισσαφέρνει καὶ Ὀρόντᾳ καὶ συνεστρατοπεδεύετο
σὺν ἐκείνοις. οἱ δὲ Ἕλληνες ὑφορῶντες τούτους αὐτοὶ ἐφ' 10
ἑαυτῶν ἐχώρουν ἡγεμόνας ἔχοντες. ἐστρατοπεδεύοντο δὲ ἑκά-
στοτε ἀπέχοντες ἀλλήλων παρασάγγην καὶ πλεῖον· ἐφυλάττοντο
δὲ ἀμφότεροι ὥσπερ πολεμίους ἀλλήλους, καὶ εὐθὺς τοῦτο
ὑποψίαν παρεῖχεν. ἐνίοτε δὲ καὶ ξυλιζόμενοι ἐκ τοῦ αὐτοῦ 11
καὶ χόρτον καὶ ἄλλα τοιαῦτα συλλέγοντες πληγὰς ἐνέτεινον
ἀλλήλοις· ὥστε καὶ τοῦτο ἔχθραν παρεῖχε. διελθόντες δὲ τρεῖς 12
σταθμοὺς ἀφίκοντο πρὸς τὸ Μηδίας καλούμενον τεῖχος, [2. Oktbr.
καὶ παρῆλθον εἴσω αὐτοῦ. ἦν δὲ ᾠκοδομημένον πλίνθοις ὀπταῖς
ἐν ἀσφάλτῳ κειμέναις, εὖρος εἴκοσι ποδῶν, ὕψος δὲ ἑκατόν·
μῆκος δ' ἐλέγετο εἶναι εἴκοσι παρασαγγῶν· ἀπέχει δὲ Βαβυ-
λῶνος οὐ πολύ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο [4. Oktbr. 13
παρασάγγας ὀκτώ· καὶ διέβησαν διώρυχας δύο, τὴν μὲν ἐπὶ
γεφύρας, τὴν δ' ἐζευγμένην πλοίοις ἑπτά· αὗται δ' ἦσαν ἀπὸ
τοῦ Τίγρητος ποταμοῦ· κατετέτμηντο δὲ ἐξ αὐτῶν καὶ τάφροι
ἐπὶ τὴν χώραν, αἱ μὲν πρῶται μεγάλαι, ἔπειτα δ' ἐλάττους·
τέλος δὲ καὶ μικροὶ ὀχετοί, ὥσπερ ἐν τῇ Ἑλλάδι ἐπὶ τὰς με-

wandte Prädikate nebeneinander treten. S. I, 1, 7 z. πλὴν Μιλήτ. — Warum hier das Imperf.?

§. 10. αὐτοί verstärkt das Reflex., s. auch II, 1, 2. — ἡγεμόν., Wegweiser. — καὶ πλεῖον, im D. in solchen Fällen „oder". — ἐφυλάττ. — παρεῖχεν, Chiasmus. Zu beachten ist, daſs hier und im folgenden Xenoph. nicht ohne Humor das Entstehen des Miſstrauens zwischen den Griechen und Persern schildert und die Lügen aufdeckt.

§. 11. ξυλιζόμ. ἐκ, ἐκ wie I, 5, 10. — πληγ. ἐνέτειν., derselbe bildliche Ausdruck liegt im Deut.: einem einige überziehen.

§. 12. πρὸς τὸ Μηδίας — τεῖχος, welchen Weg die Griechen eingeschlagen, was die Worte εἴσω αὐτοῦ (marschierten innerhalb derselben nach Babylon zu, Rehd.: „passierten sie nach innen d. i. hinein") in Beziehung auf die Mauer bedeuten, ist bei den verschiedenen Ansichten der Reisenden schwer zu entscheiden. Die gewöhnlichste Annahme ist, daſs die Mauer im N.-O. den Tigres an einem Punkte zwischen der alten Stadt Opis u. dem heutigen Bagdad berührte und im S.-W. südlich von Pylä auf den Euphrat oder einen aus diesem Hauptstrome abgeleiteten Hauptkanal stieſs. — ἐν ἀσφάλτῳ, Erdpech wird noch jetzt als Mörtel, zum Teil aber auch einfach statt der Steine als Pflaster gebraucht. — Zur Sache s. III, 4, 7. — ἦν u. ἐλέγετο s. I, 2, 7 z. ἦν; nachher steht ἀπέχει. — εὖρος, ὕψος s. I. 2, 23 zu ὄνομα. Die Genit. qual. (s. das.) gehören zu τεῖχος.

§. 13. ἐζευγμέν., wir lösen auf: auf — „mit denen er überbrückt war"; nach d. Aktiv. ζευγνύναι ποταμόν, διώρυχα. So latein.: Romani ponte Ticinum iungunt. — ὥσπερ, was ist aus κατετέτμ. z. ergänzen? — μελίνας, der lebhafte Grieche setzt die Frucht, deren Wachstum durch Bewässerung befördert werden soll, statt

λίνας· καὶ ἀφικνοῦνται ἐπὶ τὸν Τίγρητα ποταμόν· πρὸς ᾧ
πόλις ἦν μεγάλη καὶ πολυάνθρωπος, ᾗ ὄνομα Σιττάκη, ἀπ-
14 έχουσα τοῦ ποταμοῦ σταδίους πεντεκαίδεκα. οἱ μὲν οὖν Ἕλ-
ληνες παρ' αὐτὴν ἐσκήνησαν ἐγγὺς παραδείσου μεγάλου καὶ
καλοῦ καὶ δασέος παντοίων δένδρων· οἱ δὲ βάρβαροι διαβε-
15 βηκότες τὸν Τίγρητα· οὐ μέντοι καταφανεῖς ἦσαν. μετὰ δὲ
τὸ δεῖπνον ἔτυχον ἐν περιπάτῳ ὄντες πρὸ τῶν ὅπλων Πρό-
ξενος καὶ Ξενοφῶν· καὶ προσελθὼν ἄνθρωπός τις ἠρώτησε
τοὺς προφύλακας, ποῦ ἂν ἴδοι Πρόξενον ἢ Κλέαρχον· Μέ-
νωνα δὲ οὐκ ἐζήτει, καὶ ταῦτα παρ' Ἀριαίου ὢν τοῦ Μένω-
16 νος ξένου. ἐπεὶ δὲ Πρόξενος εἶπεν, ὅτι αὐτός εἰμι ὃν ζητεῖς,
εἶπεν ὁ ἄνθρωπος τάδε. Ἔπεμψέ με Ἀριαῖος καὶ Ἀρτάοζος,
πιστοὶ ὄντες Κύρῳ καὶ ὑμῖν εὖνοι, καὶ κελεύουσι φυλάττε-
σθαι, μὴ ὑμῖν ἐπιθῶνται τῆς νυκτὸς οἱ βάρβαροι· ἔστι δὲ
17 στράτευμα πολὺ ἐν τῷ πλησίον παραδείσῳ. καὶ παρὰ τὴν
γέφυραν τοῦ Τίγρητος ποταμοῦ πέμψαι κελεύουσι φυλακήν,
ὡς διανοεῖται αὐτὴν λῦσαι Τισσαφέρνης τῆς νυκτός, ἐὰν δύ-
νηται, ὡς μὴ διαβῆτε, ἀλλ' ἐν μέσῳ ἀποληφθῆτε τοῦ ποτα-
18 μοῦ καὶ τῆς διώρυχος. ἀκούσαντες ταῦτα ἄγουσιν αὐτὸν παρὰ
τὸν Κλέαρχον καὶ φράζουσιν ἃ λέγει. ὁ δὲ Κλέαρχος ἀκούσας

des Feldes, auf dem sie wächst. — ᾗ ὄνομα, s. I, 2, 1 z. ὃς προειστήκ. — Σιττάκη, einige setzen sie auf das rechte Ufer des Tigres, in die Nähe des jetzigen Scheriat el Beidha; andre auf die Westseite an die Stelle des späteren Akbara.

§. 14. δασέος ist nach Analogie der Adj. der Fülle mit dem Genit. konstruiert; gebräuchlicher ist dabei der Dativ. Der Genit. bezeichnet die Bäume als Stoff, der Dat. als Mittel, durch welches die Dichtheit bewirkt wird. — Andere verbinden δένδρων als Gen. des Stoffs od. Inhalts mit παραδείσ. — οἱ δὲ βάρβ., das Prädikat ist das des vorhergehenden Satzes.

§. 15—24. Falsche Nachricht wegen eines Überfalls; Übergang über den Tigres.

§. 15. πρὸ τῶν ὅπλων, s. Exk. §. 46. — ἴδοι, finden. Opt. potent. in der indir. Frage. — καὶ ταῦτα, s. I, 4, 12 z. d. W.

§. 16. ὅτι trotz der or. direkt., s. I, 6, 8 z. d. W. Beachte, daſs auch die Person der direkt. Rede beibehalten und der Aussagesatz ganz unverändert an den Hauptsatz gesetzt ist. — ἔπεμψε — πιστοὶ — κελεύουσι; wenn das Präd. mehreren persönlichen Subj. vorangestellt ist, so kann es selbst dann im Sgl. stehen, wenn die Subj. eine attributive oder appositionelle Bestimmung im Plur. haben und ein zweites Prädikat im Plur. folgt. Vergl. II, 3, 17. — Bedeutung des Aor. s. I, 9, 25 z. d. W. — πιστοὶ — εὖνοι, Chiasmus. — ὄντες gehört als Part. Impf. z. πιστοί u. als Part. Präs. z. εὖνοι. — κελεύουσι, s. I, 1, 3 z. συλλαμβ.

§. 17. γέφυραν, eine Schiffbrücke, wie §. 24 lehrt. — ὡς διαν., kausal. — Τισσαφ., Subj. zur Hervorhebung der andern Satzteile in die Mitte gestellt.

ἐταράχθη σφόδρα καὶ ἐφοβεῖτο. νεανίσκος δέ τις τῶν παρόν- 19
των ἐννοήσας εἶπεν, ὡς οὐκ ἀκόλουθα εἴη τὸ ἐπιθήσεσθαι καὶ
λύσειν τὴν γέφυραν. δῆλον γὰρ ὅτι ἐπιτιθεμένους ἢ νικᾶν
δεήσει ἢ ἡττᾶσθαι. ἐὰν μὲν οὖν νικῶσι, τί δεῖ λύειν αὐτοὺς
τὴν γέφυραν; οὐδὲ γάρ, ἂν πολλαὶ γέφυραι ὦσιν, ἔχοιμεν
ἂν ὅποι φυγόντες ἡμεῖς σωθῶμεν. ἐὰν δὲ ἡμεῖς νικῶμεν, 20
λελυμένης τῆς γεφύρας οὐχ ἕξουσιν ἐκεῖνοι ὅποι φύγωσιν·
οὐδὲ μὴν βοηθῆσαι πολλῶν ὄντων πέραν οὐδεὶς αὐτοῖς δυ-
νήσεται λελυμένης τῆς γεφύρας. ἀκούσας δὲ ὁ Κλέαρχος ταῦτα 21
ἤρετο τὸν ἄγγελον, πόση τις εἴη χώρα ἡ ἐν μέσῳ τοῦ Τίγρη-
τος καὶ τῆς διώρυχος. ὁ δὲ εἶπεν, ὅτι πολλὴ καὶ κῶμαι ἔνεισι
καὶ πόλεις πολλαὶ καὶ μεγάλαι. τότε δὴ καὶ ἐγνώσθη, ὅτι οἱ 22
βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες μὴ οἱ Ἕλ-
ληνες διελόντες τὴν γέφυραν μείναιεν ἐν τῇ νήσῳ ἐρύματα
ἔχοντες ἔνθεν μὲν τὸν Τίγρητα, ἔνθεν δὲ τὴν διώρυχα· τὰ
δ' ἐπιτήδεια ἔχοιεν ἐκ τῆς ἐν μέσῳ χώρας πολλῆς καὶ ἀγαθῆς
οὔσης καὶ τῶν ἐργασομένων ἐνόντων· εἶτα δὲ καὶ ἀποστροφὴ
γένοιτο, εἴ τις βούλοιτο βασιλέα κακῶς ποιεῖν. μετὰ δὲ ταῦτα 23
ἀνεπαύοντο· ἐπὶ μέντοι τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμψαν·
καὶ οὔτε ἐπέθετο οὐδεὶς οὐδαμόθεν οὔτε πρὸς τὴν γέφυραν
οὐδεὶς ἦλθε τῶν πολεμίων, ὡς οἱ φυλάττοντες ἀπήγγελλον.
ἐπειδὴ δ' ἕως ἐγένετο, διέβαινον τὴν γέφυραν ἐζευγμένην 24
πλοίοις τριάκοντα καὶ ἑπτὰ ὡς οἷόν τε μάλιστα πεφυλαγμέ-

§. 18. *ἐταράχθη* u. *ἐφοβεῖτο*, Wechsel der tempora. S. auch I, 1, 9 z. *ἠγάσθη*; *ἐφοβ.* inchoativ. Impf.

§. 19. *νεανίσκος τις*, wahrscheinlich der II, 1, 12 genannte Theopompus, mit dem Xen. sich selbst meint. — *τῶν παρ.*, Gen. part. — *ἀκόλουθα εἴη*, beachte den Wechsel des Numerus. — *τὸ ἐπιθήσ.*, im D. gebr. „Absicht" mit d. Inf. Präs. — *δῆλον*, Übergang in die or. direkt. — *τί δεῖ*, s. §. 6 z. *ὥστε νικῶντες*. — *οὐδὲ γάρ*, die Negation gehört zu *ἔχοιμεν*, das darin liegende *καί* zu *πολλαί*. — *σωθῶμ.*, Konj. deliber. in d. indir. Frage.

§. 20. *λελυμένης*, wegen der Wiederholung und Stellung siehe II, 3, 5 z. *ἄριστον* und I, 1, 2 z. *ἀναβαίνει*. — *οὐδέ* wie im §. 19. — *πολλ. ὄντ.*, konditionell.

§. 21. *πόση τις*, s. I, 8, 8 z. *τίς*. — *ἡ ἐν μέσῳ*, im D. genügt eine Präposition. — *πολλή*, was zu ergänzen? s. I, 4, 7 z. *ὡς ἀπιόντας*. — *πολλαὶ καὶ μεγάλ.*, s. II, 3, 18 z. *πολλά*.

§. 22. *διελόντες*, nach I, 1, 6 z. *ἐπιβουλ.* 1. Warum *διά*? — *ἔχοντες*, daselbst nach 3. kausal. — *ἐν μέσῳ* ist Attrib. z. *χώρας*. — *οὔσης* u. *ἐνόντων*, kausal. — *τῶν ἐργασ.* nach I, 9, 15 z. *θελόντ.* od. frei: „zum Bebauen geeignete Leute".

§. 23. *ὅμως*, als Nachsatz eines in *τότε δὴ καὶ ἐγνώσθη* liegenden Konzessivsatzes. Ähnl. II, 2, 17. — Im folgenden beachte die Häufung der Negationen, s. I, 2, 26 z. *οὐδενί*.

νως· ἐξήγγελλον γάρ τινες τῶν παρὰ Τισσαφέρνους Ἑλλήνων, ὡς διαβαινόντων μέλλοιεν ἐπιθήσεσθαι. ἀλλὰ ταῦτα μὲν ψευδῆ ἦν· διαβαινόντων μέντοι ὁ Γλοῦς [αὐτῶν] ἐπεφάνη μετ' ἄλλων σκοπῶν, εἰ διαβαίνοιεν τὸν ποταμόν· ἐπειδὴ δὲ εἶδεν, ᾤχετο ἀπελαύνων.

25 8. Oktbr.] Ἀπὸ δὲ τοῦ Τίγρητος ἐπορεύθησαν σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσιν, ἐπὶ τὸν Φύσκον ποταμόν, τὸ εὖρος πλέθρου· ἐπῆν δὲ γέφυρα. καὶ ἐνταῦθα ᾠκεῖτο πόλις μεγάλη ὄνομα Ὦπις· πρὸς ἣν ἀπήντησε τοῖς Ἕλλησιν ὁ Κύρου καὶ Ἀρταξέρξου νόθος ἀδελφὸς ἀπὸ Σούσων καὶ Ἐκβατάνων στρατιὰν πολλὴν ἄγων ὡς βοηθήσων βασιλεῖ· καὶ ἐπιστήσας τὸ ἑαυτοῦ στράτευμα παρερχομένους τοὺς Ἕλληνας ἐθεώρει.
26 ὁ δὲ Κλέαρχος ἡγεῖτο μὲν εἰς δύο, ἐπορεύετο δὲ ἄλλοτε καὶ ἄλλοτε ἐφιστάμενος. ὅσον δὲ [ἂν] χρόνον τὸ ἡγούμενον τοῦ στρατεύματος ἐπιστήσειε, τοσοῦτον ἦν ἀνάγκη χρόνον δι' ὅλου τοῦ στρατεύματος γίγνεσθαι τὴν ἐπίστασιν· ὥστε το στράτευμα καὶ αὐτοῖς τοῖς Ἕλλησι δόξαι πάμπολυ εἶναι, καὶ
27 14. Oktbr.] τὸν Πέρσην ἐκπεπλῆχθαι θεωροῦντα. ἐντεῦθεν δὲ ἐπορεύθησαν διὰ τῆς Μηδίας σταθμοὺς ἐρήμους ἕξ, παρασάγγας τριάκοντα, εἰς τὰς Παρυσάτιδος κώμας τῆς Κύρου καὶ βασιλέως μητρός. ταύτας Τισσαφέρνης Κύρῳ ἐπεγγελῶν διαρπάσαι τοῖς Ἕλλησιν ἐπέτρεψε πλὴν ἀνδραπόδων. ἐνῆν δὲ σῖτος
28 πολὺς καὶ πρόβατα καὶ ἄλλα χρήματα. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἐρήμους τέτταρας, παρασάγγας εἴκοσι, τὸν

§. 24. ὡς οἷόν τε — πεφυλ., s. I, 1, 6 z. ὡς μάλ. — παρὰ Τισσαφ., s. I, 1, 5 z. τῶν παρ' ἑαυτῷ. — διαβαινόντ., s. I, 2, 17 z. προϊόντ. — σκοπῶν, Partic. Imperf. Welches Partic. konnte auch stehen? — ᾤχετο c. Partic. übs. nach I, 1, 2 z. ἐτύγχανε.

§. 25—28. Marsch bis zum Zapatas.

§. 25. Φύσκον. Einige halten ihn für den heutigen Adhem, andre nur für einen Kanal. — Auch die Lage der Stadt Opis ist schwer zu bestimmen. Einige suchen sie in den Ruinen Babilin, andre in der Nähe des heutigen Eski- (od. Alt-) Baghdad. Neuere Reisende meinen, daſs sie am Einfluſs des Kufri in den Tigres gelegen habe. Abicht zu Herod. I, 189, 6. — ᾠκεῖτο, s. I, 4, 1 u. I, 4, 11 z. d. W. — πρὸς ἥν, im D. „wo?“ — ἐπιστήσ., s. I, 8, 15 z. d. W.

§. 26. ἡγεῖτο, zur Sache s. Exk. §. 28. — ὅσον — ἐπιστήσ. iterat. Relativs., s. I, 1, 5 z. ὅστις. — τοσοῦτον, weshalb betont?

§. 27. Μηδίας, das Land am mittlern Tigres, das früher Assyrien hieſs. — σταθμ. ἐρήμ., s. I, 5, 1 z. d. W. — Παρυσάτ. κῶμαι lagen wahrscheinlich an der Mündung des kleinen Zab, h. Zâb Asfal, den Xen. zu nennen vergessen hat. — ἐπεγγελῶν, was liegt in ἐπί? διαρπάσαι, s. I, 2, 26 z. d. W. — πλὴν ἀνδραπ., d. i. sie sollten keine Einwohner zu Sklaven machen.

1. ausführlich. 2. Halt machen lassen. 3. von Zeit zu Zeit. 4. Spitze. 5. Aufenthalt. 6. versprochen 7. [illegible]

Τίγρητα ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες. ἐν δὲ τῷ [15. Oktbr. πρώτῳ σταθμῷ πέραν τοῦ ποταμοῦ πόλις ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων ὄνομα Καιναί, ἐξ ἧς οἱ βάρβαροι διῆγον ἐπὶ σχεδίαις διφθερίναις ἄρτους, τυρούς, οἶνον.

Μετὰ ταῦτα ἀφικνοῦνται ἐπὶ τὸν Ζαπάταν ποταμόν, τὸ V. εὖρος τεττάρων πλέθρων. καὶ ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν δὲ ταύταις ὑποψίαι μὲν ἦσαν, φανερὰ δὲ οὐδεμία [19.—22. Oktbr. ἐφαίνετο ἐπιβουλή. ἔδοξεν οὖν τῷ Κλεάρχῳ σύγγενέσθαι τῷ 2 Τισσαφέρνει [καὶ] εἴ πως δύναιτο παῦσαι τὰς ὑποψίας, πρὶν ἐξ αὐτῶν πόλεμον γενέσθαι· καὶ ἔπεμψέ τινα ἐροῦντα, ὅτι συγγενέσθαι αὐτῷ χρῄζει. ὁ δὲ ἑτοίμως ἐκέλευεν ἥκειν. ἐπειδὴ δὲ 3 συνῆλθον, λέγει ὁ Κλέαρχος τάδε. Ἐγώ, ὦ Τισσαφέρνη, οἶδα μὲν ἡμῖν ὅρκους γεγενημένους καὶ δεξιὰς δεδομένας μὴ ἀδικήσειν ἀλλήλους· φυλαττόμενον δὲ σέ τε ὁρῶ ὡς πολεμίους ἡμᾶς καὶ ἡμεῖς ὁρῶντες ταῦτα ἀντιφυλαττόμεθα. ἐπεὶ δὲ σκοπῶν 4 οὐ δύναμαι οὔτε σὲ αἰσθέσθαι πειρώμενον ἡμᾶς κακῶς ποιεῖν, ἐγώ τε σαφῶς οἶδα, ὅτι ἡμεῖς γε οὐδ' ἐπινοοῦμεν τοιοῦτον

§. 28. τὸν Τίγρητα — ἐν ἀριστερᾷ. Die Griechen zogen demnach zwischen dem kleinen und grofsen Zab westlich vom Karatschuk Dagh, während jetzt die Hauptstrafse zwischen den beiden Flüssen östlich von dieser Gebirgskette läuft. — Καιναί, bei Ezechiel 27, 23 Kanne genannt. Die Ruinen dieser Stadt, in denen einige Reste assyrischer Kunst gefunden sind, heifsen Kalà'at-Scherkat.

σχεδ. διφθερ., üb. diese Kelleks s. I, 5, 10. — ἄρτους, τυρ., Asyndeton bei Aufzählungen, zur Hervorhebung der Masse.

V. Der leichtgläubige Klearchos und der treulose Tissaphernes.

§. 1—15. Klearchos beweist dem Tissaphernes, dafs die Perser kein Mifstrauen gegen die Griechen zu hegen haben und dafs treue Freundschaft beiden fromme.

§. 1. Ζαπάταν, heifst noch jetzt der grofse Zab, Zâb-el-kebîr (grofse) oder el-'ala (obere).

ὑποψίαι, Abstrakta im Plur. bezeichnen die verschiedenen, wiederholten Erscheinungen des Begriffs, auch Veranlassungen, so hier: „Veranl. z. Verd." — Warum folgt φανερὰ δέ und nicht ἐπιβουλὴ δέ?

§. 2. εἰ, indir. Frage, weil dem Kl. bei συγγεν. die Absicht etwas zu ermitteln vorschwebt. — ἐροῦντα ist nach I, 3, 5 z. ἐρεῖ aufzulösen. Der Lat. gebraucht das Part. Fut. ebenso.

§. 3. Die folg. Rede des Klearchos, die wie alle folgenden Reden nicht wörtlich so gehalten, sondern später von Xenoph. ausgearbeitet ist, wurde schon von den griechischen Rhetoren gelobt. — μὲν — δέ übersetze hier durch 'zwar — gleichwohl'. — ἡμῖν, Dat. beim Passiv., sind hier Griechen u. Perser. Deshalb übers. „zwischen uns". ὅρκ. γίγν., werden geleistet oder hier „gewechselt". Von dieser Phrase hängt d. Inf. ab. — Beachte im folgenden die Stellung von φυλαττόμ. — ἀντιφυλαττόμ. und s. I, 4, 16 z. διαβεβ. — ὡς c. Adj. s. I, 1, 2 z. ὡς φίλον.

§. 4. σκοπῶν übersetze nach I, 1, 6 z. ἐπιβουλ. 1. mit der Präpos. 'trotz'. — οὔτε — τε, s. II, 2, 8. — σέ durch Zwischenstellung

1. Floß 2. Erinnern 3. Käse 4 nötig haben.

οὐδέν, ἔδοξέ μοι εἰς λόγους σοι ἐλθεῖν, ὅπως, εἰ δυναίμεθα,
5 ἐξέλοιμεν ἀλλήλων τὴν ἀπιστίαν. καὶ γὰρ οἶδα ἀνθρώπους
ἤδη τοὺς μὲν ἐκ διαβολῆς, τοὺς δὲ καὶ ἐξ ὑποψίας οἳ φοβηθέντες ἀλλήλους, φθάσαι βουλόμενοι πρὶν παθεῖν, ἐποίησαν ἀνήκεστα κακὰ τοὺς οὔτε μέλλοντας οὔτ' ἂν βουλομένους
6 τοιοῦτον οὐδέν. τὰς οὖν τοιαύτας ἀγνωμοσύνας νομίζων συνουσίαις μάλιστα ἂν παύεσθαι, ἥκω καὶ διδάσκειν σε βούλο-
7 μαι, ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς. πρῶτον μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσι πολεμίους εἶναι ἀλλήλοις· ὅστις δὲ τούτων σύνοιδεν αὑτῷ παρημεληκώς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι. τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι οὔτ' εἰς ποῖον ἂν σκότος ἀποδραίη οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη. πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὑποχείρια καὶ πανταχῇ

getrennt. — ὅπως κ. τ. λ., im D. durch einen verkürzten Absichtssatz. — ἐξέλοιμ. τ. ἀπιστίαν, im D.: Miſstrauen, Furcht benehmen. Ähnl. fidem eripere. — ἀλλήλων hängt von ἐξέλοιμεν ab.

§. 5. καὶ γὰρ οἶδα — ἐποίησαν, Mischung zweier Konstruktionen, indem Xenophon statt im Accusativ c. Partic. fortzufahren, in einen Relativsatz überspringt. Im D. laſs nach I, 1, 7 z. βουλευομ. einen Substantivsatz folgen, indem zuerst φοβηθέντ. Prädikat ist (Relativ οἵ bleibt also unübers.); zweites Prädikat ist durch 'und daſs' angeknüpft ἐποίησαν, so daſs φθάσαι βουλ. — παθεῖν kausaler Zwischensatz dieses zweiten Satzes wird. Man kann auch übers.: „ich habe M. g., welche" etc., indem φοβηθ. u. βουλόμ. dem ἐποίησαν koordin. Relativs. werden. Das hier geschilderte Verfahren beobachtete später Philipp v. Makedonien nach Demosth. Philip. II, 18.

πρὶν παθεῖν, nach I, 2, 20 z. ἐπιβουλ. — τοὺς οὔτε μέλλ. — βουλομ. ist Obj. z. ἐποίησ. ἀνήκ. κακ., übs. nach I, 9, 15 z. τ. θελ., doch ist hier der Artikel mehr ein betontes Pronom. demonstr. 'denen die'. Warum kann der Inf. bei den Partic. fehlen?

§. 6. νομίζων, kausal; ἥκω, adsum. — σὺ ἡμῖν s. II, 3, 27 z. ὑμᾶς ἡμῖν.

§. 7. πρῶτον μέν, ihm entspricht statt ἔπειτα δέ im §. 8. τῶν δ' ἀνθρωπ. — πρῶτ. καὶ μέγιστ., s. I, 3, 10 z. d. W. — θεῶν ὅρκοι erinnert nachdrücklicher an die Götter als Rächer des Meineids, als das einfache ὅρκοι, daher θεῶν auch noch durch Trennung betont; s. I, 1, 10 z. τριῶν μην. — παρημελ. Nomin. s. II, 1, 13 z. ἴσθι. — θεῶν πόλεμον, Anticipation s. I, 1, 5 z. τ. βαρβάρ. — ἀπό, den Gr. ist das ein Ausgangspunkt, was wir als Mittel fassen. s. I, 1, 9 z. ἀπό. — ὅπως gehört z. ἐχυρόν mit der Stellung wie sich οὕτως oder πολύ vor ihrem Adjekt. oft finden. Zum Schluſs suche die Paronomasieen dieses Satzes auf und beachte den Chiasmus der Satzteile bei anaphorischer Wortfolge. — εἰς — ἀποσταίη, sich nach dem Abfalle in e. Feste werfen. — Der Gedanke erinnert an Psalm 139, 7—10. — πάντῃ γὰρ πάντα — πανταχῇ πάντων: „wie unser „all" z. B. in „allüberall", „am allerschlimmsten", so dient das griechische πᾶς und seine Derivata zur vollen Erschöpfung eines Begriffes". — πάντων Obj. im Maskul. z. κρατ.

1. heillos. 2. Mißverständnisse 3. durch Zusammenkünfte. 4. mit welcher Schnelligkeit. 5. hinsetzen

πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. περὶ μὲν δὴ τῶν θεῶν τε καὶ 8
τῶν ὅρκων οὕτω γιγνώσκω, παρ' οὓς ἡμεῖς τὴν φιλίαν συν-
θέμενοι κατεθέμεθα· τῶν δ' ἀνθρωπίνων σὲ ἐγὼ ἐν τῷ
παρόντι νομίζω μέγιστον εἶναι ἡμῖν ἀγαθόν. σὺν μὲν γὰρ 9
σοὶ πᾶσα μὲν ὁδὸς εὔπορος, πᾶς δὲ ποταμὸς διαβατός, τῶν
τε ἐπιτηδείων οὐκ ἀπορία· ἄνευ δὲ σοῦ πᾶσα μὲν διὰ σκότους
ἡ ὁδός· οὐδὲν γὰρ αὐτῆς ἐπιστάμεθα· πᾶς δὲ ποταμὸς δύσ-
πορος, πᾶς δὲ ὄχλος φοβερός, φοβερώτατον δ' ἐρημία· μεστὴ
γὰρ πολλῆς ἀπορίας ἐστίν. εἰ δὲ δὴ καὶ μανέντες σε κατα- 10
κτείναιμεν, ἄλλο τι ἂν ἢ τὸν εὐεργέτην κατακτείναντες πρὸς
βασιλέα τὸν μέγιστον ἔφεδρον ἀγωνιζοίμεθα; ὅσων δὲ δὴ καὶ
οἵων ἂν ἐλπίδων ἐμαυτὸν στερήσαιμι, εἴ σέ τι κακὸν ἐπιχειρή-
σαιμι ποιεῖν, ταῦτα λέξω. ἐγὼ γὰρ Κῦρον ἐπεθύμησά μοι φί- 11
λον γενέσθαι, νομίζων τῶν τότε ἱκανώτατον εἶναι εὖ ποιεῖν

§. 8. **τῶν θεῶν τε καὶ τῶν ὅρκων**, Koordination statt der Subordination des vorigen §. (Hendiadyoin). — **παρ' οὓς** i. e. θεούς. — **κατατίθεσθαι** wird gebraucht von schriftlichen Verträgen, die in Beisein von Zeugen abgeschlossen waren, einem Dritten versiegelt übergeben wurden, damit dieser über die Unverletzlichkeit des Dokuments wache. Der Sinn ist also: deren Schutze wir unsre geschlossene Freundschaft anvertraut haben. „So wurde im Mittelalter das Wertvollste zu gröſserer Sicherheit auf dem Altare des Herrn niedergelegt; wir „deponieren“ beim Gerichte“. — **συνθέμ. κατεθέμ.**, Paronomasie.

§. 9. **πᾶσα ὁδός**, jeder Weg; **πᾶσα ἡ ὁδός**, der ganze Weg, d. i. der ganze Rückweg. — **διὰ σκότους** umschreibt das Adjektiv. — **αὐτῆς**, ist Attrib. z. Obj. οὐδέν. — **φοβερός, φοβερώτ.** Das Neutr. steht, weil das Subj. als Sache, als Art im allgemeinen gefaſst wird. Cfr. III, 2, 22. IV, 4, 11. Hom. Il. II, 204 οὐκ ἀγαθὸν πολυκοιρανίη. — Virgil: triste lupus stabulis. Zur Paronomasie Schiller: „der Schrecklichste der Schrecken“. — **ἐρημία** sc. v. Menschen. — Die Bedeutung des anaphorischen Baus des ganzen aus kurzen Sätzen ohne Kopula bestehenden §. und die Wiederholung des betonten πᾶς wird noch gehoben durch die beiden Erklärungssätze des zweiten Gliedes und die doppelte Bedeutung von ἀπορία, durch die Zusammenstellung von ἐρημία u. μεστή und Gegenstellung von εὔπορος u. δύσπορος.

§. 10. **μανέντες** u. **κατακτείν.** nach I, 1, 6 z. ἐπιβουλ. 1. — **ἄλλο τι ἂν ἢ** = sonst was, sc. καταπράξαιμεν od. ποιοῖμεν. Dieser elliptische Satz hat die Geltung des lat. nonne. — **τὸν εὐεργέτην κατακτ.**, eine durch das Hauptwort statt des Pron. σέ verstärkte Epanalepsis des Verbi. — **ἔφεδρος**, Metapher aus der Palästra, dergleichen bei griech. Rednern oft vorkommen; denn ἔφεδρ. heiſst der dritte Ringkämpfer, der so lange dem Kampfe zuschaut, bis sich einer der beiden Kämpfer für besiegt erklärt, dann mit frischen Kräften den schon ermatteten Sieger angreift und so oft leicht besiegt. Hier vom Könige = furchtbarster Gegner. — **ὅσων δέ**, Stellung wie I, 1, 5 z. ὅστις.

§. 11. **γάρ** vorangestellt. — **μοι φίλον γενέσθ.**, durch ein abstr. Hauptw. als Obj. z. ἐπεθύμ. — **τῶν**

1. Gen. part. abhängig v. μέγ. ἀγαθόν. 2. Παρὰ τ. μαινομένων wahr. 3. unter seinen Zeitgenossen.

ὃν βούλοιτο· σὲ δὲ νῦν ὁρῶ τήν τε Κύρου δύναμιν καὶ χώραν ἔχοντα καὶ τὴν σαυτοῦ [ἀρχὴν] σῴζοντα, τὴν δὲ βασιλέως δύναμιν, ᾗ Κῦρος πολεμίᾳ ἐχρῆτο, σοὶ ταύτην σύμμαχον οὖ-
12 σαν. τούτων δὲ τοιούτων ὄντων τίς οὕτω μαίνεται ὅστις οὐ βούλεταί σοι φίλος εἶναι; ἀλλὰ μὴν ἐρῶ γὰρ καὶ ταῦτα, ἐξ
13 ὧν ἔχω ἐλπίδας καὶ σὲ βουλήσεσθαι φίλον ἡμῖν εἶναι. οἶδα μὲν γὰρ ὑμῖν Μυσοὺς λυπηροὺς ὄντας, οὓς νομίζω ἂν σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρασχεῖν· οἶδα δὲ καὶ Πισίδας· ἀκούω δὲ καὶ ἄλλα ἔθνη πολλὰ τοιαῦτα εἶναι, ἃ οἶμαι ἂν παῦσαι ἐνοχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰγυπτίους δέ, οἷς μάλιστα ὑμᾶς νῦν οἶδα τεθυμωμένους, οὐχ ὁρῶ ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι μᾶλλον ἂν κολά-
14 σαισθε τῆς νῦν σὺν ἐμοὶ οὔσης. ἀλλὰ μὴν ἔν γε τοῖς πέριξ οἰκοῦσι σὺ εἰ μὲν βούλοιό τῳ φίλος εἶναι, ὡς μέγιστος ἂν εἴης, εἰ δέ τίς σε λυποίη, ὡς δεσπότης [ἂν] ἀναστρέφοιο ἔχων ἡμᾶς ὑπηρέτας, οἵ σοι οὐκ ἂν τοῦ μισθοῦ ἕνεκα μόνον ὑπη-

τότε, frei: seine Zeitgenossen. — σέ, betont. — Κύρ. δύναμ. καὶ χώραν, die Satrapie u. Oberfeldherrnwürde des Kyros. — βασιλ. δύναμιν, Tiss. durfte sich nämlich aus dem Heere des Königs die beste Mannschaft aussuchen. — σοί durch Stellung betont. — ταύτην, s. II, 2, 20 z. d. W.

§. 12. ὅστις, steht hier wie das lat. qui c. Conj. = ὥστε. — ἀλλὰ μὴν κ. τ. λ., statt des begonnenen Hauptsatzes: 'aber fürwahr, es giebt auch Gründe, weshalb du wünschen mußt, unser Freund zu sein (u. ich will dir die Gründe für diese meine Ansicht sagen)', knüpft Klearch diesen Gedanken in einem Relativsatze an d. voraufgenommenen Satz ἐρῶ γάρ.

§. 13. οἶδα, c. Partic., s. I, 1, 7 z. βουλευομ. u. I, 4, 16 z. διαβεβ. — οὓς νομίζω, Acc. c. Inf. im Relativs., s. I, 9, 14 z. οὓς ἑώρα u. I, 3, 6 z. ἄν. — καὶ Πισίδας, was ist zu ergänzen? — ἀκούω, warum mit d. Inf.? — τοιαῦτα, d. h. solche, welche wie die Pisidier nach I, 1, 11 die königliche Oberherrschaft nicht anerkennen. Im folgenden Buche werden als solche die Lykaoner und Karduchen genannt. — παῦσαι c. Partic.; im D. der Inf., wobei aber ἄν zu beachten ist. — Αἰγυπτίους, Anticipation, weil aber sofort ein Relativsatz folgt, so übersetze den Acc. durch 'was betrifft'. Zur Sache s. II, 1, 14. — μάλιστα, warum vom Verb getrennt?

δυνάμ. συμμάχ., d. ein Hptw. — χρησάμ., entw. durch eine Präpos. oder als Verb. fin. und das griechische Präd. κολάσ. durch ein Hauptw. mit einer Präposit. κολασαισθε, warum das Medium? — τῆς — οὔσης, Genit. wegen μᾶλλον für ἢ τῇ — οὔσῃ. οὔσης entw. durch einen Relativs. oder das ganze durch Pron. posses.

§. 14. ἀλλὰ μήν, Wiederaufnahme des unterbrochenen Gedankens. — ἐν τ. πέρ. οἰκ., durch ein Hauptw. σύ durch Stellung sehr betont. — ἀναστρέφοιο, ist abgeschwächt = sein, verkehren, verfahren. ἄν ist aus der ersten hypothetisch. Apodosis bei ἀναστρ. zu ergänzen. — ἔχων — ὑπηρέτ. gehört auch zu μέγιστος ἂν εἴης, im D. setze ein Abstraktum u. beachte

1. lästig. 2. niedrig, unterwürfig T. ΠΑΡΕΧ = unterwerfen. 3. zu lästig sein. 4. Glück. 5. zürnen = όω. 6. [illegible] 7. so groß als möglich.

ῥετοῖμεν, ἀλλὰ καὶ τῆς χάριτος ἧς σωθέντες ὑπὸ σοῦ σοὶ ἂν
ἔχοιμεν δικαίως. ἐμοὶ μὲν δὴ ταῦτα πάντα ἐνθυμουμένῳ οὕτω 15
δοκεῖ θαυμαστὸν εἶναι τὸ σὲ ἡμῖν ἀπιστεῖν, ὥστε καὶ ἥδιστ'
ἂν ἀκούσαιμι τὸ ὄνομα τίς οὕτως ἐστὶ δεινὸς λέγειν ὥστε σε
πεῖσαι λέγων, ὡς ἡμεῖς σοι ἐπιβουλεύομεν. Κλέαρχος μὲν οὖν
τοσαῦτα εἶπε· Τισσαφέρνης δὲ ὧδε ἀπημείφθη.

Ἀλλ' ἥδομαι μέν, ὦ Κλέαρχε, ἀκούων σου φρονίμους λό- 16
γους· ταῦτα γὰρ γιγνώσκων εἴ τι ἐμοὶ κακὸν βουλεύοις, ἅμα
ἄν μοι δοκεῖς καὶ σαυτῷ κακόνους εἶναι. ὡς δ' ἂν μάθῃς,
ὅτι οὐδ' ἂν ὑμεῖς δικαίως οὔτε βασιλεῖ οὔτ' ἐμοὶ ἀπιστοίητε,
ἀντάκουσον. εἰ γὰρ ὑμᾶς ἐβουλόμεθα ἀπολέσαι, πότερά σοι 17
δοκοῦμεν ἱππέων πλήθους ἀπορεῖν ἢ πεζῶν ἢ ὁπλίσεως, ἐν
ᾗ ὑμᾶς μὲν βλάπτειν ἱκανοὶ εἴημεν ἄν, ἀντιπάσχειν δὲ οὐδεὶς
κίνδυνος; ἀλλὰ χωρίων ἐπιτηδείων ὑμῖν ἐπιτίθεσθαι ἀπορεῖν 18
ἄν σοι δοκοῦμεν; οὐ τοσαῦτα μὲν πεδία, ἃ φίλια ὄντα σὺν
πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη ὁρᾶτε ὑμῖν ὄντα
πορευτέα, ἃ ἡμῖν ἔξεστι προκαταλαβοῦσιν ἄπορα ὑμῖν παρέχειν,

I, 1, 2 z. λαβών. — ἧς, Attraktion. — χάριν ἔχειν = gratiam habere, s. auch I, 4, 15 z. χάριν. σοῦ σοί, kräftige Paronomasie. δικαίως, mit Nachdruck am Ende.

§. 15. οὕτω, gehört z. θαυμαστόν. — τὸ σὲ ἀπιστ., im D. e. Hauptw., zu dem σέ als attrib. Pronom. übers. wird. — ἂν ἀκούσ., Opt. pot. im Konsekutivs. — τὸ ὄνομα, τίς, Vermischung zweier Konstruktionen: ἀκούειν τίς und ἀκούειν τὸ ὄνομα τούτου ὅστις. — ὥστε σε πεῖσ. s. I, 4, 8 z. d. W. — σὲ ἡμῖν und nachher ἡμεῖς σοί gegensätzliche Nebeneinanderstellung, s. II, 3, 6 z. ὑμᾶς. — Aus wie viel Teilen besteht die Rede?

§. 16—23. Tissaphernes weist nach, dafs die Griechen keine Ursache zum Mifstrauen haben, und stimmt bei, dafs sie ihm von grofsem Nutzen sein können.

§. 16. ἀλλά im Anfange der Erwiderung „aber“; denn Tiss. hat das vom Kl. nicht erwartet. — ἥδομαι — ἀκούων s. I, 2, 18. — σοῦ Obj. z. ἀκούων (s. I, 2, 5 z. Τισσαφ.) mache z. Attr. z. φρον. λόγ. — ὡς δ' ἂν μάθ., ἄν nach ὡς und ὅπως in Absichtsätzen c. Konj. ist selten. — μοι δοκεῖς, im D. ein Zwischensatz.

§. 17. εἰ c. Impf. s. II, 1, 4 z. εἰ ἤλθετε. — πότερα κ. τ. λ., der eigentliche Nachsatz: „so würde es uns dazu nicht an Macht fehlen“, ist zur Hervorhebung in eine Frage verwandelt. εἴημεν ἄν gehört in andrer Form auch zu κίνδυν. — κίνδ. c. Inf. wie das Verb. κινδυνεύω s. IV, 1, 11. — ἀντιπάσχ., diesen Satz knüpfe im D. durch ‘während’ an, s. I, 3, 11 s. ὥρα.

§. 18. ἀλλά in der Frage, wenn der Redende sich selbst Einwendungen macht, wie hier Tiss. aus Klearchs Seele. Im D. = oder. Er beantwortet dann d. Einwurf durch Gegenfragen. — ἐπιτηδ., nach I, 1, 2 z. φίλον. — τοσαῦτα μὲν — τοσαῦτα δὲ — τοσοῦτοι δέ, Anaphora, in der οὐ zu den beiden letzten Gliedern zu wiederholen ist.

ὄρη — πορευτέα, nach πορεύεσθαι πεδίον aus πορεύεσθαι ὁδόν. — ὄντα, πορευτέα geh. zu bei-

τοσοῦτοι δ' εἰσὶ ποταμοὶ ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι ὁπόσοις ἂν ὑμῶν βουλώμεθα μάχεσθαι; εἰσὶ δ' αὐτῶν οὓς οὐδ' ἂν παντάπασι διαβαίητε, εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοι-
19 μεν· εἰ δ' ἐν πᾶσι τούτοις ἡττῴμεθα, ἀλλὰ τό γέ τοι πῦρ κρεῖττον τοῦ καρποῦ ἐστιν· ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαντες λιμὸν ὑμῖν ἀντιτάξαι, ᾧ ὑμεῖς οὐδ' εἰ πάνυ ἀγαθοὶ
20 εἴητε, μάχεσθαι ἂν δύναισθε. πῶς ἂν οὖν ἔχοντες τοσούτους πόρους πρὸς τὸ ὑμῖν πολεμεῖν, καὶ τούτων μηδένα ἡμῖν ἐπικίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν τὸν τρόπον ἐξελοίμεθα ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής, μόνος δὲ πρὸς
21 ἀνθρώπων αἰσχρός; παντάπασι δὲ ἀπόρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἐν ἀνάγκῃ ἐχομένων, καὶ τούτων πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θεοὺς καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. οὐχ οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἀλόγι-
22 στοι οὔτε ἠλίθιοί ἐσμεν. ἀλλὰ τί δὴ ὑμᾶς ἐξὸν ἀπολέσαι οὐκ ἐπὶ τοῦτο ἤλθομεν; εὖ ἴσθι ὅτι ὁ ἐμὸς ἔρως τούτου αἴτιος

beiden Sätzen u. auch zum dritten Gliede.

προκαταλαβ., nach I, 1, 6 z. *ἐπιβουλ.* 2. dem *παρέχειν* z. koordinieren. — *ταμιεύεσθαι*, prägn.: sich taktisch einrichten und bestimmen. Das Bild ist von der Wirtschafterin entlehnt. (Blücher an der Katzbach: „Nun habe ich genug Franzosen herüber.") — *εἰσὶ δ' αὐτ. οὓς*, s. I, 5, 7 z. *ἦν δὲ τούτων*. — *ἡμεῖς ὑμᾶς*, s. II, 3, 26 z. *ὑμᾶς*.

§. 19. *ἀλλὰ τὸ γέ τοι*, *ἀλλά* in der Apodosis eines hypothetischen Satzes = doch gewiſs wenigstens. *τὸ πῦρ — καρποῦ*, Sinn: kann durch Feuer vernichtet werden. — *κατακαύσαντες*, nach I, 1, 6 z. *ἐπιβουλ.* 1. *κατά*? — *ἀντιτάξαι* setzt das Bild des *κρεῖττον* fort. — *οὐδ' εἰ*, s. I, 6, 8 z. d. W.

§. 20. *πῶς ἄν*, *ἄν* gehört z. *ἐξελοίμ.*, bei welchem es der Trennung wegen wiederholt wird. — *ἔχοντες*, konditionell wie *μηδένα* zeigt. *ἐπικίνδυν.*, I, 1, 2 z. *φίλον*. — *ἔπειτα* nimmt die Particip. wieder auf = dann d. i. demungeachtet. — *μόνος — αἰσχρός*, besonders kräftige Anaphora durch das Fehlen der Kopula, die in abhängigen Sätzen selten fehlt. Die Anaphora entspricht schön der berechneten Ostentation erheuchelter Gefühle und Gesinnung (Rhed.: angenomm. Pathos der Lüge). — *πρὸς θεῶν*, s. I, 6, 6 z. d. W.

§. 21. *ἀπόρων*, Gen. qualit. — *καὶ τούτων*, *καὶ οὗτος* fügt zu einem Nomen einen meist adjektivischen Begriff, der vorzugsweise in Betracht kommt.

οἵτινες ἐθέλουσι, Tissaph. fährt fort, als stände vorher *ἄποροί εἰσιν*; nach der angefangenen Kstr. muſste der Infin. stehen, und so übersetze, oder nach §. 12 z. d. W. — *οὔτε — οὔτε* die Synonymen sollen den Begriff, in jeder Nuance u. Gestalt, verneinen.

§. 22. *ἀλλὰ τί δὴ κ. τ. λ.*, rhetorische Frage, mit der sich Tiss. einen nahe liegenden Einwurf macht, den er durch Eingehen auf Klearchs §. 14 widerlegt. — *ἐξόν*, Acc. absol. wie Gen. abs. zu übersetzen. *ἐπὶ τοῦτο ἤλθομ.*, Umschreibung v. *πράττειν*; ähnlich das D. 'schreiten'. — *τούτου* sc. *τοῦ μὴ ἐπὶ τοῦτο ἐλθεῖν* ist abhängig von *αἴτιος*. — *τὸ γενέσθαι* und

durchaus. 2. Mittel. 3. wie könnten wir denn? 4. Das ist [illegible]. 5 unbesonnen 6. einfältig. 7. oder warum sind wir, da es uns doch erlaubt ist, euch zu verderben, nicht dazu geschritten

τὸ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι, καὶ ᾧ Κῦρος ἀνέβη ξενικῷ διὰ μισθοδοσίας πιστεύων, τούτῳ ἐμὲ καταβῆναι δι' εὐεργεσίαν ἰσχυρόν. ὅσα δ' ἐμοὶ χρήσιμοι ὑμεῖς ἐστε τὰ μὲν 23
καὶ σὺ εἶπας, τὸ δὲ μέγιστον ἐγὼ οἶδα· τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν, τὴν δ' ἐπὶ τῇ καρδίᾳ ἴσως ἂν ὑμῶν παρόντων καὶ ἕτερος εὐπετῶς ἔχοι.

Ταῦτα εἰπὼν ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν· καὶ εἶπεν, 24
Οὐκοῦν, ἔφη, οἵτινες, τοιούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων, πειρῶνται διαβάλλοντες ποιῆσαι πολεμίους ἡμᾶς, ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν; Καὶ ἐγὼ μέν γε, ἔφη ὁ Τισσαφέρνης, εἰ βού- 25
λεσθέ μοι οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἐλθεῖν, ἐν τῷ ἐμφανεῖ λέξω τοὺς πρὸς ἐμὲ λέγοντας ὡς σὺ ἐμοὶ ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. Ἐγὼ δέ, ἔφη ὁ Κλέαρχος, ἄξω πάν- 26

καταβῆναι sind epexeget. Inf. z. ἔρως und geben den Inhalt des Verlangens an (dafs nämlich). — καὶ ᾧ Voranstellung des Relativs; im D. nimm den Relativsatz voraus. — ᾧ u. τούτῳ gehören z. πιστεύων u. ἰσχυρόν. — μισθοδοσ., Plur., weil der Sold zu verschiedenen Zeiten ausgezahlt ward. — Wie verhält sich folgende Übersetzung zu den griech. W.: 'Und durch das durch meine Wohlthaten gewonnene Söldnerheer, dessen besoldeter Treue Kyros auf seinem Zuge nach Oberasien vertraute, auf meiner Rückkehr nach Vorderasien geschützt zu sein'?

§. 23. ὅσα Acc. des Inhalts. — ἐμοὶ ὑμεῖς, warum diese Stellung und warum dieser Nebensatz voraus? — τὴν τιάραν. Dieser Kopfputz der persischen Könige, Kidaris genannt, den nach Curtius 'caerulea fascia albo distincta circumibat' (vgl. Kyr. VIII, 3, 13 εἶχε δὲ καὶ διάδημα περὶ τῇ τιάρᾳ), unterschied sich durch die aufrecht stehende Spitze, die wahrscheinlich eine Nachahmung der assyrischen Spitze ist, von der Tiara der übrigen vornehmen Perser, bei denen die Spitze vorn überhing, s. Fig. 42 und 43. — Layard bemerkt, dafs die Beschreibung, welche Curtius von der Kleidung des Dareios Kodomannos giebt, mit dem skulptierten Bilde des assyrischen Königs, das er in den Ruinen von Niniveh gefunden, sehr gut übereinstimmt. — ἕτερος, Tiss. meint sich selbst und deutet an, dafs er wohl im Vertrauen auf ihre Hülfe sich zum Abfall entschliefsen könne, daher hat τιάραν bei ἐπὶ τῇ καρδ. metaphorische Bedeutung: 'königliche Gesinnung hegen, d. i. sich niemandem unterwerfen wollen'.

§. 24—30. Klearchos durch Tissaph. gewonnen, verspricht mit allen Strategen zu kommen und überredet die Griechen, dieses zu gestatten.

§. 24. ταῦτα εἰπών, s. I, 3, 13 z. d. W.: hier = damit, hierin. — καὶ εἶπεν, Subj. ist oft aus einem Kasus obl. z. ergänzen, s. I, 4, 5 z. βιασάμ. — τοιούτων, solche Gründe. — πειρῶνται, wegen des Gen. abs. füge „dennoch" hinzu. — διαβάλλοντ., nach I, 1, 6 z. ἐπιβουλ. 1. Kl. meint den Menon.

§. 25. οἱ στρατηγ., Apposition zu dem im Verb. liegenden Pronominalsubjekt., s. I, 5, 16 z. ἄλλοι. Beachte auch, dafs hier der Artikel zweimal steht (I, 7, 2 z. d. W.), weil sie nicht als Ganzes gefafst, die Chargen unterschieden werden. Vergl. auch §. 29. — ἐν τῷ ἐμφανεῖ, s. I, 3, 21 z. ἐν τῷ φανερῷ. — τοὺς — λέγοντ., s. I, 9, 15 z. τ. θελόντ.

1. [illegible]
2. aufrecht. 3. [illegible] [illegible] 4. [illegible]

27 τας, καὶ σοὶ αὖ δηλώσω ὅθεν ἐγὼ περὶ σοῦ ἀκούω. ἐκ τούτων δὴ τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρονούμενος τότε μὲν μένειν τε αὐτὸν ἐκέλευε καὶ σύνδειπνον ἐποιήσατο. τῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος ἐλθὼν ἐπὶ τὸ στρατόπεδον δῆλός τ' ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι τῷ Τισσαφέρνει καὶ ἃ ἔλεγεν ἐκεῖνος ἀπήγγελλεν, ἔφη τε χρῆναι ἰέναι παρὰ Τισσαφέρνην οὓς ἐκέλευσε, καὶ οἳ ἂν ἐλεγχθῶσι διαβάλλοντες τῶν Ἑλλήνων, ὡς προδότας αὐτοὺς καὶ κακόνους τοῖς Ἕλλησιν
28 ὄντας τιμωρηθῆναι. ὑπώπτευε δὲ εἶναι τὸν διαβάλλοντα Μένωνα, εἰδὼς αὐτὸν καὶ συγγεγενημένον Τισσαφέρνει μετ' Ἀριαίου καὶ στασιάζοντα αὐτῷ καὶ ἐπιβουλεύοντα, ὅπως τὸ στράτευμα
29 ἅπαν πρὸς ἑαυτὸν λαβὼν φίλος ᾖ Τισσαφέρνει. ἐβούλετο δὲ καὶ ὁ Κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην καὶ τοὺς παραλυποῦντας ἐκποδὼν εἶναι. τῶν δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ μὴ ἰέναι πάντας τοὺς λοχαγοὺς
30 καὶ στρατηγοὺς μηδὲ πιστεύειν Τισσαφέρνει. ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἔστε διεπράξατο πέντε μὲν στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχαγούς· συνηκολούθησαν δὲ ὡς εἰς ἀγορὰν καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι.
31 Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρόξενος Βοιώτιος, Μένων

§. 26. ὅθεν, s. I, 2, 8 z. d. W.

§. 27. φιλοφρονούμ., relativ. — ἐποιήσ., wegen des Med. setze das Pron. posses. hinzu.

δῆλος c. Partic. s. I, 2, 11 z. d. W.

φιλικῶς διακεῖσθαί τινι, Umschreibung des im Adverb. liegenden Verbalbegriffs: carum esse alicui. — ἰέναι gehört auch z. ἐκέλ. — οὓς ἐκέλευσε, wer ist Subj.? — καὶ οἳ ἂν ἐλεγχθ., Übergang in die orat. direkta. — τῶν Ἑλλήν., Gen. partit. zu οἵ. — αὐτούς statt τούτους s. I, 9, 29 z. αὐτόν. — τιμωρηθ. sc. χρῆναι.

§. 28. στασιάζοντα, schon bei Lebzeiten des Kyros war Menon darüber eifersüchtig, daſs nicht er, sondern Klearchos zu allen Beratungen zugezogen wurde. — λαβών, an sich ziehen, koordiniere durch „und so, und dadurch“.

§. 29. ἅπαν τὸ στράτ. chiastisch zu τὸ στράτ. ἅπαν im §. 28. — πρός τινα τὴν γνώμην ἔχειν, Geneigtheit zu einem haben, ihm anhangen. — μή, weil in ἀντέλεγ. ein Verbot liegt. — πιστεύειν, Subj. ist unbestimmt: 'man'.

§. 30. κατέτεινε, warum κατά? und nachher διαπράττ.? — εἰς ἀγοράν, also unbewaffnet. Zur Sache s. II, 4, 9.

§. 31—33. Gefangennahme und Tötung der meisten Strategen und Lochagen.

§. 31. ἐπὶ — θύραις, einmal in uneigentlicher, einmal in eigentlicher Bedeutung. Xenoph. giebt keine Andeutungen über den Ort des Lagers des Tissaphernes. Layard findet es wahrscheinlich, daſs dasselbe am Kordereh (linkem Nebenfluſs des gr. Zab) zwischen dem Ruinenhügel Abu-Schitha und dem Kasr gestanden habe. — Πρόξε-

Θετταλός, Ἀγίας Ἀρκάς, Κλέαρχος Λάκων, Σωκράτης Ἀχαιός·
οἱ δὲ λοχαγοὶ ἐπὶ θύραις ἔμενον. οὐ πολλῷ δὲ ὕστερον ἀπὸ 32
τοῦ αὐτοῦ σημείου οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἔξω
κατεκόπησαν. μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ
τοῦ πεδίου ἐλαύνοντες ᾧτινι ἐντυγχάνοιεν Ἕλληνι ἢ δούλῳ
ἢ ἐλευθέρῳ πάντας ἔκτεινον. οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν 33
[αὐτῶν] ἐθαύμαζον ἐκ τοῦ στρατοπέδου ὁρῶντες καὶ ὅ,τι ἐποίουν
ἠμφεγνόουν, πρὶν Νίκαρχος Ἀρκὰς ἧκε φεύγων τετρωμένος
εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶ ἔχων, καὶ εἶπε
πάντα τὰ γεγενημένα. ἐκ τούτου δὴ οἱ Ἕλληνες ἔθεον ἐπὶ 34
τὰ ὅπλα πάντες ἐκπεπληγμένοι καὶ νομίζοντες αὐτίκα ἥξειν
αὐτοὺς ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, 35
Ἀριαῖος δὲ καὶ Ἀρτάοζος καὶ Μιθραδάτης, οἳ ἦσαν Κύρῳ
πιστότατοι· ὁ δὲ τῶν Ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν Τισσα-
φέρνους ἀδελφὸν σὺν αὐτοῖς ὁρᾶν καὶ γιγνώσκειν· συνηκο-
λούθουν δὲ καὶ ἄλλοι Περσῶν τεθωρακισμένοι εἰς τριακοσίους.
οὗτοι ἐπεὶ ἐγγὺς ἦσαν, προσελθεῖν ἐκέλευον εἴ τις εἴη τῶν 36
Ἑλλήνων στρατηγὸς ἢ λοχαγός, ἵνα ἀπαγγείλωσι τὰ παρὰ
βασιλέως. μετὰ ταῦτα ἐξῆλθον φυλαττόμενοι τῶν Ἑλλήνων 37
στρατηγοὶ μὲν Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος Στυμφά-
λιος, σὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος, ὅπως μάθοι τὰ περὶ

νος; die Eigennamen stehen in erläuternder Apposition. — Nicolai, die Politik des Tissaphernes, vergleicht das Verbrechen Cäsars gegen die Usipeter und Tenkterer in b. g. IV, 13 sqq.

§. 32. *ἀπὸ τ. σημείου*, es wurde eine Purpurfahne auf dem Zelte des Tissaph. aufgesteckt. — *οἵ τ' ἔνδον*, analog ist das Adverb substantiviert in: 'Die Unten sahen ihn schweben': Anast. Grün, die Martinswand. — *συνελαμβ. καὶ κατεκόπησ.*, warum der Wechsel der tpora? — *τινὲς* „Formwörter nehmen gern die unbedeutendste Stelle ein. Sie dienen so zugleich der Euphonie, indem sie gleichauslautende Wörter trennen, und heben den Ton des unmittelbar vorangehenden Wortes“. Diese Stellung des *τὶς* indefin. zwischen Artikel und Substantiv findet sich namentlich dann, wenn neben dem Artikel noch eine nähere Bestimmung steht. — *ᾧτινι — πάντας*, iterativ, s. I, 1, 5 zu *ὅστις*.

§. 33. *ἐθαύμαζον — ὁρῶντες*, s. I, 2, 18 z. *ἰδοῦσα*. — *φεύγων*, der D. setzt auch zu 'kommen' das Partic., aber das des Präteritum.

§. 34—42. Ariaios kommt in Begleitung anderer Perser zum Lager der Griechen, wird aber mit seinen Forderungen abgewiesen.

§. 35. *ἦσαν*, s. I, 1, 6 z. d. W.

§. 36. *εἴ τις κ. τ. λ.*, Umschreibung des Subjektsaccusativs; im D. mache *στρατηγ. ἢ λοχ.* z. Obj. z. *ἐκέλ.* und setze dazu ein in *εἴ τις εἴη* liegendes allgemeines Attribut. — *τὰ παρὰ βασιλ.*, s. II, 3, 4 z. d. W.

§. 37. *φυλαττόμ.* übs. durch ein Adverb. oder durch ein Hptw. mit e. Präpos. — *τῶν Ἑλλήν.* Genit. part. — *Ὀρχομέν.*, aus Orchomenos in Arkadien. — *τὰ περί*, gebr.

1. ungewiß ... 2. ... Reiten.

Προξένου· Χειρίσοφος δ' ἐτύγχανεν ἀπὼν ἐν κώμῃ τινὶ σὺν
38 ἄλλοις ἐπισιτιζόμενος. ἐπειδὴ δὲ ἔστησαν εἰς ἐπήκοον, εἶπεν
Ἀριαῖος τάδε. Κλέαρχος μέν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ ἐπιορ-
κῶν τε ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ
τέθνηκε, Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν αὐτοῦ τὴν
ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν. ὑμᾶς δὲ [ὁ] βασιλεὺς τὰ
ὅπλα ἀπαιτεῖ· αὑτοῦ γὰρ εἶναί φησιν, ἐπείπερ Κύρου ἦσαν
39 τοῦ ἐκείνου δούλου. πρὸς ταῦτα ἀπεκρίναντο οἱ Ἕλληνες,
ἔλεγε δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε
καὶ οἱ ἄλλοι ὅσοι ἦτε Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς
οὔτ' ἀνθρώπους, οἵτινες ὀμόσαντες ἡμῖν τοὺς αὐτοὺς φίλους
καὶ ἐχθροὺς νομιεῖν, προδόντες ἡμᾶς σὺν Τισσαφέρνει τῷ
ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ τούς τε ἄνδρας αὐτοὺς οἷς
ὤμνυτε ἀπολωλέκατε καὶ τοὺς ἄλλους ὑμᾶς προδεδωκότες σὺν
40 τοῖς πολεμίοις ἐφ' ἡμᾶς ἔρχεσθε; ὁ δὲ Ἀριαῖος εἶπε, Κλέαρ-
χος γὰρ πρόσθεν ἐπιβουλεύων φανερὸς ἐγένετο Τισσαφέρνει
τε καὶ Ὀρόντᾳ, καὶ πᾶσιν ἡμῖν τοῖς σὺν τούτοις. ἐπὶ τούτοις
41 Ξενοφῶν τάδε εἶπε. Κλέαρχος μὲν τοίνυν εἰ παρὰ τοὺς ὅρ-
κους ἔλυε τὰς σπονδάς, τὴν δίκην ἔχει· δίκαιον γὰρ ἀπόλλυ-
σθαι τοὺς ἐπιορκοῦντας· Πρόξενος δὲ καὶ Μένων ἐπείπερ εἰσίν

im D. das W. ‘Schicksal’. Bei dem Neutrum des Artikels steht *περί* in der Regel nur dann mit dem Genitiv statt mit dem Accusativ, wenn der Ausdruck von einem Verb. abhängt, das *περί* mit dem Genitiv nach sich haben kann, z. B. *ᾔσθοντο τὰ περὶ Ὀλούρου*. — *ἐτύγχ.* c. Part. s. I, 1, 2 z. d. W. — *σὺν ἄλλ.* sc. Anführern. Die Zurückgebliebenen fürchten trotz §. 29 keinen Verrat. — *ἐπισιτιζόμ.*, Part. des Imperf. conat. übersetze nach I, 1, 6 z. *ἐπιβουλ.* 1.

§. 38. *εἰς ἐπήκ.*, *εἰς*, von den Griechen aus; *ἐπήκοον*, Hörweite. — *ἐφάνη* c. Part. übersetze entw. nach *δῆλος* c. Partic. z. I, 2, 11 od. die Partic. durch abstrakte Hauptw. und *φαίνεσθαι* „sich herausstellen“.

τὴν δίκην, s. I, 3, 20 z. d. W. — *αὑτοῦ*, des Klearch. — *ἀπαιτεῖ*, *ἀπό* s. I, 1, 8 z. *ἀπέπεμπε*. — *τοῦ ἐκείνου δούλου*: *δούλ.* Appos. z. *Κύρ.* — *ἐκείνου* (regis) Attr. z. *δούλ.* s. I, 9, 29 z. *δούλου*.

§. 39. *ἔλεγε*, s. II, 3, 21 z. d. W. — *Κλεάνωρ*, warum dieser? s. II, 1, 10. — *οἱ ἄλλοι*, setze das Pron. hinzu, s. oben §. 25 u. I, 5, 16 z. d. W. — *οἵτινες*, s. §. 12 z. d. W. — *ὀμόσαντες*, übers. nach I, 1, 6 z. *ἐπιβουλ.* 1. mit der Präp. ‘trotz’. *ἡμῖν* gehört z. *τοὺς αὐτούς* = ‘dieselben wie wir’. — *προδόντες* koordiniere dem *ἀπολωλέκ.* — Die Wortfülle und Wiederholung des *προδεδωκότ.* ist dem Zorne des Kleanor ganz angemessen und malt die Gottlosigkeit des Ariaios.

§. 40. *γάρ* bezieht sich auf den verschwiegenen Gedanken: ‘wir haben jene nicht verraten’.

§. 41. *εἰ* — *ἔχει*. Beachte den Ind. in beiden Sätzen, weil der Sprech. die Meineidigkeit nicht behauptet, und übers. *ἔλυε* als Impf. con. — *Πρόξεν. δ. κ. Μέν.* sind

ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε αὐ-
τοὺς δεῦρο· δῆλον γὰρ ὅτι φίλοι γε ὄντες ἀμφοτέροις πειρά-
σονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα συμβουλεῦσαι. πρὸς 42
ταῦτα οἱ βάρβαροι πολὺν χρόνον διαλεχθέντες ἀλλήλοις ἀπῆλ-
θον οὐδὲν ἀποκρινάμενοι.

Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες ἀνήχθησαν ὡς βα- VI.
σιλέα καὶ ἀποτμηθέντες τας κεφαλὰς ἐτελεύτησαν, εἷς μὲν αὐ-
τῶν Κλέαρχος ὁμολογουμένως ἐκ πάντων τῶν ἐμπείρως αὐτοῦ
ἐχόντων δόξας γενέσθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος
ἐσχάτως. καὶ γὰρ δὴ ἕως μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις 2
πρὸς τοὺς Ἀθηναίους παρέμενεν, ἐπειδὴ δὲ εἰρήνη ἐγένετο, ἀναπεί-
σας τὴν αὑτοῦ πόλιν ὡς οἱ Θρᾷκες ἀδικοῦσι τοὺς Ἕλληνας
καὶ διαπραξάμενος ὡς ἐδύνατο παρὰ τῶν ἐφόρων ἐξέπλει ὡς
πολεμήσων τοῖς ὑπὲρ Χερρονήσου καὶ Περίνθου Θρᾳξίν. ἐπεὶ 3

als beiden Sätzen gemeinschaftlich vorangestellt und als Subj. des Nebens. gefaſst; im D. mache sie zum Obj. z. πέμψατε. — Diese Satzbildung schildert Xenophon's innerliche Aufregung. — συμβουλ. s. I, 5, 7 z. διατελέσαι.

VI. Leben und Charakter des Klearchos, Proxenos und Menon.

§. 1—15. Klearchos.

§. 1. ἀποτμηθ. τὰς κεφαλάς. In I, 10, 1 hatten wir die passive Kstr. Κῦρον ἀποτέμνεται ἡ κεφαλή zu der aktiven in III, 1, 7: τοῦ ἀδελφοῦ ἀποτεμὼν τὴν κεφαλήν. Hier dagegen steht die leidende Person als Subj. im Nom. und der Teil bleibt wie das Sachobj. im Acc. des Inhalts (I, 3, 10 z. ἀδικεῖν) beim Pass. im Acc. stehen. — Der D. setzt in allen Fällen den leidenden Teil in den Nomin., die Person in den Dativ. — Anfangs hatte Parysatis den Artaxerxes schwören lassen, den Klearchos nicht zu töten. Aber Statira stimmte ihn um und so wurden alle Heerführer auſser Menon getötet. Jetzt lieſs Parysatis den Klearchos beerdigen und sorgte noch lange für dessen Grab, während die Leichname der andern Hunden und Vögeln preisgegeben wurden. — ἐκ πάντων, Vermischung zweier Konstr., denn bei δόξας sollte πᾶσι stehen. — τῶν — ἐχόντ. s. I, 9, 15 z. τ. θελόντ. — καὶ — καί, weil es, wie §. 6 u. 7 zeigen, verschiedene Begriffe sind. — ἐσχάτως, mit Nachdruck am Ende, umschreibt wie das D. 'äuſserst' den Superlativ.

§. 2. In der Ausführung bespricht Xen. zuerst das φιλοπόλεμος und dann das πολεμικός. — πόλεμος, der peloponnesische von 431—404 v. Chr.

παρέμενεν, Gegensatz ist οὐκέτι πείθεται im §. 3. — πόλιν, eine beliebte Metonymie. — τοὺς Ἕλλην., sind schon I, 3, 4 erwähnt. — διαπραξάμ., das Obj. z. d. W. ist eigentlich aus ἐξέπλει zu ergänzen; im D. genügt „es“. — ἐφόρων. Die Ephoren, fünf an Zahl, hatten neben der Richtergewalt bedeutende politische Rechte in der ausübenden Staatsgewalt. In Rücksicht des Krieges ordneten sie die Heereszüge an, bestimmten die Anzahl der Mannschaft und ernannten den Anführer, der ganz von ihren Befehlen abhing. ὡς c. Partic. Fut. s. I, 1, 3 z. d. W. — Πέρινθος, an der Propontis, hieſs später Herakleia, jetzt Eregli.

δὲ μεταγνόντες πως οἱ ἔφοροι ἤδη ἔξω ὄντος ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται, ἀλλ'
4 ᾤχετο πλέων εἰς Ἑλλήσποντον. ἐκ τούτου καὶ ἐθανατώθη ὑπὸ τῶν ἐν Σπάρτῃ τελῶν ὡς ἀπειθῶν. ἤδη δὲ φυγὰς ὢν ἔρχεται πρὸς Κῦρον, καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον ἄλλῃ
5 γέγραπται, δίδωσι δὲ αὐτῷ Κῦρος μυρίους δαρεικούς· ὁ δὲ λαβὼν οὐκ ἐπὶ ῥᾳθυμίαν ἐτράπετο, ἀλλ' ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα ἐπολέμει τοῖς Θρᾳξί, καὶ μάχῃ τε ἐνίκησε καὶ ἀπὸ τούτου δὴ ἔφερε καὶ ἦγε τούτους καὶ πολεμῶν διεγένετο μέχρι Κῦρος ἐδεήθη τοῦ στρατεύματος·
6 τότε δὲ ἀπῆλθεν ὡς σὺν ἐκείνῳ αὖ πολεμήσων. ταῦτα οὖν φιλοπολέμου μοι δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις ἐξὸν μὲν εἰρήνην ἄγειν ἄνευ αἰσχύνης καὶ βλάβης αἱρεῖται πολεμεῖν, ἐξὸν δὲ ῥᾳθυμεῖν βούλεται πονεῖν ὥστε πολεμεῖν, ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν· ἐκεῖνος δὲ ὥσπερ εἰς παιδικὰ ἢ εἰς ἄλλην τινὰ ἡδο-
7 νὴν ἤθελε δαπανᾶν εἰς πόλεμον. οὕτω μὲν φιλοπόλεμος ἦν·

§. 3. μεταγνόντες, μετά = „nach" geht oft in den Begriff einer „Änderung" über; denn posteriores cogitationes, ut aiunt, sapientiores esse solent. Cic. — πως hinzugesetzt, weil Xen. die Gründe nicht kennt. — ἔξω ὄντος αὐτοῦ, Gen. absol. statt des Part. rel. hebt den Gegensatz kräftiger hervor. — ἐξ Ἰσθμοῦ, dem korinthischen. — ἐνταῦθα beginnt den Nachsatz. — ᾤχετο c. Part. s. I, 1, 2 z. ἐτύγχ.

§. 4. ἐθανατώθη, in seiner Abwesenheit. Sein Ungehorsam war aber vielleicht nicht die Hauptursache, die war seine Handlungsweise in Byzanz, wo er die Häupter der Stadt töten liefs und andere Grausamkeiten verübte, aber der Aufforderung der heimischen Behörden, das ihm anvertraute Amt niederzulegen, nicht Folge leistete. Die Lakedaimonier schickten daher ein Heer gegen ihn, und als er nun besiegt war, setzte er nach Ionien über. — τελῶν. Die obersten Regierungsbehörden (τὰ τέλη), als: Geronten, Könige, Ephoren u. andre Beamten, bildeten in Sparta den höchsten Gerichtshof, vor dem die Ephoren als Kläger gegen Staatsverbrecher auftraten. — ὡς ἀπειθῶν, motivierende Apposition zum Subj. — ἄλλῃ, es ist von Xenoph. in keiner seiner Schriften erzählt. — δίδωσι Stellung des Subjekts in der Mitte.

§. 5. λαβών nach I, 1, 6 z. ἐπιβουλ. 2. durch 'zwar' mit ἐτράπ. z. verb. — ἀπὸ τ. χρημ., s. I, 1, 9 z. d. W. — ἐπολέμει, warum hier und im folgenden der Wechsel zwischen Imperf. und Aor. (traductio)? — φέρειν καὶ ἄγειν, stehender Ausdruck vom plündernden Feinde: Menschen u. Vieh (ἄγειν) und tragbare Gegenstände (φέρειν) fortschaffen, c. Acc. des Landes u. der Einwohner. Lat.: agere et ferre. — διεγένετο c. Partic., s. I, 1, 2 z. ἐτύγχ.

§. 6. μοι δοκεῖ heben durch Zwischenstellung den Gen. ὅστις s. II, 5, 12 z. d. W. — ἐξόν, s. II, 5, 22. — ὥστε πολ. s. I, 1, 5 u. I, 4, 8 z. d. W. — Der folgende Gedanke wird durch den gleichen Ausgang, die dreigliedrige Anaphora mit ἐξόν meist an derselben Stelle gehoben; auch φιλοπόλ.

πολεμικὸς δὲ αὖ ταύτῃ ἐδόκει εἶναι, ὅτι φιλοκίνδυνός τε ἦν
καὶ ἡμέρας καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους καὶ ἐν τοῖς
δεινοῖς φρόνιμος, ὡς οἱ παρόντες πανταχοῦ πάντες ὡμολόγουν.
καὶ ἀρχικὸς δ' ἐλέγετο εἶναι ὡς δυνατὸν ἐκ τοῦ τοιούτου 8
τρόπου, οἷον κἀκεῖνος εἶχεν. ἱκανὸς μὲν γὰρ ὥς τις καὶ ἄλλος
φροντίζειν ἦν, ὅπως ἔχοι ἡ στρατιὰ αὐτῷ τὰ ἐπιτήδεια, καὶ
παρασκευάζειν ταῦτα, ἱκανὸς δὲ καὶ ἐμποιῆσαι τοῖς παροῦσιν,
ὡς πειστέον εἴη Κλεάρχῳ. τοῦτο δ' ἐποίει ἐκ τοῦ χαλεπὸς 9
εἶναι· καὶ γὰρ ὁρᾶν στυγνὸς ἦν καὶ τῇ φωνῇ τραχύς, ἐκόλαζέ
τε [ἀεὶ] ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε, ὡς καὶ αὐτῷ μεταμέλειν
ἔσθ' ὅτε. καὶ γνώμῃ δ' ἐκόλαζεν· ἀκολάστου γὰρ στρατεύματος
οὐδὲν ἡγεῖτο ὄφελος εἶναι, ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν, 10
ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ
τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν ἢ φίλων
ἀφέξεσθαι ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους. ἐν μὲν 11
οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα καὶ οὐκ ἄλλον
ᾑροῦντο οἱ στρατιῶται· καὶ γὰρ τὸ στυγνὸν τότε φαιδρὸν

am Anfange und Ende dient dazu, zumal der Schluſs eine Epanalepsis ist, wodurch das Gesamtergebnis des in §. 2—5 Erzählten zusammengefaſst wird. Vgl. I, 3, 3.

§. 7. ταύτῃ, hac ratione. — φιλοκίνδ. τε καὶ ἡμ. καὶ νυκτ. — καὶ φρόν., im D. ein 'und'. — πανταχ. πάντες, Paronomasie s. II, 5, 7 z. d. W.

§. 8. ὡς δυνατόν, quantum licet. — οἷον κἀκεῖνος, καί bleibt unübersetzt wie in ὥς τις καὶ ἄλλος, s. I, 3, 15 u. II. 1, 22. — ἱκανὸς — ἱκανός, Epanaphora. — αὐτῷ, Dat. ethic. — ἐμποιῆσαι, beibringen. — Welche Metapher in beiden Sprachen? — τοῖς παροῦσιν, frei: seinen Soldaten. — Κλεάρχῳ, Nom. prop. nach vorhergegangenem Pronom. u. zugleich am Ende hat Nachdruck.

§. 9. ἐκ τοῦ — εἶναι, übers. entw. wie den lat. Abl. Ger. od. εἶναι durch ein Hptw., zu welchem χαλ. Attr. wird. — χαλεπός, prädikative Bestimmungen, die sich auf das Hauptsubjekt beziehen, stehen auch dann im Nomin., wenn das Subj. selbst nicht ausdrücklich gesetzt ist. — ὁρᾶν hat die grammatische Geltung des folgenden τῇ φωνῇ. — Im D. kann man diese Wörter frei zum Subj. machen. — ἐκόλαζε — ἐκόλαζεν, welcher Chiasmus? s. II, 3, 5. — ἐνίοτε — ἔσθ' ὅτε, ein Homoioteleuton zur Hebung des Gegensatzes mit Wechsel des Ausdrucks. — ἔσθ' ὅτε, formelhaft, s. I, 5, 7 z. ἦν δὲ οὗς. — γνώμῃ = consulto. — ἡγεῖτο, warum zwischengestellt?

§. 10. λέγειν — ἔφασαν, s. I, 9, 23 z. d. W. Natürlich machte er diese Äuſserung unter Freunden. — φυλακὰς φυλάξειν. Diese Phrasenbildung aus Substantiven und Verben gleichen Stammes wird jetzt auch im D. angewandt: „Und spreche über dich den Spruch der Reichsacht". Siehe auch I, 2, 10 z. τὰ Λύκ. ἔθνσ.

§. 11. αὐτοῦ. ἀκούειν c. Gen. der Person ohne folgenden Acc. d. Sache = „anhören, auf einen hören". — ἀκούειν σφόδρα, hier vom prompten militärischen Gehorsam. — τὸ στυγνὸν τότε φαιδρόν, Nebeneinanderstellung der Gegensätze.

αὐτοὶ ἐν τοῖς ἄλλοις προσώποις ἔφασαν φαίνεσθαι καὶ τὸ χαλεπὸν
ἐρρωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι, ὥστε σωτήριον,
12 οὐκέτι χαλεπὸν ἐφαίνετο· ὅτε δ' ἔξω τοῦ δεινοῦ γένοιντο καὶ
ἐξείη πρὸς ἄλλους ἀρξομένους ἀπιέναι, πολλοὶ αὐτὸν ἀπέλει-
πον· τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλ' ἀεὶ χαλεπὸς ἦν καὶ
ὠμός· ὥστε διέκειντο πρὸς αὐτὸν οἱ στρατιῶται ὥσπερ παῖ-
13 δες πρὸς διδάσκαλον. καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ
ἑπομένους οὐδέποτε εἶχεν· οἵτινες δὲ ἢ ὑπὸ πόλεως τε-
ταγμένοι ἢ ὑπὸ τοῦ δεῖσθαι ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχό-
14 μενοι παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. ἐπεὶ
δὲ ἄρξαιντο νικᾶν σὺν αὐτῷ τοὺς πολεμίους, ἤδη μεγάλα
ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐτῷ στρατιώτας·
τό τε γὰρ πρὸς τοὺς πολεμίους θαρραλέως ἔχειν παρῆν καὶ
τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φοβεῖσθαι [αὐτοὺς] εὐτάκτους
15 ἐποίει. τοιοῦτος μὲν δὴ ἄρχων ἦν· ἄρχεσθαι δὲ ὑπὸ ἄλλων
οὐ μάλα ἐθέλειν ἐλέγετο. ἦν δὲ ὅτε ἐτελεύτα ἀμφὶ τὰ πεν-
τήκοντα ἔτη.
16 Πρόξενος δὲ ὁ Βοιώτιος εὐθὺς μὲν μειράκιον ὢν ἐπεθύ-
μει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν ἱκανός· καὶ διὰ ταύτην
17 τὴν ἐπιθυμίαν ἔδωκε Γοργίᾳ ἀργύριον τῷ Λεοντίνῳ. ἐπεὶ δὲ

παῖδες — ἔφασαν φαίνεσθαι, Alliteration und Assonanz. — τοῖς προσώποις, Plur.: [illegible] Wegen des Artikels s. I. 2, 2 m. [illegible]

§ 12. ὅτε γένοιντο, s. I. 5, 2 z. [illegible] — πρὸς ἄλλον, st. [illegible] — ἀρξομένους, als Untergebene, welcher Kasus sollte bei ἐξείη stehen? ἀπέλειπον, Chiasmus zu γένοιντο — Auch im Folgenden ist diese Stellung. — ὥστε — ὥσπερ, d. h. das Verhältnis der Soldaten zum Kl. beruhte auf der Furcht, die der [illegible] überhaupt als den Stützpunkt jeder gesellschaftlichen Ordnung bezeichnet.

§ 13. οἵτινες, Stellung wie I. 1, 5 z. [illegible] — ὑπὸ τοῦ δεῖσθαι gehört auch z. κατεχ., speziell nämlich — σφόδρα πειθομένοις, der [illegible] — Wie hier χρῆσθαι ge-
braucht der Lat. uti: „facili me utetur patre“.

§ 14. μεγάλα ἦν, Neutr. im Plur. (s. III. 1, 15 z. [illegible]): wichtige Gründe, Faktoren — τὰ ποιοῦντα ist präd. „w. bew., daß“ s. III. 1, 42. Im D. kann man aber auch „machen“ mit doppelt. Acc. gebr., wobei εἶναι unübersetzt bleibt.

τὸ ἔχειν θαρραλέως und τὸ φοβεῖσθαι durch abstrakt. Hauptw.

§ 15. ἄρχεσθαι, s. I. 1, 7 z. [illegible] — οὐ μάλα, Litotes. — ἐλέγετο durch einen Zwischensatz. — ἀμφί τα, s. I. 2, 9 z. d. W. u. I. 1, 10 z. εἰς.

§. 16—20 Proxenos.

§ 16. εὐθύς, s. I. 9, 4 z. d. W. — ἱκανός, s. I. 1, 2 z. [illegible], aber im Konjunkt. — ἔδωκε, nämlich für den Unterricht. Auch hier liegt die Metonymie des Wirkenden statt des Gewirkten zum Grunde. — Γοργίας, ein berühm-

συνεγένετο ἐκείνῳ, ἱκανὸς νομίσας ἤδη εἶναι καὶ ἄρχειν καὶ
φίλος ὢν τοῖς πρώτοις μὴ ἡττᾶσθαι εὐεργετῶν, ἦλθεν εἰς
ταύτας τὰς σὺν Κύρῳ πράξεις· καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων
ὄνομα μέγα καὶ δύναμιν μεγάλην καὶ χρήματα πολλά· τοσού- 18
των δ' ἐπιθυμῶν σφόδρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι
τούτων οὐδὲν ἂν θέλοι κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ
δικαίῳ καὶ καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν, ἄνευ δὲ τού-
των μή. ἄρχειν δὲ καλῶν μὲν καὶ ἀγαθῶν δυνατὸς ἦν· οὐ μέν- 19
τοι οὔτ' αἰδῶ τοῖς στρατιώταις ἑαυτοῦ οὔτε φόβον ἱκανὸς
ἐμποιῆσαι, ἀλλὰ καὶ ᾐσχύνετο μᾶλλον τοὺς στρατιώτας ἢ οἱ
ἀρχόμενοι ἐκεῖνον, καὶ φοβούμενος μᾶλλον ἦν φανερὸς τὸ
ἀπεχθάνεσθαι τοῖς στρατιώταις ἢ οἱ στρατιῶται τὸ ἀπιστεῖν
ἐκείνῳ. ᾤετο δὲ ἀρκεῖν πρὸς τὸ ἀρχικὸν εἶναι καὶ δοκεῖν τὸν 20
μὲν καλῶς ποιοῦντα ἐπαινεῖν, τὸν δὲ ἀδικοῦντα μὴ ἐπαινεῖν.
τοιγαροῦν αὐτῷ οἱ μὲν καλοί τε καὶ ἀγαθοὶ τῶν συνόντων εὖνοι
ἦσαν, οἱ δὲ ἄδικοι ἐπεβούλευον ὡς εὐμεταχειρίστῳ ὄντι. ὅτε
δὲ ἀπέθνησκεν ἦν ἐτῶν ὡς τριάκοντα.

Μένων δὲ ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν πλουτεῖν 21
ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι, ἐπιθυ-
μῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι· φίλος τε ἐβούλετο εἶναι
τοῖς μέγιστον δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. ἐπὶ δὲ 22

ter Sophist und Rhetor aus Leontini in Sicilien, der 427 in Athen, später auch in Thessalien und Boiotien seine Kunst lehrte. Er liefs sich 100 Minen = 2500 Rthlr. = 7500 Mark von jedem Schüler zahlen.

§. 17. *συνεγένετο*, prägnant: Unterricht geniefsen. — *ἔρχεσθαι εἰς πράξ.*, in die (kriegerischen) Unternehmungen eintreten; Anteil daran nehmen. — *ταύτας* sc. von mir erzählten. — *καὶ — καὶ — καί*, Polysyndeton bei Aufzählungen.

§. 18. *ἐπιθυμ.* durch Subst., zu welchem *σφόδρα* Attr. wird. — *αὖ* steht als Gegensatz des im Partic. liegenden Konzessivs. Warum der Wechsel *μετὰ ἀδικ.* und *σὺν τ. δικαίῳ*?

§. 19. *τοῖς στρατιώτ. ἑαυτ.*, Zwischenstellung der beiden Gliedern gemeinschaftl. Satzteile. — *ἑαυτοῦ*, Gen. obj. z. *αἰδῶ* u. *φόβον*. — *φανερός* c. Part. s. I, 2, 11 z. *δῆλος*. — *ἀπιστεῖν* = *ἀπειθεῖν*.

§. 20. *πρὸς τό* c. Inf. = dazu, dafs, s. I, 1, 7 z. *τοῦ ἀθροίζ.*; das allgemeine Subj. *τινὰ* fehlt. — *ἐπαινεῖν*, Antistrophe mit Anaphora. — *αὐτῷ*, das gemeinschaftliche Objekt voran. — *ἐτῶν* Gen. qual. s. I, 1, 10 z. *τριῶν μην.* — *ὡς τριάκ.*, im D. mufs ein Adjektiv hinzugesetzt werden.

§. 21—29. Menon.

§. 21. *ἰσχυρῶς*, nachgestellt. — *ἐπιθυμ.* — *κερδαίνοι*. Mit der Epanaphora verbindet sich das bei Parallelgliedern beliebte Homoioteleuton, wodurch Menons Geldgier passend bezeichnet wird. — *ἀδικ. διδοίη δίκην*, Alliteration.

τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν, τὸ δ'
23 ἁπλοῦν καὶ τὸ ἀληθὲς τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι. στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα, ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἐγίγνετο ἐπιβουλεύων. καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν ἀεὶ
24 διελέγετο. καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε· χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν· τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ῥᾷστον ὂν ἀφύ-
25 λακτα λαμβάνειν. καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο, τοῖς δ' ὁσίοις καὶ ἀλή-
26 θειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσασθαι ψευδῆ, τῷ φίλους διαγελᾶν· τὸν δὲ μὴ πανοῦργον τῶν ἀπαιδεύτων ἀεὶ ἐνόμιζεν εἶναι. καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύειν φιλίᾳ, διαβάλλων τοὺς πρώτους τοῦτο ᾤετο δεῖν κτήσασθαι.
27 τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου ἐπιδεικνύμενος, ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν.

§. 22. ὧν für ταῦτα ὧν. — Im D. kann man dies. iter. Relativs. (I, 1, 5 z. ὅστις) z. attr. Genit. z. κατεργάζ. machen. — τὸ αὐτό, ὁ αὐτός c. D. hat den Begriff der Gleichheit = einerlei, identisch. s. auch II, 5, 39 z. ἡμῖν. — Zu beachten ist hier das derbe Wortspiel τὸ ἀληθές u. τῷ ἠλιθίῳ.

§. 23. στέργων — ἐπιβουλ., Chiasmus. — ὅτῳ, Stellung des iterativ. Relativs. wie I, 1, 5 z. ὅστις. — συνόντων nach κατεγέλ. konstruiert gehört auch z. διελέγετο, s. I, 4, 8 z. στερήσονται u. übers. nach I, 2, 18 z. ἰδοῦσα.

§. 24. Welche Wortstellung in diesem u. dem folgenden §.? — τὰ τῶν φυλ. u. τὰ δὲ τῶν φίλ., das Hauptwort ergänze aus κτήμασιν u. beachte den Chiasmus, wodurch τὰ τῶν φίλων durch seine Stellung recht anschaulich zu τοῖς μὲν τῶν πολεμ. in Gegensatz tritt. — μόνος = praeter ceteros, unus omnium maxime. — ῥᾷστον ὄν, Partic. nach Verb. sent. I, 1, 7 z. βουλευομ.

§. 26. ἀγάλλ., beachte den Wechsel der Konstr. dieses W. — τῷ ἐξαπατᾶν — διαγελᾶν, zwei Glieder anaphorisch, das mittlere chiastisch. — τῶν ἀπαιδ., Gen. partit. s. I, 2, 3 τῶν στρατ. — παρ' οἷς Stellung wie §. 23, im D. nimm τούτους voran. — διαβάλλων, eigentl. Attr. z. Subj. bei ᾤετο, übersetze durch ein abstrakt. Hauptw. — πρώτους, = τοὺς πρωτεύοντας φιλίᾳ, gratiosissimos.

§. 27. τὸ — παρέχ., Obj. z. ἐμηχαν.; im D. Inf. mit 'zu'. — ἐκ τοῦ, dadurch, dafs. — ἐμηχαν., Impf. con. — εὐεργεσ. — αὐτόν. Solche Satzstellung hat auch noch Luther. Im D. nimm den Zwischensatz vorauf, dann

εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν. καὶ τὰ μὲν δὴ ἀφανῆ ἔξεστι 28
περὶ αὐτοῦ ψεύδεσθαι, ἃ δὲ πάντες ἴσασι τάδ' ἐστί. παρὰ Ἀριστίππῳ μὲν ἔτι ὡραῖος ὢν στρατηγεῖν διεπράξατο τῶν ξένων, Ἀριαίῳ δὲ βαρβάρῳ ὄντι, ὅτι μειρακίοις καλοῖς ἥδετο, οἰκειότατος [ἔτι ὡραῖος ὢν] ἐγένετο, αὐτὸς δὲ παιδικὰ εἶχε Θαρύπαν ἀγένειος ὢν γενειῶντα. ἀποθνησκόντων δὲ τῶν συ- 29
στρατήγων, ὅτι ἐστράτευσαν ἐπὶ βασιλέα σὺν Κύρῳ, ταὐτὰ πεποιηκὼς οὐκ ἀπέθανε, μετὰ δὲ τὸν τῶν ἄλλων θάνατον [στρατηγῶν] τιμωρηθεὶς ὑπὸ βασιλέως ἀπέθανεν, οὐχ ὥσπερ Κλέαρχος καὶ οἱ ἄλλοι στρατηγοὶ ἀποτμηθέντες τὰς κεφαλάς, ὅσπερ τάχιστος θάνατος δοκεῖ εἶναι, ἀλλὰ ζῶν αἰκισθεὶς ἐνιαυτὸν ὡς πονηρὸς λέγεται τῆς τελευτῆς τυχεῖν.

Ἀγίας δὲ ὁ Ἀρκὰς καὶ Σωκράτης ὁ Ἀχαιὸς καὶ τούτω ἀπε- 30
θανέτην. τούτων δὲ οὔθ' ὡς ἐν πολέμῳ κακῶν οὐδεὶς κατεγέλα οὔτ' εἰς φιλίαν αὐτοὺς ἐμέμφετο. ἤστην δὲ ἄμφω ἀμφὶ τὰ πέντε καὶ τριάκοντα ἔτη ἀπὸ γενεᾶς.

εὐεργεσ. κατέλ. — ὁπότε τις s. I, 5, 2 z. ἐπεί τις. — αὐτόν, das zweimal gesetzte Pronom. hat Nachdruck.

§. 28. Ἀριστίππ., s. I, 1, 10 u. 2, 6. — παιδικά, von lebenden Wesen. — ἀγένειος — γενειῶντα, sarkastische Zusammenstellung.

§. 29. οὐκ ἀπέθανε. Nach Diodor hoffte der König, daſs Menon ihm die Griechen verraten werde. Noch in späterer Zeit sagten die Griechen von einem Verräter: „Er ist ein Menon".

πεποιηκώς, konzess. — ἀποτμ. τ. κεφ. s. §. 1. z. d. W. — θάνατος, auch wir gebrauchen oft 'Tod' für Todesart. — αἰκισθείς, durch eine der bei den Persern gebräuchlichen Verstümmelungen. S. I, 9, 13.

§. 30. καὶ τούτω, s. I, 1, 11, ipsi quoque. — εἰς φιλίαν, s. I, 9, 16 z. εἰς δικαιοσύν.

[Γ.]

I. [Ὅσα μὲν δὴ ἐν τῇ Κύρου ἀναβάσει οἱ Ἕλληνες ἔπραξαν
μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐγένετο
ἀπιόντων τῶν Ἑλλήνων σὺν Τισσαφέρνει ἐν ταῖς σπον-
2 δαῖς, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται]. ἐπεὶ δὲ οἱ στρατηγοὶ
συνειλημμένοι ἦσαν καὶ τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ
συνεπισπόμενοι ἀπολώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλλη-
νες, ἐννοούμενοι μέν, ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν,
κύκλῳ δὲ αὐτοῖς πάντῃ πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι
ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς
Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς
ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε
ὁδοῦ, προὐδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες
βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα
σύμμαχον ἔχοντες, ὥστε εὔδηλον ἦν, ὅτι νικῶντες μὲν οὐδένα
ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη.
3 ταῦτ' ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες ὀλίγοι μὲν αὐτῶν εἰς

I. Xenophon beruhigt die mutlosen Griechen. Wahl neuer Strategen.

§. 1—3. Die mutlosen Griechen.

§. 1. *ἐπεὶ Κῦρ. ἐτελεύτ.*. s. I, 3, 4 z. *ἐπειδὴ — ἐκάλει.*

§. 2. *οἱ στρατηγ.*, s. II, 5, 31. — *ἐν πολλῇ ἀπορ. ἦσαν*, warum Umschreibung? — *ἐννοούμενοι μέν* ohne ein folgendes *ἐννοούμ. δέ.* — *κύκλ.* s. I, 3, 19 z. *πρὸς φιλ.* — Beachte die Häufung der sieben durch *δέ* koordinierten Sätze (Polysyndeton zur Schilderung der schrecklichen Lage), wobei der Hauptbegriff jedes neuen Gedankens voransteht, den Xen.'s Urteil ausdrückenden Ind. Impf. und die Wortstellung, und suche die Gefahren unter 3 Hauptgruppen zu ordnen. — *θύραις*, II, 4, 4 z. d. W. — *κύκλῳ* neben *πάντῃ* dient zur Bezeichnung der ganzen Umgebung, s. auch II, 5, 7 zu d. W. — *πόλεις πολέμ.*, Alliteration. — *ἀγοράν*, Exkurs. §. 51. — *μύρια στάδια*, in gerader Linie. — *ἐν μέσῳ*, in der Mitte zwischen dem jetzigen Aufenthaltsorte und der Heimat. — *τῆς οἴκαδε ὁδοῦ*, durch ein Hauptw. — *οὐδὲ — ἔχοντες*, s. I, 2, 22 z. *οὐδεν. κωλύοντ.* — *νικῶντες* und *ἡττηθέντ.*, Wechsel der Kstr.: beide nach I, 1, 6 z. *ἐπιβουλ.* 3. konditional.

τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε 4
στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. ὁ μέντοι 5
Ξενοφῶν ἀναγνοὺς τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. καὶ ὁ Σωκράτης ὑποπτεύσας μή τι πρὸς τῆς πόλεως ὑπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι

§. 3. *ὀλίγοι*, distributive Apposition z. *ἐννοοῦμ.* — Satzbau ähnlich dem I, 8, 27 z. *μαχόμενοι.* — *ὀλίγοι μὲν — ὀλίγοι δέ*, Anaphora; im folgenden Satze rückt das Subj. *πολλοί* nach der Mitte, *ἕκαστος* tritt ans Ende. — *ἐγεύσαντο*, dieser und die folgenden Aor. bezeichnen die Folgen des *ἐννοοῦμ.* in einzelnen Thatsachen. — *εἰς τ. ἑσπέραν.* s. I, 7, 1 z. *εἰς ἐπιοῦσ.* — *ὅπλα*, s. Exk. §. 46. — *ἀνεπαύοντο — ἀνεπαύοντο*, Chiasmus, s. II, 3, 5 z. *ἄριστον.* — *ἐτύγχαν.*, ohne Particip., weil es sich aus dem Satze leicht ergänzt. — *πατρίδων* s. I, 1. 10 z. *τριῶν μηνῶν.* Asyndeton bei Aufzählungen in paarweiser Gliederung. Über die Stellung *γον.*, *παίδ.* s. III, 4, 46. — Warum hat Xen. nicht die Allitteration gewählt?

§. 4—10. Wie Xenophon zum Heere gekommen.

§. 4. *ἦν δέ*, Homerischer Anfang, s. Hom. Ilias *E*, 9, als wenn er zum ersten Male genannt würde. *Ξενοφῶν* aus Athen, Sohn des Gryllos und Verf. dieser Schrift, wurde wahrscheinlich 444, nach andern 440 v. Chr. geboren. Er war ein Schüler des Sokrates, der ihn, als er in der Schlacht bei Delion in Boiotien 424 v. Chr. vom Pferde gestürzt war, auf seinen Schultern aus dem Getümmel trug. Später geriet Xenophon dennoch in die Gefangenschaft der Boioter, in welcher er Freundschaft mit dem Proxenos schloſs, der ihn, wie wir hier lesen, zur Begleitung des Kyros bewog. — Daſs Xenoph. der Schlacht bei Kunaxa beigewohnt, haben wir oben gelesen; sammelt nun im Fortgang der Lektüre die vorkommenden Notizen zu einer Lebensgeschichte des Schriftstellers.

ἀλλὰ Πρόξεν. Übergang in einen selbständigen Satz, s. I, 1, 2 z. *καὶ στρατηγὸν δέ.* — *ξένος*, motivierende Appos. — *ἔλθοι*, im D. Imp. Konj., im lat. Plqpf. Konj. — *ὃν αὐτὸς ἔφη*, Accus. c. Inf. in einem Relativs., s. I, 9, 29 zu *ὃν — εἶναι.*

§. 5. *ἀναγνούς*, s. I, 6, 4 z. d. W. — *ἀνακοινοῦν τινι*, Jem. um Rat fragen, s. VI, 1, 22; *ἀνακοινοῦσθαί τινι*, sich mit jemand beraten, V, 6, 36. — *ἀνά*, der Andere soll Anteil nehmen. — *ὑποπτεύσ.* hat den Nebenbegriff der Besorgnis, daher *μή.* — *πόλεως*, Stadt statt der Bewohner. — Den Acc. c. Inf. *φίλον γενέσθαι*, Subj. zu *ὑπαίτιον* übers.

– 1. Lager. 2. daß es ihm von d. A. z. Verbrechen angerechnet würde

ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθή-
νας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς
6 Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. ἐλθὼν δ' ὁ
Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχό-
μενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδόν, ἣν ἐπινοεῖ, καὶ
καλῶς πράξας σωθείη. καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς
7 οἷς ἔδει θύειν. ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ
Σωκράτει. ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτόν, ὅτι οὐ τοῦτο πρῶτον
ἠρώτα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ'
αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα
πορευθείη. ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν,
8 ὅσα ὁ θεὸς ἐκέλευσεν. ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος
οἷς ἀνεῖλεν ὁ θεὸς ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρό-
ξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν, καὶ
9 συνεστάθη Κύρῳ. προθυμουμένου δὲ τοῦ Προξένου καὶ ὁ
Κῦρος συμπρουθυμεῖτο μεῖναι αὐτόν· εἶπε δὲ ὅτι, ἐπειδὰν
τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν. ἐλέγετο δὲ
10 ὁ στόλος εἶναι εἰς Πισίδας. ἐστρατεύετο μὲν δὴ οὕτως ἐξα-
πατηθείς, οὐχ ὑπὸ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα

durch ein Hauptw., zu dem *Κύρ.* Attribut wird. — *συμπολεμ.*, zur Sache s. I, 1, 2 z. *καὶ στρατηγ.* — *ἐλθόντα*, s. I, 2, 1 z. *λαβόντα* u. I, 3, 2 z. *ἑστώς*.

§. 6. *θύων καὶ εὐχόμ.*, im D. durch das Verb. fin. in indirekter Frage, und *ἔλθοι* u. *σωθείη* dazu als verkürzten Finalsatz, s. auch I, 7, 2 z. *πῶς ἄν*. — *ἐλθεῖν ὁδόν*, oft werden Subst. ähnlicher Bedeutung mit den Verben verbunden. s. I, 2, 10 z. *τὰ Λύκαια ἔθυσε*. — *καλ. πράττειν* von glücklichem Erfolg, übers. entw. *καλ. πράξ.* durch e. Hptw. mit Präpos. oder *καλ. πράξ. σωθ.* frei: glücklich zurückkehren. — *ἀνεῖλεν* von den Antworten der Orakel. — *ἀνά* = „aus der heiligen Tiefe empor". — *θεοῖς* statt *θεούς*, umgekehrte Attraktion, da *θεοῖς* im Kasus vom Relativ attrahiert ist. — Welchen Gott Apollo genannt, erzählt Xen. VI, I, 22.

§. 7. *ἐπεὶ — ἦλθε*, s. I, 3, 4 z. *ἐπειδὴ — ἐκάλ.* — *οὐ* warum vor *τοῦτο* gestellt? — *ἐπεὶ μέντοι*, Übergang in orat. dir.

§. 8. *θυσάμενος*, warum hier das Medium? — *ἀνεῖλεν*, warum kann der davon abhängige Inf. fehlen? — *ὁρμᾶν*, s. §. 6 z. *ἐλθεῖν*. — *τὴν ἄνω*, wie das adjektivische Attribut, so kann auch das Adverb. c. Artikel, wenn es attributiv steht, durch Hauptw. im Gen. oder mit einer Präpos. übers. werden. Vergl. I, 1, 10 z. *τῶν οἴκοι*.

συνιστάναι, der eigentliche Ausdruck, der Lat. gebraucht commendare; der D. ‘vorstellen’. Welcher Unterschied der Anschauung? s. VI, 1, 23.

§. 9. *προθυμ.* — *συμπρουθυμ.*, Paronomasie. Was liegt in *σύν*? — *ἐπειδὰν — λήξῃ*, s. I, 3, 4 z. *ἐπειδὴ — ἐκάλει* und I, 1, 10 z. *πρὶν ἄν*. — *εἰς Πισίδας*, s. I, 1, 11 z. d. W. Hiermit verteidigt sich Xen. gegen das über ihn verhängte Verbannungsurteil. s. Nicolai, Progr. 1880 S. 8.

§. 10. *οὐ γὰρ ᾔδει*, Begrün-

1. antworten (v. Orakeln) 2. λήγω aufhören.

ὁρμὴν οὐδὲ ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου· ἐπεὶ
μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδόκει εἶναι, ὅτι
ὁ στόλος εἴη ἐπὶ βασιλέα. φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκον-
τες ὅμως οἱ πολλοὶ δι᾽ αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συν-
ηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν. ἐπεὶ δὲ ἀπορία ἦν, 11
ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἐδύνατο καθεύδειν·
μικρὸν δ᾽ ὕπνου λαχὼν εἶδεν ὄναρ. ἔδοξεν αὐτῷ βροντῆς
γενομένης σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τού-
του λάμπεσθαι πᾶσα. περίφοβος δ᾽ εὐθὺς ἀνηγέρθη, καὶ τὸ 12
ὄναρ τῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις
φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· τῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ
Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ
ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελ-
θεῖν τῆς βασιλέως, ἀλλ᾽ εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.
ὁποῖόν τι μὲν δή ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν ἔξεστι σκοπεῖν 13
ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. γίγνεται γὰρ τάδε. εὐθὺς
ἐπειδὴ ἀνηγέρθη πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει, τί κατά-

dung des οὐχ ὑπὸ Προξέν., daher Wechsel des Subj. — ὁρμήν zu übersetzen, als wenn das Partic. dabei stände. — φοβούμ. — καὶ ἄκοντες, Partic. u. Adj. einander koordin., wie nach I, 1, 6 z. ἐπιβουλ. 3. zu übersetzen, lehrt ὅμως. — ὁδόν, d. i. die Beschwerden desselben. — οἱ πολλοί, wer war nämlich entwichen? s. I, 4, 7. — ἀλλήλων καὶ Κύρ., Gen. obj. Sie wollten nicht feig und undankbar erscheinen.

§. 11—14. Xenophons Traum und Entschlufs.

§. 11. Zur folgenden Erzählung vergl. Hom. Il. Β, 8 sqq., Δ, 403. — ἐπεὶ — ἦν, frei: in dieser mifslichen Lage. — ὄναρ, der Traum galt bei den Griechen für eine momentane Offenbarung der Gottheit, für ein Vorzeichen des Zukünftigen. So auch noch im Mittelalter (s. Anfang des Nibelungenliedes). Der im folgenden erzählte Traum stellt seine Offenbarung auf symbolische Weise in einem Bilde dar und ist der Deutung unterworfen. — ἔδοξεν αὐτῷ, Asyndeton explicativum, weil im folgenden der Inhalt des Traums angegeben wird, s. IV, 3, 8. 7, 10. — πᾶσα, betonte Stellung.

§. 12. φῶς wird statt σκηπτός gesagt, weil er den Traum für glückbedeutend hält. — ἀπὸ Διὸς βασιλ., als Beschützer der Könige. Xenoph. schwankt über die Deutung, weil er glaubt, dafs Zeus König ihm anzeigen wolle, dafs auch der Perserkönig unter seinem Schutze stehe, weshalb im folg. βασιλέως mit Nachdruck am Ende steht. Dagegen erzählt Plutarch de genio Socrat., dafs eine Vision von hellglänzendem Lichte, aus einem befreundeten Hause mit Glanz scheinend, für ein günstiges Zeichen gelte. — μὴ οὐ = ne non, s. I, 7, 7. Beachte die nachdrückliche Wiederholung des V. δοκ. an verschiedener Stelle und in verschiedener Form.

§. 13. ὁποῖόν τι — ἐστί, wir: was zu bedeuten hat. — τὸ τοιοῦτ. ὄναρ ἰδεῖν, Subj, im D. durch e. Hptw. — ἐκ τῶν συμβ. entweder durch ein Hauptw. oder nach I, 9, 15 z. τ. θελόντ. — πρῶτον μέν,

1. wider Willen. 2. Donner 3. Blitz. 4. einschließen. 5. ... der Gedanke.

κειμαι; ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πο-
λεμίους ἥξειν. εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν μὴ
οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δει-
14 νότατα παθόντας ὑβριζομένους ἀποθανεῖν; ὅπως δ' ἀμυνού-
μεθα, οὐδεὶς παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακεί-
μεθα ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως
στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν δ' ἡλικίαν ἐμαυτῷ
ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ' ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν
15 τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις. ἐκ τούτου ἀνίσταται
καὶ συγκαλεῖ τοὺς Προξένου πρῶτον λοχαγούς. ἐπεὶ δὲ συνῆλ-
θον, ἔλεξεν, Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν δύναμαι,
ὥσπερ οἶμαι οὐδ' ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν, ἐν οἵοις
16 ἐσμέν. οἱ μὲν γὰρ πολέμιοι δῆλον ὅτι οὐ πρότερον πρὸς ἡμᾶς
τὸν πόλεμον ἐξέφηναν πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρα-

ihm entspricht ἐκ τούτου §. 15. — **ἡ δὲ νύξ**, griech. Hauptsätze können wir oft durch Nebensätze mit 'während' übersetzen; hier schildern sie mit Lebendigkeit, wie die Gedanken über die mifsliche Lage auf Xenoph. einstürmen und wie klar und verständig er der Gegenwart ins Auge schaut. — **εἰκός**, wie oft ohne ἐστί. Im D. kann es adverbiell und der Infin. als Prädikat übersetzt werden. — Die Fragen beleben die Darstellung und gestalten dieselbe förmlich zu einem Zwiegespräche, indem sie den Bedenken, die ein andrer oder Xenoph. selbst seinem Entschlusse handelnd aufzutreten machen könnte, gleichsam antworten und zu einer ausführlichen Darlegung auffordern. — **ἐπί** c. Dativ s. I, 1, 4 z. d. W. — **μὴ οὐχί**, s. II, 3, 11 z. d. W. — **πάντα — πάντα**, Anaphora. — **ἐπιδεῖν**, experiri, meist von unglücklichen Erlebnissen; ähnlich unser scherzhaftes: „Schläge besehen". — **ὑβριζομ.**, Weise des ἀποθαν. = schändlich mifshandelt nach I, 1, 6 z. ἐπιβ. 1.

§. 14. **ὅπως δ' ἀμυνούμ.**, s. I, 1. 4 z. ὅπως und beachte die Voranstellung des Satzes. — **ὥσπερ**, s. I, 3, 16 z. d. W. — **ἐξόν**, s. II, 5, 22 z. d. W. — **ἐγώ** vorangestellt, weil er die Leitung in die Hand nehmen will. — **τὸν — στρατηγόν**, Verschmelzung der beiden Fragen: 'Soll ich abwarten, dafs irgend ein Stratege dieses thun wird' und 'aus welcher Stadt soll dieser sein?' — Es war nämlich noch ein spartanischer Führer übrig, Cheirisophos, der an des Klearchos Stelle treten konnte. — Welchen zwei Bedenken begegnet Xenoph. durch diese Frage? — **προσδοκῶ**, Konj. delib. s. I, 7, 7. — **ταῦτα**, was meint Xenoph.? — **ἐλθεῖν**, kann unübersetzt bleiben. — **ἀναμένω**, c. Acc. c. Inf., weil es eine Art Wunsch ausdrückt. — **οὐ γὰρ — πολεμ.**, Gedanke: bei den Feinden werde ich umkommen u. somit nie das zur Feldherrnwürde erforderliche Alter erreichen. Jedenfalls bin ich alt genug, um in dieser bedenklichen Lage, wenn andre unthätig sind, etwas zum Heile des Ganzen unternehmen zu können.

§. 15—25. Xenophons Rede unter den Lochagen des Proxenos.

§. 15. **ἐκ τούτου**, s. I, 2, 17 z. d. W. u. §. 13 z. **πρῶτον**. — **τ. Προξ. πρ.**, warum diese zuerst? — **ἐν οἵοις**, Neutrum von Lagen u. Zuständen; II, 1, 16 stand das Hauptwort dabei.

§. 16. **δῆλον ὅτι** übersetze ad-

1. Alter. 2. erwarten. 3. offen erklären.

σκευάσασθαι, ἡμῶν δ' οὐδεὶς οὐδὲν ἀντεπιμελεῖται, ὅπως ὡς
κάλλιστα ἀγωνιούμεθα. καὶ μὴν εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ 17
γενησόμεθα, τί οἰόμεθα πείσεσθαι; ὃς καὶ τοῦ ὁμομητρίου [καὶ
τοῦ ὁμοπατρίου] ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀποτεμὼν τὴν
κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν· ἡμᾶς δέ, οἷς κηδεμὼν
μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δὲ ἐπ' αὐτὸν ὡς δοῦλον
ἀντὶ βασιλέως ποιήσοντες καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα,
τί ἂν οἰόμεθα παθεῖν; ἆρ' οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι, ὡς ἡμᾶς 18
τὰ ἔσχατα αἰκισάμενος πᾶσιν ἀνθρώποις φόβον παράσχοι τοῦ
στρατεῦσαί ποτε ἐπ' αὐτόν; ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γε-
νησόμεθα πάντα ποιητέον. ἐγὼ μὲν οὖν, ἔστε μὲν αἱ σπον- 19
δαὶ ἦσαν, οὔποτε ἐπαυόμην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα δὲ
καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν ὅσην μὲν

verbiell = offenbar. — *ἐξέφηναν* prägnant = φανερῶς ἐξήνεγκαν. — ἐξ, weil sie im Herzen schon längst Feinde waren. Vergl. bellum ostendere, Liv. — *τὰ ἑαυτῶν*, wie §. 15 ἐν οἵοις. — *οὐδεὶς οὐδέν* s. I, 2, 26 z. d. W.

§. 17. *ἐπί*, c. Dat., s. §. 13. — *ὃς καὶ κ. τ. λ.*, statt auf die erste Frage die kurze Antwort 'er wird uns grausamer behandeln, als seinen Bruder' folgen zu lassen, schickt der Redner die Behandlung des Bruders voran und knüpft daran statt der direkten Aussage wiederum die Frage *τί — παθεῖν*, ordnet die Wörter aber so, dafs er das zu *παθεῖν* gehörige Subj. ἡμᾶς, obwohl dasselbe mit dem Subjekte zu *οἰόμεθα* eins ist und deshalb fehlen konnte, des Nachdrucks wegen voran setzt und zwischen Subj. und Prädikat zwei Relativsätze fügt, aber so, dafs beim zweiten Prädik. (*ἐστρατεύσ.*) das Subj. aus *οἷς* zu ergänzen ist, sodafs eigentlich ein Hauptsatz an einen Nebensatz gereiht erscheint. — *ὅς* übersetze kausal, wie I, 6, 5 z. d. W. — [*καὶ τοῦ ὁμοπατρ.*, zur Steigerung des an dem Bruder begangenen Frevels wird der Artikel wiederholt und dann *καὶ τεθνηκ.* angefügt, weil bei den Griechen schon seit Homer die Schändung eines Leichnams für einen Frevel galt.] — *ἀνεσταύρωσεν*, warum ohne Objekt? Von dieser Kreuzigung schweigen die Schriftsteller. — *κηδεμών*, wie dem Kyros seine Mutter. — *ἐστρατ.*, im D. setze die mit *οἷς* begonnene Relativkonstr. fort: „und die wir". — *ὡς* c. Part. Fut. s. I, 1, 3. — — *δοῦλον*, s. I, 9, 29 z. d. W.

§. 18. *ἐπὶ πᾶν ἔρχεσθαι* = *πάντα ποιεῖν*, omnia tentare, nihil intactum relinquere. — *τὰ ἔσχατα*, s. I, 3, 3 z. *τὰ ἄλλα ἐτίμησε*. — *τοῦ στρατ.*, Attr. z. *φόβον*. — *ὅπως τοι μή* = damit wir nur nicht.

§. 19. *ἐγὼ μὲν οὖν* = ego quidem; *μέν* deutet auf einen nicht ausgesprochenen Gegensatz, s. I, 2, 1. — *ἔστε μέν*, ihm entspricht §. 21 *ἐπεὶ μέντοι*. — *ἐπαυόμ.* — *οἰκτείρων*, Partic. bei *παύεσθαι* übs. durch den Inf. — *διαθεώμ. αὐτῶν*, die Verba: „beobachten, untersuchen, bewundern" konstruiert der Gr. mit d. Genit. der Person und d. Acc. eines Pronomens (*τόδε*, *τοῦτο*) das in einem folgenden Nbs. erklärt wird. Oft fehlt wie hier d. Pron. — Den Genit. übers. durch „an, bei"; man kann auch ein auf den Nbs. hinweisendes „das" hinzufügen. Andre erklären: *αὐτῶν* ist Attrib. zu dem im folgenden Relativsatz *ὅσην — ἔχοιεν* um-

1. ὑφίεσθαι nachgeben, lässig sein. 2. πάσχω. 3. von derselben Mutter 4. Fürsorger
5. [illegible] 6. Med. mißhandeln. 7 in der Tat. 8 beklagen.

χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτήδεια, ὅσους δὲ
20 θεράποντας, ὅσα δὲ κτήνη, χρυσὸν δέ, ἐσθῆτα δέ· τὰ δ' αὖ
τῶν στρατιωτῶν ὁπότε ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν τού-
των οὐδενὸς ἡμῖν μετείη, εἰ μή τι πριαίμεθα, (ὅτου δ' ὠνη-
σόμεθα ᾔδειν ἔτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι
τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ἤδη κατέχοντας ἡμᾶς·)
ταῦτ' οὖν λογιζόμενος ἐνίοτε τὰς σπονδὰς μᾶλλον ἐφοβούμην
21 ἢ νῦν τὸν πόλεμον. ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς,
λελύσθαι μοι δοκεῖ καὶ ἡ ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ἀσά-
φεια. ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα ὁπότε-
ροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν, ἀγωνοθέται δ' οἱ θεοί εἰ-
22 σιν, οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται. οὗτοι μὲν γὰρ αὐτοὺς
ἐπιωρκήκασιν· ἡμεῖς δὲ πολλὰ ὁρῶντες ἀγαθὰ στερρῶς αὐτῶν
ἀπειχόμεθα διὰ τοὺς τῶν θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ
ἰέναι ἐπὶ τὸν ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι ἢ τούτοις.
23 ἔτι δ' ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ θάλπη

schriebenen substantiv. Objekte. — *χρυσὸν δέ, ἐσθῆτα δέ* ohne Relativ malen die Steigerung des Affekts, in dem der Redner das *μακαρίζων* in allen seinen Teilen ausführt. — Ähnlich ist ohne wiederholtes Interrogativum Cic. pro Ligar. c. 3: quae tua mens? oculi? manus? ardor animi? — *ἐσθῆτα* steht kollektiv.

§. 20. Dieser §. erläutert das *οἰκτείρων* und kommt mit andrer Wendung am Ende auf diesen Begriff zurück; im D. kann man deshalb nach *ὅτι* ein 'nämlich' einschalten. — *τὰ δ' αὖ τ. στρατιωτ.*, s. oben §. 15 *ἐν οἵοις*. — *ὁπότε* iterativ. — Die mit *ἐνθυμοίμην, ὅτι* angefangene Konstruction wird durch das parenthetische *ᾔδειν* c. Partic. *ἔχοντας* und *κατέχοντας* unterbrochen, deshalb wird mit *ταῦτ' οὖν λογιζόμ.* der Begriff von *ἐνθυμοίμ.* wiederaufgenommen (synon. Epanalepsis) und daran der Nachsatz geknüpft. — *ὅτου*, Gen. pret. z. *ὠνησόμ.* und beides zus. Obj. z. *ἔχοντας*, frei: „die Mittel z. kauf." Der Gen. ist vorangestellt, um es nahe bei *εἰ μὴ πριαίμ.* zu bringen. — *ὠνησόμεθα* steht wegen des vorhergehenden *πριαίμεθα*; wegen *ὀλίγους ἔχ.* sollte *ὠνήσονται* stehen. Wegen des Fut. s. I, 3, 14 z. *ὅστις* — *ἀπάξει*. — *ὠνουμένους*, nach I. 1, 6 z. *ἐπιβουλ.* 1. — *ταῦτ' οὖν* s. I, 5. 14 z. *οὖν*.

§. 21. *ἐπεὶ μέντ.* s. §. 19 z. *ἔστε*. — *ἔλυσαν* — *λελύσθαι*, Chiasmus der Form und Bedeutung und Paronomasie. — *ἐν μέσῳ*, bei den Wettkämpfen wurden d. Kampfpreise inmitten der Zuschauer aufgestellt. — *ἆθλα* knüpfe durch 'als' an, s. auch II, 5, 10 z. *ἔφεδρ.* — *ὁπότεροι*, davor ist das Demonstr. *τούτοις ἡμῶν* „für diej. v. uns b., w." zu ergänzen. — *ἂν* — *ὦσιν* s. I, 3, 5 z. *ὅ,τι ἄν*.

§. 22. Xenoph. benutzt nach seiner Neigung im folgenden religiöse Motive. — *ἐπιορκεῖν* ist analog dem *ὀμνύναι θεούς* konstr. — *ὁρῶντες*, koncessiv, warum zwischengestellt? — *θεῶν*, s. II, 5, 7 z. d. W. — *ἐξεῖναι*, sc. *ἡμῖν*. — *πολύ*, s. I, 5, 2 z. d. W.

§. 23. *ἔχομεν* — *ἔχομεν δέ*, Anaphora mit fehlendem *μέν* beim ersten Gliede, wodurch das zweite Glied mit *δὲ καί* nachdrücklich hervorgehoben wird. — *ἱκανώτερα*,

καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς ἀμεί-
νονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν, ἢν
οἱ θεοί, ὥσπερ τὸ πρόσθεν, νίκην ἡμῖν διδῶσιν. ἀλλ' ἴσως 24
γὰρ καὶ ἄλλοι ταῦτα ἐνθυμοῦνται, πρὸς τῶν θεῶν μὴ ἀνα-
μένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν παρακαλοῦντας ἐπὶ τὰ κάλ-
λιστα ἔργα, ἀλλ' ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς ἄλ-
λους ἐπὶ τὴν ἀρετήν· φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν
στρατηγῶν ἀξιοστρατηγότεροι. κἀγὼ δέ, εἰ μὲν ὑμεῖς ἐθέλετε 25
ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν βούλομαι, εἰ δ' ὑμεῖς τάτ-
τετ' αὐτόν με ἡγεῖσθαι, οὐδὲν προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ
καὶ ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.

Ὁ μὲν ταῦτ' ἔλεξεν, οἱ δὲ λοχαγοὶ ἀκούσαντες ἡγεῖσθαι 26
ἐκέλευον πάντες, πλὴν Ἀπολλωνίδης τις ἦν βοιωτιάζων τῇ
φωνῇ· οὗτος δ' εἶπεν, ὅτι φλυαροίη ὅστις λέγοι ἄλλως πως

nach I, 1, 2 z. φίλον. Diese Worte Xen. sind nicht verkehrter ungerechtfertigter Überhebung entsprungen, denn schon in den früheren Kämpfen der Griech. u. Pers. hatte sich gezeigt, daſs das Verhältnis so war, als wenn Männer mit Weibern kämpften. — τούτων, s. II, 3, 15 z. ἠλέκτρου. — ψύχη καὶ θάλπη, Plur. bezeichnet die wechselnden Grade. — σὺν τ. θεοῖς, zur Milderung des Ausdrucks hinzugefügt, weil der Mensch von den Göttern abhängig ist. — ἄνδρες und ἄνθρωποι oft von den Feinden gebraucht. — Artikel steht fast demonstrativ.

μᾶλλον umschreibt den Komparativ = leichter zu töten; weil sie schlechtere Schutzwaffen haben.

§. 24. ἀλλά gehört zu μὴ ἀναμένωμεν, Konj. adhortat. — γάρ, Begründungssatz voran; im D. übs. mit Beibehaltung d. Stellung durch 'weil'. — πρὸς τῶν θεῶν, s. II, 1, 17 z. d. W. — παρακαλοῦντ., Futurum. — ἐπὶ τ. κάλλ. ἔργα: nämlich das Heer in Verteidigungszustand setzen und neue Führer wählen. — ἐπὶ τήν, s. I, 3, 20 z. τὴν δίκην. — φάνητε, steigerndes Asyndeton.

§. 25. Eine sehr ansprechende Erklärung dieses §. giebt Nicolai im Progr. des Gymn. zu Köthen 1880 S. 6 sq. — κἀγὼ δέ, „auch ich aber" durch Stellung und Trennung vom Präd. betont. — εἰ μὲν — εἰ δέ, zweigliedrige Anaphora. — ἡγεῖσθαι — ἡγοῦμαι, Wechsel der Bedeutung. ἡγεῖσθαι, vorangehen, die Leitung übernehmen (nämlich das Heer zu den nötigen Beschlüssen zu begeistern). — τὴν ἡλικ. s. I, 1, 2 z. τῶν Ἑλλήν. — ἀκμάζειν hier in moralischem und intellektuellem Sinne. — ἐρύκειν, Folge des ἀκμάζ., durch 'um zu' anzuknüpfen. — τὰ κακά die von den persisch Gesinnten drohenden Gefahren. — Den Beweis für seine Behauptung liefert Xen. sofort im §. 26.

§. 26—31. Der als Nichtgrieche entlarvte Lochage wird degradiert.

§. 26. ἀκούσαντες, entw. nach I, 1, 6 z. ἐπιβουλ. 3. oder I, 3, 13 z. ταῦτα εἰπών. — ἐκέλ. s. II, 3, 21 z. d. W. — πάντες am Ende, um es dem Gegensatze πλήν nahe zu bringen. — πλὴν Ἀπολλ. τις ἦν, das Nom. propr. bildet des Nachdrucks wegen, weil e. neue Person eingeführt wird, einen selbständigen Satz. Im D. können ἦν und οὗτος wegbleiben und εἶπεν sofort Prädik. werden. Ähnlichen Satzbau s. I, 1, 9 z. Κλέαρχ. — βοιωτιάζ., weil er für einen Griechen gelten wollte, deshalb wird

σωτηρίας ἂν τυχεῖν ἢ βασιλέα πείσας, εἰ δύναιτο, καὶ ἅμα
27 ἤρχετο λέγειν τὰς ἀπορίας. ὁ μέντοι Ξενοφῶν μεταξὺ ὑπολαβὼν ἔλεξεν ὧδε. Ὦ θαυμασιώτατε ἄνθρωπε, σύγε οὐδὲ ὁρῶν γιγνώσκεις οὐδὲ ἀκούων μέμνησαι. ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις, ὅτε βασιλεύς, ἐπεὶ Κῦρος ἀπέθανε, καταφρονήσας
28 ἐπὶ τούτῳ πέμπων ἐκέλευε παραδιδόναι τὰ ὅπλα. ἐπεὶ δὲ ἡμεῖς οὐ παραδόντες, ἀλλ' ἐξοπλισάμενοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ, τί οὐκ ἐποίησε πρέσβεις πέμπων καὶ σπονδὰς αἰτῶν
29 καὶ παρέχων τὰ ἐπιτήδεια, ἔστε σπονδῶν ἔτυχεν; ἐπεὶ δ' αὖ οἱ στρατηγοὶ καὶ λοχαγοί, ὥσπερ δὴ σὺ κελεύεις, εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον πιστεύσαντες ταῖς σπονδαῖς, οὐ νῦν ἐκεῖνοι παιόμενοι, κεντούμενοι, ὑβριζόμενοι, οὐδὲ ἀποθανεῖν οἱ τλήμονες δύνανται, καὶ μάλ', οἶμαι, ἐρῶντες τούτου; ἃ σὺ πάντα εἰδὼς τοὺς μὲν ἀμύνασθαι κελεύοντας φλυαρεῖν φῄς,
30 πείθειν δὲ πάλιν κελεύεις ἰόντας; ἐμοί, ὦ ἄνδρες, δοκεῖ τὸν ἄνθρωπον τοῦτον μήτε προσίεσθαι εἰς ταὐτὸν ἡμῖν αὐτοῖς ἀφελομένους τε τὴν λοχαγίαν σκεύη ἀναθέντας ὡς τοιούτῳ χρῆσθαι. οὗτος γὰρ καὶ τὴν πατρίδα καταισχύνει καὶ πᾶσαν

der Deutlichkeit wegen τῇ φωνῇ zugefügt. — πείσας, s. I, 1, 6 z. ἐπιβ. 1.

§. 27. μεταξύ hebt die zeitl. Bedeutung des Part., hier d. Gleichzeitigkeit, bestimmter hervor. — οὐδὲ — οὐδέ = nicht einmal — noch auch. οὐδὲ ὁρῶν γιγνώσκ., wir: mit sehenden Augen blind sein. — Gedanke: Du verkennst unsre Lage und vergiſst, wie die Perser uns bis jetzt getäuscht haben. — ἐν ταὐτῷ = eodem loco; τούτοις hängt davon ab = quo hi d. i. du warst ja doch dabei. Xenoph. meint die II, 1, 8 erwähnte Gesandtschaft des Phalinos. — ἐπεὶ Κῦρ. ἀπέθ., nach I, 3, 4 z. ἐπειδὴ ἐκάλει, verbinde sofort mit ἐπὶ τούτῳ. — καταφρονήσας und im §. 29 πιστεύσ. Bedtg. des Aor. s. I, 1, 9 z. ἠγάσθη. — πέμπων, setze das Obj. hinzu und übersetze ἐκέλευε nach I, 10, 14 z. d. W. S. auch I, 3, 2 z. ἑστώς.

§. 28. ἐξοπλισάμ. drückt den begleitenden Umstand aus. — ἐλθόντ. s. II, 1, 10 z. d. W., auch §. 29 ἰόντας. — τί οὐκ ἐποίησε, warum die Frage statt des πάντ' ἐποίησ.? — αἰτῶν καὶ παρέχ., Chiasmus.

§. 29. οἱ στρατ. s. I, 7, 2 z. d. W. — αὐτοῖς, sc. Πέρσαις, s. I, 10, 4 z. οἱ δέ. — οὐ — οὐδέ, nonne — ne quidem. — παιόμενοι — ὑβριζόμ., das Asyndeton malt die Aufregung, die den Redner beim Andenken an diese Frevel ergreift und so die Hauptbegriffe herausdrängt. — οὐδὲ ἀποθαν., weil sie nach II, 5, 32 gefesselt sind. — καὶ μάλ. — ἐρῶντ. konzessiv. — τούτου bezieht sich auf ἀποθ. — πείθειν, daſs der König sie ungehindert ziehen lasse. — ἰόντας, entweder unübs. oder im D. voran und nach I, 1, 6 z. ἐπιβουλ. 2.

§. 30. μήτε — τε, s. II, 2, 8 z. d. W. — εἰς ταὐτόν, s. II, 6, 22 z. d. W. — Gedanke: ihn aus unsrer Mitte zu entfernen. ἀφελομ. — ἀναθέντ., Chiasmus. — ἀφελομ. Subj. ἡμᾶς u. Obj. αὐτόν sind z. ergänzen. — ἀναθέντ. sc. αὐτῷ s. I, 1, 7 z. ὑπολαβ. — τοιούτῳ, sc. σκευοφόρῳ. — καταισχύνει bewirkt eine Konjunktio.

τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν τοιοῦτός ἐστιν. ἐντεῦθεν ὑπολα- 31
βὼν Ἀγασίας Στυμφάλιος εἶπεν, Ἀλλὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προσήκει οὐδὲν οὔτε τῆς Ἑλλάδος παντάπασιν, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον ὥσπερ Λυδὸν ἀμφότερα τὰ ὦτα τετρυπημένον. καὶ εἶχεν οὕτως. τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δὲ ἄλλοι 32
παρὰ τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶς εἴη, τὸν στρατηγὸν παρεκάλουν, ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑποστράτηγον, ὅπου δ' αὖ λοχαγὸς σῶς εἴη, τὸν λοχαγόν. ἐπεὶ δὲ πάντες 33
συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκαθέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. ὅτε δὲ ταῦτα ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες. ἐνταῦθα Ἱερώνυμος 34
Ἠλεῖος πρεσβύτατος ὢν τῶν Προξένου λοχαγῶν ἤρχετο λέγειν ὧδε. Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοί, ὁρῶσι τὰ παρόντα ἔδοξε καὶ αὐτοῖς συνελθεῖν καὶ ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαίμεθα εἴ τι δυναίμεθα ἀγαθόν. λέξον δ', ἔφη, καὶ σύ, ὦ Ξενοφῶν, ἅπερ καὶ πρὸς ἡμᾶς. ἐκ τούτου λέγει τάδε Ξενοφῶν. Ἀλλὰ ταῦτα μὲν δὴ πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς 35
καὶ Τισσαφέρνης οὓς μὲν ἐδυνήθησαν συνειλήφασιν ἡμῶν, τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν, ὡς ἢν δύνωνται ἀπολέσωσιν. ἡμῖν δέ γε, οἶμαι, πάντα ποιητέα ὡς μήποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον, [ἢν δυνώμεθα], ἐκεῖνοι ἐφ' ἡμῖν. εὖ τοίνυν ἐπίστασθε, ὅτι ὑμεῖς τοσοῦτοι 36

Ἑλλάδα — Ἕλλην, Paronomasie. — ὤν eigentl. konzessiv, übers. frei durch „als“.

§. 31. ἐντεῦθεν, Asyndeton der Eile.

προσήκει οὐδέν, Stellung? — Βοιωτ. Gen. part. z. οὐδέν. — Λυδόν, als Repräsentant der asiatischen Barbaren genannt, bei denen diese Sitte herrschte. ὦτα, Accus. bei Passiv., s. I, 3, 10 z. ἀδικεῖν. u. II, 6, 1 z. ἀποτμ. Die Ohrringe hatte er herausgenommen. — εἶχεν οὕτως, prägnante Kürze.

§. 32—44. Zweite Rede Xenophons; er ermutigt die Strategen und Lochagen.

§. 32. παρά, warum? — ὅπου — εἴη s. I, 1, 5 z. ὅστις. — οἴχοιτο steht euphemist. für ὄλλυμι.

§. 33. τὸ πρόσθεν τῶν ὅπλων, Beratungen der Führer fanden schon bei Homer außerhalb des Lagers statt. — ἐγένοντο οἱ συνελθόντ. übers. nach I, 2, 9 z. ἐγέν. οἱ σύμπ. — μέσαι — νύκτ. s. I, 7, 1 z. d. W.

§. 34. πρεσβύτατος s. II, 1, 10 z. d. W. — αὐτοῖς attrahiert von ἡμῖν. — λέξον, Aor. von der eintretenden Handlung. — καὶ σύ, wie ich. — ἅπερ sc. ἔλεξας.

§. 35. ἀλλά, Gegensatz zu einem verschwiegenen Gedanken: 'Unsre Lage brauche ich nicht zu schildern'.

ταῦτα μέν, wodurch ist im folgenden die andre Wendung ἡμῖν δέ γε πάντα ποιητέα, welche zu dem Nbs. βασιλεύς κ. τ. λ. im Gegensatze steht, veranlaſst? — οὕς, s. I, 2, 1 z. πλὴν ὁπόσοι. — ἡμῶν, Gen. part. wozu?

§. 36. τοσοῦτοι ὄντ., ὅσοι, frei: die ihr in so groſser Anzahl,

ὄντες, ὅσοι νῦν συνεληλύθατε, μέγιστον ἔχετε καιρόν. οἱ γὰρ στρατιῶται οὗτοι πάντες πρὸς ὑμᾶς βλέπουσι, κἂν μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες κακοὶ ἔσονται, ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται
37 μιμεῖσθαι. ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι τούτων. ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν, ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβουλεύειν
38 τούτων καὶ προπονεῖν, ἤν που δέῃ. καὶ νῦν πρῶτον μὲν οἶμαι ἂν ὑμᾶς μέγα ὠφελῆσαι τὸ στράτευμα, εἰ ἐπιμεληθείητε ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν. ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο, ὡς μὲν συνελόντι εἰπεῖν, οὐδαμοῦ, ἐν δὲ δὴ τοῖς πολεμικοῖς παντάπασιν. ἡ μὲν γὰρ εὐταξία σώζειν
39 δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. ἐπειδὰν δὲ κα-

s. II, 1, 16 z. d. W. — *ἔχετε*, Stellung? — *μέγ. καιρ.*, entscheidendste Stellung, sehr großer Einfluß, d. i. ihr habt die Entscheidung in eurer Hand. — *ἀθυμοῦντ.* Particip. s. I, 1, 7 z. *βουλευομ.* — *παρασκευαζ.* Partic. bei *φανερός*, s. I, 2, 11 z. d. W. — *παρακαλῆτε*, wozu? — Beachte hier den Wechsel der Konstr. in den entsprechenden Satzgliedern. — *εὖ ἴστε*, Amplifikation des Nachdrucks wegen.

§. 37. *ἴσως δέ τοι*, vielleicht aber doch. — *τὶ* „in etwas", der milde Ausdruck (attische Urbanität) hebt die Bestimmtheit, mit der er von der Zustimmung der Hörer überzeugt ist. — Ähnlich: haud scio an = sine dubio. — *ὑμεῖς — ὑμεῖς*, kräftige Anaphora. Wie vielmal gebrauchte Xen. im §. 36 u. 37 das Pronomen der Anrede und weshalb?

χρήμασι, durch höheren Sold. — Exk. §. 5. — *τούτων*, weil in *ἐπλεονεκτ.* ein Komparativ liegt. — *τοῦ πλήθους*, das Kollektivum zur Abwechselung bei vorhergehendem und nachfolgendem *τούτων*.

§. 38. *πρῶτον μέν*, in andrer Wendung folgt §. 39 *ἐπειδὰν δέ*. — *ἀντικαταστ.*, das doppelte *ἀντί* dient zur Verstärkung. — *οὐδὲν — οὔτε — οὐδαμοῦ*, Häufung der Negation; letztere ist durch Stellung betont. — *ὡς μὲν συνελόντι εἰπεῖν*, der Dativus Participii teils mit teils ohne begleitendes Nomen oder Pronomen ist eigentlich, namentlich wenn das Pronomen allgemein ist, durch 'wenn' zu übersetzen (für einen zusammenfassenden = wenn man es zusammenfaßt), wir gebrauchen einen verkürzten Satz mit „um zu" und setzen statt des Partic. ein entsprechendes Adverb. — *ἐν δὲ δή*, *δή* bei Dingen, die selbstverständlich sind = gar. — *παντάπασιν*, sc. *οὐδὲν — γένοιτο*. — *εὐταξία — ἀταξία*, Paronomasie in der Anaphora. *δοκεῖ* zur Milderung zugefügt.

§. 39. Dieser §. faßt alle Forderungen Xen.'s samt dem Erfolge rekapitulierend zusammen. — *ἐπειδὰν δέ* mache im D. zum Zwischensatze des voraufzunehmenden Bedingungssatzes. — *καταστήσ.*

ταστήσησθε τοὺς ἄρχοντας ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους
στρατιώτας συλλέγητε καὶ παραθαρρύνητε, οἶμαι ἂν ὑμᾶς πάνυ
ἐν καιρῷ ποιῆσαι. νῦν μὲν γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε, 40
ὡς ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυ-
λακάς· ὥστε οὕτω γ' ἐχόντων οὐκ οἶδα ὅ,τι ἄν τις χρήσαιτο
αὐτοῖς εἴτε νυκτὸς δέοι εἴτε καὶ ἡμέρας. ἢν δέ τις αὐτῶν 41
τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται, τί πείσον-
ται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται. ἐπί- 42
στασθε γὰρ δή, ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ
πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς
ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τού-
τους ὡς ἐπὶ τὸ πολὺ οἱ ἀντίοι οὐ δέχονται. ἐντεθύμημαι δ' 43
ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι, ὁπόσοι μὲν μαστεύουσι ζῆν
ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι μὲν κακῶς τε καὶ
αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ ἀποθνῄσκουσιν, ὁπόσοι δὲ τὸν μὲν
θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώ-
ποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται, τούτους
ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους καὶ ἕως ἂν ζῶ-
σιν εὐδαιμονέστερον διάγοντας. ἃ καὶ ἡμᾶς δεῖ νῦν καταμα- 44
θόντας, (ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμεν,) αὐτούς τε ἄνδρας ἀγα-
θοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν. ὁ μὲν ταῦτ' εἰπὼν

s. I, 1, 10 z. *πρὶν ἄν*. — *ἐν καιρῷ*, im D. ein Adverb. — *δεῖ*, was ist zu ergänzen?

§. 40. *ἀθύμως — ἀθύμως*, Anaphora durch Auslassung des zweiten *ὡς* verstärkt, s. §. 19 zu *χρυσόν*. — *ἐχόντων*: *στρατιωτῶν* nach I, 1, 6 z. *ἐπιβουλ*. 1. — *οὐκ οἶδα ὅ,τι*, s. §. 36 z. *εὖ ἴστε*. — *ὅ,τι — χρήσ.*, s. I, 3, 18 z. d. W.

§. 41. *αὐτῶν*, durch Stellung betont, gehört zu *γνώμας*.

§. 42. *ἐστιν*, zur Hebung der Gegensätze so gestellt. — *ποιοῦσα*. Das prädikativ stehende Partic. mit dem Artikel übers. „ist es, welche". S. auch II, 3, 5 zu *ὁ τολμήσ*. — *ὁπότεροι*, Voranstellung des Relativsatzes, wie I, 1, 5 z. *ὅστις* u. wegen des iterat. Konj. s. I, 3, 5 z *ὅ,τι ἄν*. — *ὡς ἐπὶ τὸ πολύ* = „etwa auf das Viele hin, auf die meisten Fälle hin", umschreibt oft unser „meistens".

§. 43. *ἐντεθύμημαι*, Perf. mit Präsensbedeutung. Der folgende Gedanke wird bei Griechen und Römern oft zur Ermutigung der Krieger gebraucht. — *ὁπόσοι μὲν — οὗτοι μὲν — ὁπόσοι δὲ — τούτους*, doppelte Anaphora, mit einer Anakoluthie im letzten Gliede, indem statt *οὗτοι δέ* nach Einschiebung des *ὁρῶ* die anfangs begonnene Konstruktion durch einen neuen Hauptsatz verdrängt wird. — *τὸν θάνατον κ. τ. λ.*, welche Worte sind durch Stellung betont? — *τούτους ὁρῶ*, im D. setze die angefangene Konstruktion fort und mache *ὁρῶ* zum Zwischensatz, indem die Partic. Prädikate werden.

§. 44. *ἃ* Obj. z. *καταμ.* bezieht sich auf den Inhalt des letzten Satzes. *ἃ καταμαθ.*, nach I, 1, 6 z. *ἐπιβουλ*. 1. — *παρακαλεῖν*, wozu?

1. zu günstigen Stunde. 2. wozu man sie gebrauchen könnte. 3. Ihr Gesinnung um-stimmen. 4. ἐρρωμένος Part. Pf. Pass. ῥώννυμι mutig. 5. sich bemühen.

45 ἐπαύσατο. μετὰ δὲ τοῦτον εἶπε Χειρίσοφος, Ἀλλὰ πρόσθεν μέν, ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίγνωσκον, ὅσον ἤκουον Ἀθηναῖον εἶναι, νῦν δὲ καὶ ἐπαινῶ σε ἐφ᾽ οἷς λέγεις τε καὶ πράττεις, καὶ βουλοίμην ἂν ὅτι πλείστους εἶναι τοιούτους·

46 κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν. καὶ νῦν, ἔφη, μὴ μέλλωμεν, ὦ ἄνδρες, ἀλλ᾽ ἀπελθόντες ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου καὶ τοὺς αἱρεθέντας ἄγετε. ἔπειτ᾽ ἐκεῖ συγκαλοῦμεν τοὺς ἄλλους στρατιώτας.

47 παρέστω δ᾽ ἡμῖν, ἔφη, καὶ Τολμίδης ὁ κῆρυξ. καὶ ἅμα ταῦτ᾽ εἰπὼν ἀνέστη, ὡς μὴ μέλλοιτο, ἀλλὰ περαίνοιτο τὰ δέοντα. ἐκ τούτου ᾑρέθησαν ἄρχοντες ἀντὶ μὲν Κλεάρχου Τιμασίων Δαρδανεύς, ἀντὶ δὲ Σωκράτους Ξανθικλῆς Ἀχαιός, ἀντὶ δὲ Ἀγίου Κλεάνωρ Ἀρκάς, ἀντὶ δὲ Μένωνος Φιλήσιος Ἀχαιός, ἀντὶ δὲ Προξένου Ξενοφῶν Ἀθηναῖος.

II. Ἐπεὶ δὲ ᾕρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε καὶ εἰς τὸ μέσον ἧκον οἱ ἄρχοντες. καὶ ἔδοξεν αὐτοῖς προφυλακὰς καταστήσαντας συγκαλεῖν τοὺς στρατιώτας. ἐπεὶ δὲ καὶ οἱ ἄλλοι στρατιῶται συνῆλθον, ἀνέστη πρῶτον μὲν Χειρίσοφος ὁ Λα-
2 κεδαιμόνιος καὶ ἔλεξεν ὧδε. Ἄνδρες στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, ὁπότε ἀνδρῶν στρατηγῶν τοιούτων στερόμεθα καὶ λοχαγῶν καὶ στρατιωτῶν, πρὸς δ᾽ ἔτι καὶ οἱ ἀμφὶ Ἀριαῖον,

§. 45—47. Wahl neuer Strategen.

§. 45. *τοσοῦτον μόνον*, s. I, 3, 14 z. d. W. — *ἐφ᾽ οἷς*, Attraktion. — *κοινὸν — ἀγαθόν*, eigentlich Nachsatz zu einem aus *βουλοίμ.* — *τοιούτ.* zu wiederholenden Bedingungssatze. Im D. haben wir gleiche Wendungen.

§. 46. *μὴ μέλλωμεν*, Konj. adhort., warum kann *αἱρεῖσθε* folgen? — *οἱ δεόμενοι*, die ihr keine Führer mehr habt, denn *ἄρχοντας* gehört nach I, 4, 8 z. *στερήσ.* auch zu *δεόμ.* Beachte das Part. mit dem Artikel als Apposition zum Vokativ beim Imper., s. II, 5, 25 z. *οἱ στρ.* — *ἐκεῖ*, warum nicht *ἐκεῖσε*? *συγκαλοῦμ.*, Futurum.

§. 47. *Δαρδαν.*, aus Dardanos, einer Stadt in Troas. S. V, 6, 21—24. — *Κλεάνωρ*, wahrscheinlich wählten ihn die Leute des Agias zu ihrem Führer, denn Stratege war er schon nach II, 5, 37.

II. Fernere Beratungen in einer Versammlung aller Griechen.

§. 1—6. Cheirisophos und nach ihm Kleanor fordern das Heer zur Tapferkeit auf.

§. 1. *ὑπέφαινε*, intr. anbrechen. — Was liegt in *ὑπό*? — *τε — καί* beim gleichzeitigen Eintreten zweier Handlungen; wir subordinieren (s. I, 8, 8 z. d. W.) und übs. *ἡμέρα — ὑπέφ.* durch ein Hauptw. mit einer Präp. — *καταστήσαντας*, Acc. bei vorhergehendem *αὐτοῖς*. — So schon *λαβόντα* in I, 2, 1. — *συνῆλθον* s. I, 1, 2 z. *ἐποίησ.* — *πρῶτον μέν*, statt *ἔπειτα δέ* folgt §. 4 *ἐπὶ τούτῳ*. — *ὁ Λακεδαιμόνιος* ist absichtlich hinzugesetzt.

§. 2. *τὰ παρόντα*, s. III, 1, 15 z. *ἐν οἵοις*. — *στερόμεθα* in der Mitte der Objekte, also eine Konjunktio. — *οἱ ἀμφὶ Ἀριαῖον*, s. II, 4, 2 z. *οἱ περὶ Ἀριαῖον*.

1. zögern. 2. vollenden. 3 Vorposten. 4 fehlt. 5. entbehren.

οἱ πρόσθεν σύμμαχοι ὄντες, προδεδώκασιν ἡμᾶς· ὅμως δὲ δεῖ 3
ἐκ τῶν παρόντων ἄνδρας ἀγαθοὺς τελέθειν καὶ μὴ ὑφίεσθαι,
ἀλλὰ πειρᾶσθαι, ὅπως, ἢν μὲν δυνώμεθα, καλῶς νικῶντες σω-
ζώμεθα· εἰ δὲ μή, ἀλλὰ καλῶς γε ἀποθνήσκωμεν, ὑποχείριοι
δὲ μηδέ ποτε γενώμεθα ζῶντες τοῖς πολεμίοις. οἶμαι γὰρ ἂν
ἡμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.
ἐπὶ τούτῳ Κλεάνωρ ὁ Ὀρχομένιος ἀνέστη καὶ ἔλεξεν ὧδε. Ἀλλ᾽ 4
ὁρᾶτε μέν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν καὶ ἀσέβειαν,
ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν, ὅστις λέγων ὡς γείτων
τε εἴη τῆς Ἑλλάδος καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι
ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐτὸς ὀμόσας ἡμῖν, αὐτὸς δεξιὰς δούς,
αὐτὸς ἐξαπατήσας συνέλαβε τοὺς στρατηγούς, καὶ οὐδὲ Δία
ξένιον ᾐδέσθη, ἀλλὰ Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος αὐ-
τοῖς τούτοις ἐξαπατήσας τοὺς ἄνδρας ἀπολώλεκεν. Ἀριαῖος δέ, 5
ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι, καὶ ἐδώκαμεν καὶ
ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος οὔτε

§. 3. *δεῖ*, das pronominale Subj. liegt in *στερόμεθα*. — *ὅπως* — *σωζώμ.*, der Nebs. ist nachdrücklicher als der einfache Infinitiv, der nach *πειρᾶσθαι* gewöhnlich ist. — *νικῶντες*, nach I, 1, 6 z. *ἐπιβ.* 1., wozu *καλῶς* Attrib. wird. — *ἀλλὰ* — *γε*, nach einem hypothetischen Vordersatze, der oft in Gedanken ergänzt werden muſs = doch wenigstens. Der Gegensatz wird uns klar, wenn wir den Satz *ὑποχείρ. κ. τ. λ.* vorausnehmen: daſs wir nicht in die Hände der Feinde kommen, sondern wenigstens u. s. w. — *ὑποχείριοι*, ähnlich der deutsche Ausdruck: „Wenn der mir unter die Hände kommt". — *οἴομαι* — *παθεῖν*, eigentlich Nachsatz eines aus *ὑποχείριοι* — *πολεμίοις* zu ergänzenden Bedingungssatzes, was wir durch ein nach 'denn' zugesetztes 'sonst' andeuten. — *οἷα* — *ποιήσειαν*, Relativsatz mit dem wünschenden Optativ, in welchem hier ein Euphemismus liegt: quae utinam faciant.

§. 4. Im folgenden beachte die Anaphora des *ὁρᾶτε* und des dreimal mit Pathos wiederholten *αὐτός*, wodurch Tissaph. als die eine Person scharf bezeichnet wird, welche die gröſste Freundschaft gelobte u. doch die gröſste Feindschaft übte. *ὅστις* = utpote qui ist stärker als *ὅς*. — Die Partic. *λέγων*, *ὀμόσας*, *δούς* u. *γενόμενος* nach I, 1, 6 z. *ἐπιβουλ.* 3 konzessiv. — *ὡς γείτων τε* — *καὶ κ. τ. λ.*, Beiordnung statt der Unterordnung. — *Δία ξένιον*, alle Ordnungen, Gesetze, Rechte im Menschenleben stehen unter des Zeus Schutze; besonders stehen die Rechte des Gastes, des Flüchtlings u. des Schutzflehenden in seiner Obhut, daher *Ζεὺς ξένιος*, *ἱκέσιος* genannt. — *γενόμεν.* nach I, 1, 6 z. *ἐπιβουλ.* 3 tempor. — *αὐτοῖς τουτοις* faſst die Mittel der Täuschung zusammen. Gelesen haben wir das alles II, 3, 18 und II, 5, 27.

§. 5. *ἠθέλομ.*, s. Sache s. II, 1, 4. — *ἐδώκαμεν καὶ ἐλάβομεν*, ohne persönl. Objekt nach I, 4, 8 z. *τούτων στερήσ.* *ἐδώκαμεν*, statt dieser Form, die Xenoph. mehrfach gebraucht, haben die Attiker in der Regel den Aor. II. Im D. setze die Relativkonstr. fort. — *πιστά*, s. I, 2, 26 z. *πίστεις*. — *καὶ οὗτος*, s. I, 10, 19 z. d. W. — *δείσ.* u. *αἰδεσθ.* Aor. wie I, 1, 9 z. *ἠγάσθη*. — *Κῦρον*

τοὺς θεοὺς δείσας οὔτε Κῦρον τεθνηκότα αἰδεσθείς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς τοὺς ἐκείνου ἐχθίστους ἀποστὰς ἡμᾶς τοὺς Κύρου φίλους κακῶς ποιεῖν πει-
6 ρᾶται. ἀλλὰ τούτους μὲν οἱ θεοὶ ἀποτίσαιντο· ἡμᾶς δὲ δεῖ ταῦτα ὁρῶντας μήποτε ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους ὡς ἂν δυνώμεθα κράτιστα τοῦτο, ὅ,τι ἂν δοκῇ τοῖς θεοῖς, πάσχειν.

7 Ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος ἐπὶ πόλεμον ὡς ἐδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοί, τὸν κάλλιστον κόσμον τῷ νικᾶν πρέπειν, εἴτε τελευτᾶν δέοι, ὀρθῶς ἔχειν τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα ἐν τούτοις τῆς
8 τελευτῆς τυγχάνειν· τοῦ λόγου δὲ ἤρχετο ὧδε. Τὴν μὲν τῶν βαρβάρων ἐπιορκίαν τε καὶ ἀπιστίαν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δὲ καὶ ὑμεῖς, οἶμαι. εἰ μὲν οὖν βουλόμεθα πάλιν αὐτοῖς διὰ φιλίας ἰέναι, ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν, ὁρῶντας καὶ τοὺς στρατηγούς, οἳ διὰ πίστεως αὐτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα πεπόνθασιν· εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις ὧν τε πεποιήκασι δίκην ἐπιθεῖναι αὐτοῖς καὶ τὸ λοιπὸν

τεθνηκ. Der Gegensatz zu ὑπὸ Κύρ. ist durch den Chiasmus hervorgehoben. — τιμώμενος nach I, 1, 6 z. ἐπιβουλ. 3 konzessiv. — μάλιστα, warum nachgestellt? — ἐκείνου ist Attr. z. Subst. ἐχθίστους. Wie muſs im D. der Superlativ übers. werden? — Beachte die dreimalige, nachdrucksvolle Wiederholung d. Hptw. Κῦρος.

§. 6. ἀποτίσαιντο, ἀπό s. I, 1, 8 z. ἀπέπεμπε. Opt. von einem realisierbaren Wunsche. S. auch I, 5, 7 z. διατελ. — ὁρῶντας, durch einen Relativsatz; μαχομένους nach I, 1, 6 z. ἐπιβουλ. 2 mit πάσχειν zu verbinden. — ὡς ἂν δυνώμ. κράτ., s. I, 1, 6 z. ὡς μάλιστα.

§. 7—32. Xen. fordert die Griechen zu Mut und Ausdauer auf*).

§. 7. Einleitung. — εἴτε — θεοί, — εἴτε — δέοι, Parallelismus und Gleichklang. — τῷ νικᾶν, im D. durch das Hauptw. — τῶν καλλίστων, Neutr.; kurz vorher: κάλλιστον κόσμον. — ἀξιώσαντα, Attrib. z. Subj. = er, der. — τοῦ λόγ. s. I, 1, 2 z. τῶν Ἑλλήν. — ἤρχετο s. I, 6, 5 z. d. W.

§. 8—16. Erster Teil: Die Götter unterstützen die Frommen, nicht die Eidbrüchigen und Feigen.

§. 8. τὴν μέν ohne folgendes δέ, das im folgenden im Gedanken liegt: 'was aber unsre Lage betrifft'. — λέγει, Präs. steht lebhaft von einer vergangenen Handlung, die alle wissen. — αὐτοῖς διὰ φιλίας ἰέναι — den Weg der Freundschaft einschlagen; bald nachher: διὰ πολέμου ἰέναι. Der Dativ steht nach solchen mit Substantiven gebildeten Phrasen nach Analogie der Verba und Adjekt.: 'feind sein'. — τοὺς στρατηγούς, Anticipation nach I, 1, 5 z. τῶν βαρβάρων. — αὐτοῖς ἑαυτούς, gegensätzliche Zusammenstellung. — ὧν, f. τούτων ἅ, s. I, 3, 10 z. d. W. — τὸ λοιπόν,

*) Der Lehrer vergleiche zu dieser Rede die trefflichen Bemerkungen Schimmelpfengs im Pforter Programm S. 10 sqq.

διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι, σὺν τοῖς θεοῖς πολλαὶ ἡμῖν
καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας. τοῦτο δὲ λέγοντος αὐτοῦ 9
πτάρνυταί τις· ἀκούσαντες δ' οἱ στρατιῶται πάντες μιᾷ ὁρμῇ
προσεκύνησαν τὸν θεόν, καὶ Ξενοφῶν εἶπε, Δοκεῖ μοι, ὦ
ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν λεγόντων οἰωνὸς τοῦ Διὸς
τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια
ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα, συνεπεύξασθαι
δὲ καὶ τοῖς ἄλλοις θεοῖς θύσειν κατὰ δύναμιν. καὶ ὅτῳ δοκεῖ
ταῦτ', ἔφη, ἀνατεινάτω τὴν χεῖρα. καὶ ἀνέτειναν ἅπαντες. ἐκ
τούτου ηὔξαντο καὶ ἐπαιάνισαν. ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς
εἶχεν, ἤρχετο πάλιν ὧδε. Ἐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ 10
καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας. πρῶτον μὲν γὰρ ἡμεῖς μὲν
ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκή-
κασί τε καὶ τὰς σπονδὰς παρὰ τοὺς ὅρκους λελύκασιν. οὕτω
δ' ἐχόντων εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς
θεούς, ἡμῖν δὲ συμμάχους, οἵπερ ἱκανοί εἰσι καὶ τοὺς μεγάλους
ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σώ-

s. II, 2, 5 z. d. W. — *πολλαί*, s. II, 3, 18 z. *πολλά*. — *ἡμῖν*, die betonte Stellung wird im Vergleich mit §. 10 recht deutlich. — Übrigens enthalten die Worte *σὺν τοῖς θεοῖς κ. τ. λ.*, das Thema der ganzen Rede und des ersten Teils.

§. 9. *προσεκύν.*, zum Zeichen des Danks, indem sie wahrscheinlich zugleich ihr: „Ζεῦ σῶσον“ riefen. Apulejus M. sagt: προσκυνοῦσι admoventes oribus suis dexteram primo digito in erectum pollicem residente. — *τὸν θεόν*, der das Omen gesandt. Der Glaube, benieste Worte werden war, findet sich von Homer (Odys. 17, 541 sqq.) an bei den Griechen und Römern und zu allen Zeiten bei den Deutschen, weshalb man ihn noch jetzt, wenn auch mehr im Scherz, aussprechen hört. Dagegen heifst es im „Ausland“ 1877, 436: Bei Beginn eines Unternehmens zu niesen, galt als b ö s e s Omen, daher Ζεὺς σωτήρ angerufen. Auch bei and. Völkern, z. B. den Juden, galt es als b ö s e s Omen. — *οἰωνός* allgemein für τέρας, für jede Art von Vorbedeutung. — *Διὸς τ. σωτῆρος*, weil bei dem Worte σωτηρίας geniest wurde. — *θύσειν σωτήρια*, s. I, 2, 10 z. τὰ Λύκαια ἔθυσε. — *ὅπου ἄν*, wird IV, 8, 25 erzählt. S. auch I, 3, 5 z. ὅ,τι ἄν. — *ἀνατεινάτω*, Subj. aus vorhergehendem Obj. z. ergänzen nach I, 4, 5 z. βιασάμενοι. — Der Gebrauch durch Händeaufheben abzustimmen ist aus den griechischen Volksversammlungen entlehnt. — *τὰ τῶν θεῶν*, s. III, 1, 16. — Livius: res divinae.

§. 10. *τοὺς τῶν θεῶν ὅρκ.*, s. II, 5, 7 z. d. W., wo Klearch diesen Grund auch zuerst anführt. — *ἐμπεδοῦμεν — λελύκασιν*, Chiasmus. — *ἐπιωρκ.*, sie schwuren mit der Absicht, den Eid nicht zu halten. — *οὕτω δ' ἐχόν.*, quae quum ita sint. — *καὶ τοὺς μεγάλους κ. τ. λ.*, vergl. §. 7 und Evang. Luk. 1, 52. — *κἂν — ὦσι*, durch *καί*, welches vor oder nach *εἰ*, *ἐάν* steht, werden die Bedingungssätze zu Konzessivs. — *ὦσι — βούλωνται*, Wechsel der Subjekte. Dieser von Xen. ausgeführte Gedanke stimmt so ganz mit der hei-

1. Durchaus kindlich sein. 2. niesen. 3 einmütig 4. wünschen, geloben. 5. zugleich geloben. 6. zu halten.

11 ζειν εὐπετῶς, ὅταν βούλωνται. ἔπειτα δέ, ἀναμνήσω γὰρ ὑμᾶς
καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα εἰδῆτε,
ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι σῴζονταί τε σὺν τοῖς θεοῖς
καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί. ἐλθόντων μὲν γὰρ Περσῶν καὶ
τῶν σὺν αὐτοῖς παμπληθεῖ στόλῳ ὡς ἀφανιούντων [αὖθις] τὰς
Ἀθήνας, ὑποστῆναι αὐτοὶ Ἀθηναῖοι τολμήσαντες ἐνίκησαν
12 αὐτούς. καὶ εὐξάμενοι τῇ Ἀρτέμιδι ὁπόσους ἂν κατακάνοιεν
τῶν πολεμίων τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ
εἶχον ἱκανὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς κατ' ἐνιαυτὸν πεντακοσίας
13 θύειν, καὶ ἔτι νῦν ἀποθύουσιν. ἔπειτα ὅτε Ξέρξης ὕστερον
ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, καὶ
τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ
γῆν καὶ κατὰ θάλατταν. ὧν ἔστι μὲν τεκμήρια ὁρᾶν τὰ τρόπαια,
μέγιστον δὲ μνημεῖον ἡ ἐλευθερία τῶν πόλεων, ἐν αἷς ὑμεῖς
ἐγένεσθε καὶ ἐτράφητε· οὐδένα γὰρ ἄνθρωπον δεσπότην, ἀλλὰ

ligen Denkungsart d. Griechen, dafs auch Demosthenes ihn anwendet u. ausführt, um die Athener zu eigner Thatkraft gegen Philipp zu treiben.

§. 11. **ἔπειτα δέ**, nach diesen Worten ist im Vortrage eine kurze Pause zu denken, und indem Xen. nun ἀναμν. γάρ voranstellt, knüpft er den zu **ἔπειτα δέ** eigentlich gehörenden Hauptsatz (σῴζονται οἱ ἀγαθοί als Nebens. mit ἵνα εἰδῆτε an den vorgeschobenen Haupts. — **ἀγαθοῖς**, Prädikat, kongruiert mit ὑμῖν, wie in: Themistocli licuit esse otioso. — **οἱ ἀγαθοί** und ἀγαθοῖς s. II, 3, 5 z. ἄριστ. — **ἐλθ. μέν**, ihm entspricht §. 13 ἔπειτα. — **τῶν σὺν αὐτ.**, ihre Bundesgenossen. — **ὡς** c. Part. Fut. s. I, 1, 3 z. d. W. — **αὖθις** = rursus. — **ἐνίκησ.**, in der Schlacht bei Marathon 490, von der Kornel im Miltiades erzählt.

§. 12. **εὐξάμενοι**, statt des diesem Nomin. entsprechenden Prädikats (ἐβουλεύσαντο, ἐψηφίσαντο) folgt ἔδοξεν αὐτοῖς. — **Ἀρτέμιδι**, die Artemis agrotera wurde zu Agrā in Attika als Jagdgöttin verehrt. Das hier erwähnte Dankfest wurde alljährlich am 6. Boëdromion mit einem Pompaufzug gefeiert, so dafs dieses Dankfest für die gewonnene Schlacht einen Tag nach dem allgemeinen Totenfeste der Genesien lag. — **ὁπόσους**, Stellung wie I, 1, 5; vergl. auch I, 5, 9 u. I, 6, 2 z. ἄν. — **ἐπεὶ οὐκ εἶχον** wird im D. Zwischensatz des mit ἔδοξεν anfangenden Satzes. — **ἱκανάς**, d. h. die gehörige Anzahl. — Nach Justin waren 200,000 Perser gefallen; nach Herodot nur 6400. — **καὶ ἔτι νῦν**, obwohl die gelobte Zahl schon längst dargebracht ist. Die Athener behielten das Opfer bei, um das Andenken an die Niederlage der Perser zu erneuern. — **ἀποθύουσιν**, ἀπό, s. I, 1, 8 zu ἀπέπεμπε.

§. 13. **ἔπειτα** entspricht dem ἐλθόντων μέν im §. 11. — **ἀγείρ.**, entw. nach I, 1, 6 z. ἐπιβουλ. 2. oder frei nach I, 1, 2 z. λαβών. — **τὴν ἀναρίθμ.**, Artikel fast demonstrativ = jenes d. i. das bekannte. — **ἐνίκων**, warum hier und §. 14 das Impf., während §. 11 der Aor. stand? — **κατὰ γῆν καὶ κατὰ θάλατ.**, welche Schlachten meint Xenophon? Wo erwähnt Kornel dieselben? — **τεκμήρια**, knüpfe durch 'als' an. — **τῶν**, Artikel vor πόλ. wegen des folgenden Relativsatzes. — **ἐγέν. καὶ**

τοὺς θεοὺς προσκυνεῖτε. τοιούτων μέν ἐστε προγόνων. οὐ μὲν 14
δὴ τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς· ἀλλ' οὔπω
πολλαὶ ἡμέραι ἀφ' οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκ-
γόνοις πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς.
καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου βασιλείας ἄνδρες ἦτε ἀγα- 15
θοί· νῦν δ', ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι,
πολὺ δήπου ὑμᾶς προσήκει καὶ ἀμείνονας καὶ προθυμοτέρους
εἶναι. ἀλλὰ μὴν καὶ θαρραλεωτέρους νῦν πρέπει εἶναι πρὸς τοὺς 16
πολεμίους. τότε μὲν γὰρ ἄπειροι ὄντες αὐτῶν τό τε πλῆθος
ἄμετρον ὁρῶντες, ὅμως ἐτολμήσατε σὺν τῷ πατρίῳ φρονήματι
ἰέναι εἰς αὐτούς· νῦν δὲ ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν,
ὅτι οὐ θέλουσι καὶ πολλαπλάσιοι ὄντες [μὴ] δέχεσθαι ὑμᾶς, τί
ἔτι ὑμῖν προσήκει τούτους φοβεῖσθαι; μηδὲ μέντοι τοῦτο μεῖον 17
δόξητε ἔχειν ὅτι οἱ Ἀριαίου πρόσθεν σὺν ἡμῖν ταττόμενοι νῦν
ἀφεστήκασιν. ἔτι γὰρ οὗτοι κακίονές εἰσι τῶν ὑφ' ἡμῶν ἡττη-
μένων· ἔφευγον γοῦν [πρὸς] ἐκείνους καταλιπόντες ἡμᾶς. τοὺς
δ' ἐθέλοντας φυγῆς ἄρχειν πολὺ κρεῖττον σὺν τοῖς πολεμίοις
ταττομένους ἢ ἐν τῇ ἡμετέρᾳ τάξει ὁρᾶν. εἰ δέ τις ὑμῶν 18
ἀθυμεῖ, ὅτι ἡμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς, τοῖς δὲ πολεμίοις πολ-

ἐτράφ. im D. Perfekt. — ἀλλά = ἀλλὰ μόνον wie I, 4, 18 z. d. W. — Die Thaten der Vorfahren dienen auch bei den spätern griechischen Redner oft zur Aufmunterung und Ermahnung.

§. 14. τοιούτων, Gen. praed. durch Zwischenstellung des ἐστέ betont. — καταισχύνετε, warum κατά? — οὔπω πολλαὶ ἡμέραι, mit ausgelassener Kopula, ist zu einer Formel erhärtet, weshalb ἀφ' οὗ folgen kann. — πολλαπλασ., nach I, 1, 2 z. φίλον. — ὑμῶν αὐτῶν, Genit., weil in πολλαπλασ. ein Komparativ liegt.

§. 15. περὶ τ. Κύρ. βασιλ., περί wegen des folgenden ἀγών, s. I, 2, 8 z. περί. — πολύ gehört zum Komparat., s. I, 5, 2 z. d. W.

§. 16—26. Die Schwierigkeiten unsrer Lage sind noch immer nicht bedenklich.

§. 29. ἀποτμηθείησαν, bei andern Schriftstellern ist die verkürzte Form gewöhnlicher. — ἀμφοτέρ. — οἱ πολέμιοι, Xenoph. spricht hier im Sinne der Perser, denn οἱ πολέμιοι sind hier die Griechen; das Wort πολέμ. bezeichnet also in diesem §. verschiedene Personen.

§. 30. οἱ μέν, die Soldaten im Viereck. — κατὰ τ. γηλόφους, Attrib. z. ὁδῷ; es ist nichts zu ergänzen, wir sagen auch: 'der Weg über die Brücke'. Es ist der §. 24 genannte. — οἱ δέ, die Peltasten. — ὄρος ist der Paſs oberhalb des heutigen Zakho, den ein Reisender also beschreibt: An der Stelle, wo die Bergkette zu passieren ist, teilt sich dieselbe in zwei parallele Ketten, in eine südlich

κώμας καὶ ἰατροὺς κατέστησαν ὀκτώ· πολλοὶ γὰρ ἦσαν οἱ τε-
τρωμένοι. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ τῶν τετρω- [3.–6. Novbr. 31
μένων ἕνεκα καὶ ἅμα ἐπιτήδεια πολλὰ εἶχον, ἄλευρα, οἶνον,
κριθὰς ἵπποις συμβεβλημένας πολλάς. ταῦτα δὲ συνενηνεγμένα
ἦν τῷ σατραπεύοντι τῆς χώρας. τετάρτῃ δ' ἡμέρᾳ καταβαίνου-
σιν εἰς τὸ πεδίον. ἐπεὶ δὲ κατέλαβεν αὐτοὺς Τισσαφέρνης σὺν 32
τῇ δυνάμει, ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη κατασκηνῆσαι οὗ πρῶ-
τον εἶδον κώμην καὶ μὴ πορεύεσθαι ἔτι μαχομένους· πολλοὶ
γὰρ ἦσαν ἀπόμαχοι, [οἱ] τετρωμένοι καὶ οἱ ἐκείνους φέροντες
καὶ οἱ τῶν φερόντων τὰ ὅπλα δεξάμενοι. ἐπεὶ δὲ κατεσκήνη- 33
σαν καὶ ἐπεχείρησαν αὐτοῖς ἀκροβολίζεσθαι οἱ βάρβαροι πρὸς
τὴν κώμην προσιόντες, πολὺ περιῆσαν οἱ Ἕλληνες· πολὺ γὰρ
διέφερεν ἐκ χώρας ὁρμῶντας ἀλέξασθαι ἢ πορευομένους ἐπιοῦσι
τοῖς πολεμίοις μάχεσθαι. ἡνίκα δ' ἦν ἤδη δείλη, ὥρα ἦν 34

höhere und eine nördlich niedrigere. Man hat zwei Stunden aufwärts zu steigen, über Wald- und Berggebiet zwischen beiden, wo das Dorf Hassan Agha liegt. Aber in der Verlängerung derselben Berge gegen den Tigres vereinigen sich die zwei Ketten wieder zu einer. — *ἐπιπαριόντες*, *ἐπί* auf dem Gebirge, *παρά* neben dem Hauptheere. — *τὰς κώμας*, die §. 24 erwähnten. — *ἰατρ.* — *ὀκτώ*, die andern beim Heere befindlichen Ärzte bleiben bei ihren Abteilungen. — *οἱ τετρωμένοι*, entw. nach I, 2, 9 z. *καὶ ἐγένοντο*, oder abweichend vom Gr. als Prädik.

§. 31. *καὶ ἅμα*, der zweite Grund in einem selbständigen Satze, während man *ὅτι* erwarten könnte. Durch solche Verbindung wird die Lebhaftigkeit der lebendigen Rede nachgeahmt. Im D. setze die angefangene Konstruktion mit „und weil" fort. — *ἄλευρα*. Asyndeton bei Aufzählungen. — *ἵπποις*, Dativ commodi. — *τῷ σατραπεύοντι*, Dativ beim Passiv. Die Verpflegung der Truppen gehörte mit zum Amte der Satrapen. — *πεδίον* ist die fruchtbare Thalebene des Chabur oder Zakhu, die auf der Nordseite des Tschâ-Spi beginnt und sich $52\frac{1}{2}$ bis 59 Kilometer am Tigres hinauf erstreckt und gegen Norden von der 12 bis 15000 Fuſs (3480 bis 4350 m.) hohen Alpenkette des Dschudi-Dagh oder Dshebel - Dshudi begrenzt wird. Zakhu ist jetzt der Hauptort in dieser Ebene, in welcher die Griechen über den Chabur gekommen sein müssen, obwohl Xenophon das nicht angiebt. Wahrscheinlich war dieser Fluſs damals seicht und ohne Beschwerde zu passieren. Ein Reisender hat ihn im August nur knietief und 50 Schritt breit angetroffen, während er im Frühjahr 300 bis 400 Schritt breit sein soll.

§. 32. *τῇ δυνάμ.*, s. I, 1, 3 zu *ἐπὶ τὴν ἀρχ.* — *ἐδίδαξεν*, denselben Tropus haben wir in dem Sprichwort: 'Not lehrt beten'. — *οὗ* für *ἐνταῦθα, οὗ.* — *οἱ τετρωμένοι κ. τ. λ.*, erläuternde Apposition zu *πολλοί.* — *φέροντες*, im Dativ Subst., zu dem *ἐκείν.* Attr. wird; *οἱ* — *δεξάμεν.* Das Subjekt übersetze nach I, 9, 15 zu *θελόντ.* — *τῶν φερόντ.*, im Deut. ein Hauptwort.

§. 33. *κατεσκήνησαν καὶ ἐπεχείρησαν*, Wechsel des Sbjekts. — *πολὺ διέφερεν* hat komparative Bedeutung, daher *ἤ.* — *ὁρμῶντας*, s. I, 1, 9 z. d. W.

ἀπιέναι τοῖς πολεμίοις· οὔποτε γὰρ μεῖον ἀπεστρατοπεδεύοντο
οἱ βάρβαροι τοῦ Ἑλληνικοῦ ἑξήκοντα σταδίων, φοβούμενοι,
35 μὴ τῆς νυκτὸς οἱ Ἕλληνες ἐπιθῶνται αὐτοῖς. πονηρὸν γὰρ
νυκτός ἐστι στράτευμα Περσικόν. οἵ τε γὰρ ἵπποι αὐτοῖς δέ-
δενται καὶ ὡς ἐπὶ πολὺ πεποδισμένοι εἰσὶ τοῦ μὴ φεύγειν
ἕνεκα, εἰ λυθείησαν, ἐάν τέ τις θόρυβος γίγνηται δεῖ ἐπι-
σάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ καὶ χαλινῶσαι δεῖ καὶ θωρα-
κισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. ταῦτα δὲ πάντα χαλεπὰ
νύκτωρ καὶ θορύβου ὄντος. τούτου ἕνεκα πόρρω ἀπεσκήνουν
36 τῶν Ἑλλήνων. ἐπεὶ δὲ ἐγίγνωσκον αὐτοὺς οἱ Ἕλληνες βου-
λομένους ἀπιέναι παὶ διαγγελλομένους, ἐκήρυξε τοῖς Ἕλλησι
συσκευάζεσθαι ἀκουόντων τῶν πολεμίων. καὶ χρόνον μέν τινα
ἐπέσχον τῆς πορείας οἱ βάρβαροι, ἐπειδὴ δὲ ὀψὲ ἐγίγνετο, ἀπῆ-
σαν· οὐ γὰρ ἐδόκει λύειν αὐτοὺς νυκτὸς πορεύεσθαι καὶ κατ-
37 άγεσθαι ἐπὶ τὸ στρατόπεδον. ἐπειδὴ δὲ σαφῶς ἀπιόντας ἤδη
ἑώρων οἱ Ἕλληνες, ἐπορεύοντο καὶ αὐτοὶ ἀναζεύξαντες καὶ
διῆλθον ὅσον ἑξήκοντα σταδίους. καὶ γίγνεται τοσοῦτον με-
ταξὺ τῶν στρατευμάτων, ὥστε τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ
πολέμιοι οὐδὲ τῇ τρίτῃ, τῇ δὲ τετάρτῃ νυκτὸς προελθόντες

§. 34. **τοῦ Ἑλληνικοῦ** hängt von *ἀπεστρατοπεδεύοντο* ab; **σταδίων** vom Komparativ *μεῖον*. — **ἐπιθῶνται**, Konjunktiv nach einem historischen Tempus, s. I, 3, 14.

§. 35. **πονηρόν**, s. II, 5, 9 zu *φοβερώτατον*; denn das Neutrum würde auch dann stehen, wenn ein Femin. od. Masc. als Subj. stände, vgl. auch III, 2, 22. — Gedanke: 'das Perserheer befindet sich in einer üblen Lage'. — **πεποδισμένοι**, Die Sitte, die Pferde während der Nacht an den Füſsen festzubinden, erwähnt schon Homer. S. auch Kyrop. III, 3, 27. Sie findet sich auch jetzt noch bei den Orientalen und Beduinen in Afrika und bei der englischen Reiterei in Hindostan. — **τοῦ μὴ φεύγειν ἕνεκα** übs. nach I, 1, 8 z. *δοθῆναι*. — **εἰ λυθείησαν**, ohne bestimmt ausgesprochenen, aber leicht aus *τοῦ μὴ φεύγ.* zu ergänzenden Hauptsatz, den wir D. in solchen Fällen auch auslassen. — **οἵ τε** — **τε** koordiniert die beiden Schwierigkeiten. Im D. verbinde das zweite *τε* mit dem folgd. *δεῖ*, indem *τε* — *τε* durch „einerseits — andrerseits“ übers. und *ἐάν* — *γίγνητ.* Zwischensatz des zweiten Satzes (*δεῖ ἐπισ.*) wird. — **δεῖ** — **δεῖ**, zur Hervorhebung der Schwierigkeit wiederholt und mit Dativ c. Inf. und Acc. c. Inf. konstruiert. — **νύκτωρ καὶ θορύβ. ὄντος**, Adverb. und Gen. absol. einander koordiniert.

§. 36. **οἱ Ἕλληνες**, Subj. in die Mitte gestellt. — **διαγγελλομένους**, von Mund zu Mund, sonst *παραγγέλλειν*, s. Exk. §. 15. — **διά** = inter se, weil die Aufforderung durch die Reihen hin- und hergeht. — **ἐκήρυξε**, s. I, 2, 17 z. *ἐσάλπιγξε*. — **συσκευάζεσθαι**, Exk. §. 25. — **κατάγεσθαι**, *κατά* = zurück.

§. 37. **σαφῶς**, wirklich. — **καὶ αὐτοί** = et ipsi, und nicht allein die Perser. — **ἀναζεύξαντες** ist voranzunehmen. — **διῆλθον** bez.

1. ... 2. mitunterteils. 3. ... 4. ... 5. ... 6. zusammengepackt. 7. ... 8. castra movere. 9. ... = λυσιτελεῖν nützen

καταλαμβάνουσι χωρίον ὑπερδέξιον οἱ βάρβαροι, ᾗ ἔμελλον οἱ Ἕλληνες παριέναι, ἀκρωνυχίαν ὄρους, ὑφ' ἣν ἡ κατάβασις ἦν εἰς τὸ πεδίον. ἐπειδὴ δὲ ἑώρα Χειρίσοφος προκατειλημμένην 38
τὴν ἀκρωνυχίαν, καλεῖ Ξενοφῶντα ἀπὸ τῆς οὐρᾶς καὶ κελεύει λαβόντα τοὺς πελταστὰς παραγενέσθαι εἰς τὸ πρόσθεν. ὁ δὲ 39
Ξενοφῶν τοὺς μὲν πελταστὰς οὐκ ἦγεν· ἐπιφαινόμενον γὰρ ἑώρα Τισσαφέρνην καὶ τὸ στράτευμα πᾶν· αὐτὸς δὲ προσελάσας ἠρώτα, Τί καλεῖς; ὁ δὲ λέγει αὐτῷ, Ἔξεστιν ὁρᾶν· προκατείληπται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λόφος, καὶ οὐκ ἔστι παρελθεῖν, εἰ μὴ τούτους ἀποκόψομεν. ἀλλὰ τί οὐκ 40
ἦγες τοὺς πελταστάς; ὁ δὲ λέγει, ὅτι οὐκ ἐδόκει αὐτῷ ἔρημα καταλιπεῖν τὰ ὄπισθεν πολεμίων ἐπιφαινομένων. Ἀλλὰ μὴν ὥρα γ' ἔφη, βουλεύεσθαι, πῶς τις τοὺς ἄνδρας ἀπελᾷ ἀπὸ τοῦ λόφου. ἐνταῦθα Ξενοφῶν ὁρᾷ τοῦ ὄρους τὴν κορυφὴν 41
ὑπὲρ αὐτοῦ τοῦ ἑαυτῶν στρατεύματος οὖσαν, καὶ ἀπὸ ταύτης ἔφοδον ἐπὶ τὸν λόφον, ἔνθα ἦσαν οἱ πολέμιοι, καὶ λέγει, Κράτιστον, ὦ Χειρίσοφε, ἡμῖν ἵεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον·

Aor. den Erfolg des ἐπορ. — οἱ βάρβαροι, die Perser waren, während die Griechen in der Ebene nahe am Tigres blieben, wahrscheinlich dem Fuſse des Dshebel-Dshudi entlang gezogen, um in der Besetzung des Passes zuvorzukommen. — ἀκρωνυχίαν ὄρους, ein Ausläufer des höheren Gebirges, der einen mäſsig hohen Rücken bildet und hier ἀκρωνυχία ὄρους genannt wird (jetzt der Berg von Dergula oder, nach einer andern Annahme, die Höhe von Rabahi), trennt die Ebene von Zakhu oder Chabur von einer kleinern Thalebene, in der Dshesîreh-ibn-Omár Hauptort ist und die sich bis zum Austritt des Tigres aus dem karduchischen Gebirge ausdehnt. So nach Koch. Andere suchen diese Hügelkette nördlich von Dshesîreh in dem westlichen Ausläufer des Kurdengebirges in der Nähe von Funduk. — ὑφ' ἣν = unter — hin.

§. 38. καλεῖ s. I, 1, 3 z. συλλαμβ. — οὐρᾶς, s. Exkurs §. 37.

§. 39. ἐπιφαινόμενον, übers. nicht nach I, 1, 7 z. βουλευομ., sondern durch den Infinitiv. — προσελάσας, er war zu Pferde. — Die Gesprächsform, die im §. 40 zur orat. obl. hinneigt, belebt die Erzählung. — ἔξεστιν und nicht ἔστιν, weil die Möglichkeit im Subj. liegt. ἔστι bezeichnet Ausführbarkeit. — ἡμῖν Dativ. incommodi. — ὁ ὑπὲρ — λόφος, §. 37 ἀκρωνυχίαν ὄρους. — τούτους, mit einer Handbewegung zu denken, weshalb im D. das Adv. 'dort' hinzuzusetzen ist.

§. 40. ἔρημα, ohne Peltasten, also = schutzlos. — τὰ ὄπισθεν = τὴν οὐράν. — ἔφη, sc. Cheirisoph. — τις unbestimmt für 'wir', welche Form auch im D. gebraucht wird.

§. 41. κορυφή und das folgende ἄκρον und τὸ ὄρος bezeichnen den höher als die ἀκρωνυχία liegenden Gipfel des §. 37 genannten Bergzuges. — ὑπὲρ αὐτοῦ, gerade über; αὐτός beschränkt die Aussage genau auf den einen Gegenstand. — ἑαυτῶν = der Griechen. — οὖσαν gehört auch zu ἔφοδον. — ἔνθα, s. I, 2, 8 z. ὅθεν. — τὸ ἄκρον = τὴν κορυφήν. — οἱ

ἣν γὰρ τοῦτο λάβωμεν, οὐ δυνήσονται μένειν οἱ ὑπὲρ τῆς ὁδοῦ. ἀλλὰ, εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δ' ἐθέλω πορεύεσθαι. εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ
42 αὐτοῦ. Ἀλλὰ δίδωμί σοι, ἔφη ὁ Χειρίσοφος, ὁπότερον βούλει ἑλέσθαι. εἰπὼν ὁ Ξενοφῶν, ὅτι νεώτερός ἐστιν, αἱρεῖται πορεύεσθαι, κελεύει δέ οἱ συμπέμψαι ἀπὸ τοῦ στόματος ἄνδρας·
43 μακρὸν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λαβεῖν· καὶ ὁ Χειρίσοφος συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος πελταστάς· ἔλαβε δὲ τοὺς κατὰ μέσον τοῦ πλαισίου. συνέπεσθαι δ' ἐκέλευσεν αὐτῷ καὶ τοὺς τριακοσίους οὓς αὐτὸς εἶχε τῶν ἐπιλέκτων ἐπὶ τῷ στόματι τοῦ
44 πλαισίου. ἐντεῦθεν ἐπορεύοντο ὡς ἐδύναντο τάχιστα. οἱ δ' ἐπὶ τοῦ λόφου πολέμιοι ὡς ἐνόησαν αὐτῶν τὴν πορείαν ἐπὶ τὸ ἄκρον, εὐθὺς καὶ αὐτοὶ ὥρμησαν ἁμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον.
45 καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρατεύματος διακελευομένων τοῖς ἑαυτῶν, πολλὴ δὲ κραυγὴ τῶν ἀμφὶ
46 Τισσαφέρνην τοῖς ἑαυτῶν διακελευομένων. Ξενοφῶν δὲ παρελαύνων ἐπὶ τοῦ ἵππου παρεκελεύετο, Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἁμιλλᾶσθαι, νῦν πρὸς τοὺς παῖδας καὶ τὰς

ὑπὲρ τῆς ὁδοῦ ist Subj., im D. kann man aber ὑπὲρ τῆς ὁδοῦ z. μένειν ziehen. — ἐγὼ δέ, ohne σὺ μέν, weil das emphatische ἀλλὰ μένε als Ermunterungspartikel diesen äufserlichen Gegensatz unnötig machte.

§. 42. δίδωμι = überlassen. — εἰπών, Asyndeton der Eile bei sich gegenseitig aufnehmenden Fragen und Antworten, s. I, 3, 20 z. ἔδοξε. Im D. verbinde die Sätze durch: 'nun, da' und übs. εἰπών durch Hauptwort c. Präpos. — μακρὸν ἦν, im D. ein andrer Modus, longum erat.

§. 43. τοὺς ἀπὸ τοῦ στόματος, Attraktion wie I, 1, 5 z. παρὰ βασιλ. — ἔλαβε, zum Ersatz. — τοὺς τριακοσίους, siehe §. 21. Übrigens war es Spartaner und auch andrer Griechen Brauch, für schwierige und gefährliche Expeditionen 300 Mann zu nehmen.

§. 44. αὐτῶν, der Griechen. — καὶ αὐτοί, s. §. 37. — ἐπὶ τὸ ἄκρον, eine Antistrophe, zur Schilderung des gleichen Endziels beider Heere.

§. 45. πολλὴ μὲν — διακελευομένων, Anaphora mit chiastischer Antistrophe des dadurch stark betonten διακελ., um den Wetteifer beider Heere zu malen. — διακελευομένων nach vorhergehendem στρατεύματος, s. II, 1, 6 z. κόπτοντες διά, s. §. 36 z. διαγγελλομ.

§. 46. νῦν — νῦν — νῦν, Anaphora, die durch das Fehlen von μέν u. δέ, sowie durch den Wechsel der Konstruktion (νομίζετε — πορευσόμεθα) verstärkt wird. — τ. παῖδας κ. τ. γυν. ist nach Frohberger die gewöhnliche Wortstellung mit Rücksicht auf die nach griech. Anschauung höhere Bedeutung des Kindes als Erhalter des Namens und Geschlechts. Andre Stellung III, 1, 3. IV, 1, 8. Der D. sagt gewöhnlich: „Weib und Kind". Doch Hedwig in Schiller's Tell III, 1: Kind und Weib. — τὴν λοιπήν, ὁδόν, beachte die Bemerkung I, 2, 7 z. διὰ μέσ.

γυναῖκας, νῦν ὀλίγον πονήσαντες ἀμαχεὶ τὴν λοιπὴν πορευσό-
μεθα. Σωτηρίδας δὲ ὁ Σικυώνιος εἶπεν, Οὐκ ἐξ ἴσου, ὦ Ξε- 47
νοφῶν, ἐσμέν· σὺ μὲν γὰρ ἐφ' ἵππου ὀχεῖ, ἐγὼ δὲ χαλεπῶς
κάμνω τὴν ἀσπίδα φέρων. καὶ ὃς ἀκούσας ταῦτα καταπηδή- 48
σας ἀπὸ τοῦ ἵππου ὠθεῖται αὐτὸν ἐκ τῆς τάξεως, καὶ τὴν
ἀσπίδα ἀφελόμενος ὡς ἐδύνατο τάχιστα ἔχων ἐπορεύετο· ἐτύγ-
χανε δὲ καὶ θώρακα ἔχων τὸν ἱππικόν· ὥστε ἐπιέζετο. καὶ
τοῖς μὲν ἔμπροσθεν ὑπάγειν παρεκελεύετο, τοῖς δὲ ὄπισθεν
παριέναι μόλις ἑπόμενος. οἱ δ' ἄλλοι στρατιῶται παίουσι καὶ 49
βάλλουσι καὶ λοιδοροῦσι τὸν Σωτηρίδαν, ἔστε ἠνάγκασαν λα-
βόντα τὴν ἀσπίδα πορεύεσθαι. ὁ δὲ ἀναβάς, ἕως μὲν βάσιμα
ἦν ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δὲ ἄβατα ἦν, καταλιπὼν τὸν ἵππον
ἔσπευδε πεζῇ. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς
πολεμίους.

ἔνθα δὴ οἱ μὲν βάρβαροι στραφέντες ἔφευγον ᾗ ἕκαστος V.
ἐδύνατο, οἱ δ' Ἕλληνες εἶχον τὸ ἄκρον. οἱ δὲ ἀμφὶ Τισσα-
φέρνην καὶ Ἀριαῖον ἀποτραπόμενοι ἄλλην ὁδὸν ᾤχοντο. οἱ δὲ
ἀμφὶ Χειρίσοφον καταβάντες [εἰς τὸ πεδίον] ἐστρατοπεδεύοντο
ἐν κώμῃ μεστῇ πολλῶν ἀγαθῶν. ἦσαν δὲ καὶ ἄλλαι [10. Novbr.
κῶμαι πολλαὶ πλήρεις πολλῶν ἀγαθῶν ἐν τούτῳ τῷ πεδίῳ
παρὰ τὸν Τίγρητα ποταμόν. ἡνίκα δ' ἦν δείλη, ἐξαπίνης οἱ 2
πολέμιοι ἐπιφαίνονται ἐν τῷ πεδίῳ, καὶ τῶν Ἑλλήνων κατέ-
κοψάν τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ καθ' ἁρπαγήν·

§. 47. **οὐκ ἐξ ἴσου**, Litotes, umschreibt das Adverb., wir: 'in gleicher Lage sein'.

§. 48. **καὶ ὅς**, s. I, 8, 16 z. d. W. — **ἀκούσας** — **καταπηδ.** s. I, 1, 7 z. ὑπολαβ. — **ἀσπίδα** gehört zu beiden Participien, wir müssen jedoch bei ἔχων durch ein Pronomen dasselbe andeuten. — **ἐπορεύετο.** Impf. inchoat.

ὑπάγειν, ὑπό allmählich, langsam.

§. 49. **παίουσι κ. τ. λ.**, Polysyndeton. — **λαβόντα** nach I, 1, 6 z. ἐπιβουλ. 2. mit πορεύεσθαι zu verbinden. — **ὁ δέ**, Xenophon. — **βάσιμα**, für die Pferde. — **φθάνουσι** c. Partic., s. I, 1, 2 z. ἐτύγχανε.

V. Aufenthalt in der Ebene von Dshesîreh.

§. 1—6. Die Feinde erscheinen, töten einige auf Beute ausgegangene Griechen und stecken alle Dörfer in Brand.

§. 1. **οἱ δὲ ἀμφὶ Τισσαφέρνην**, s. II, 4, 2 z. οἱ περὶ Ἀριαῖον. — **ἀποτραπ.** gehört zu ὁδόν. — Im D. kann man es freilich unübers. lassen. — **ὁδόν**, s. I, 2, 20 z. τὴν ταχίστ. — **πεδίον**, ist die III, 4, 37 z. ἀκρωνυχίαν erwähnte Ebene Dshesîreh (jetzt auch Ebene von Bezabde). — **μεστῇ**, s. I, 1, 2 z. φίλον, vermutlich in der Gegend der heutigen Ortschaft Mansurieh. — **ἀγαθῶν**, Lebensmittel, s. VI, 6, 1.

§. 2. **τῶν ἐσκεδασμέν.**, nach I, 9, 15 z. τ. θελόντ.

νομαὶ πολλαὶ βοσκημάτων, plastische Verstärkung. Wir „wei-

1. ... 2. ὅς = οὗτος. 3. Medium. 4. z. Reiter gehörig. 5. belästigen. 6. mit Mühe. 7. schlagen. 8. nachfolgen. 9. adj. zum Gehen eingerichtet. 10. wie. 11. ... zerstreuen.

καὶ γὰρ νομαὶ πολλαὶ βοσκημάτων διαβιβαζόμεναι εἰς τὸ πέραν
3 τοῦ ποταμοῦ κατελήφθησαν. ἐνταῦθα Τισσαφέρνης καὶ οἱ σὺν
αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώμας. καὶ τῶν Ἑλλήνων μάλα
ἠθύμησάν τινες, ἐννοούμενοι, μὴ τὰ ἐπιτήδεια, εἰ καίοιεν, οὐκ
4 ἔχοιεν ὁπόθεν λαμβάνοιεν. καὶ οἱ μὲν ἀμφὶ Χειρίσοφον ἀπῆ-
σαν ἐκ τῆς βοηθείας· ὁ δὲ Ξενοφῶν ἐπεὶ κατέβη, παρελαύνων
τὰς τάξεις, ἡνίκα ἀπὸ τῆς βοηθείας ἀπήντησαν οἱ Ἕλληνες,
5 ἔλεγεν, Ὁρᾶτε, ὦ ἄνδρες [Ἕλληνες], ὑφιέντας τὴν χώραν ἤδη
ἡμετέραν εἶναι; ἃ γάρ, ὅτε ἐσπένδοντο, διεπράττοντο, μὴ καίειν
τὴν βασιλέως χώραν, νῦν αὐτοὶ καίουσιν ὡς ἀλλοτρίαν. ἀλλ'
ἐάν που καταλίπωσί γε αὑτοῖς τὰ ἐπιτήδεια, ὄψονται καὶ ἡμᾶς
6 ἐνταῦθα πορευομένους. ἀλλ', ὦ Χειρίσοφε, ἔφη, δοκεῖ μοι
βοηθεῖν ἐπὶ τοὺς καίοντας ὡς ὑπὲρ τῆς ἡμετέρας. ὁ δὲ Χειρί-
σοφος εἶπεν, Οὔκουν ἔμοιγε δοκεῖ· ἀλλὰ καὶ ἡμεῖς, ἔφη,
καίωμεν, καὶ οὕτω θᾶττον παύσονται.
7 Ἐπεὶ δὲ ἐπὶ τὰς σκηνὰς ἦλθον, οἱ μὲν ἄλλοι περὶ τὰ ἐπι-
τήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῆσαν. καὶ ἐνταῦθα
πολλὴ ἀπορία ἦν. ἔνθεν μὲν γὰρ ὄρη ἦν ὑπερύψηλα, ἔνθεν

dende Herden". — διαβιβαζόμεναι, Part. des Impf. con. s. III, 4, 8 z. ἐλάμβ., übers. nach I, 9, 15 z. θελόντ. — εἰς τὸ πέραν, wir setzen das Hauptwort dazu.

§. 3. Τισσαφέρνης und τινές, Chiasmus. — ἐννοούμενοι kausal. — μή, weil im Verb. der Begriff der Furcht liegt. — τὰ ἐπιτήδ., Obj. z. λαμβάν., durch Stellung betont. — εἰ καίοιεν, Wechsel des Subjekts. — ὁπόθεν, s. II, 4, 5 z. ὅθεν.

§. 4. ἀπῆσαν, dafs sie ausgezogen waren, um den in §. 2 Bedrängten Hülfe zu leisten, ist nicht erwähnt, weil es sich von selbst versteht. — ἐκ τ. βοηθ. = „von der Hülfeleistung".

ὁ δὲ Ξενοφ., mit diesem Nebensatze verbinde im D. den folgenden ἡνίκα κ. τ. λ., dann folgt παρελαύνων nach I, 1, 6 z. ἐπιβουλ. 2. — κατέβη von der 4, 49 erwähnten Höhe. — οἱ Ἕλληνες, allgemein für οἱ ἀμφὶ Χειρίσοφον.

§. 5. ὑφιέντας, die Perser. Das Pronom. liegt im Particip. — ἅ, Pron. Plur. auf den ganzen Gedanken bezogen. Im D. übs. den Relativsatz konzessiv. — διεπράττοντο = „festsetzen". — μὴ καίειν, sc. ἡμᾶς, epexegetischer Inf. wie ἀποστῆναι in I, 1, 7. Gelesen haben wir dies II, 3, 27. — καίουσιν, statt des allgemeinen ποιοῦσι setzt Xenoph. des Nachdrucks wegen mit Wiederholung desselben Worts die spezielle Handlung selbst. Mit diesen Worten tröstet er die mutlosen Griechen. — ἀλλ' ἐάν, ἀλλά vertritt den verschwiegenen Gedanken: 'Doch das soll ihnen nichts helfen'. — καταλίπ. s. I, 1, 10 z. πρὶν ἄν. — αὑτοῖς, Dat. commodi.

§. 6. ὡς ὑπὲρ τ. ἡμετέρας motiviert das βοηθεῖν. — καίωμεν, Konj. adhort.

§. 7—12. Die mutlosen Griechen und der brückenbauende Rhodier.

§. 7. σκηνάς, pars pro toto; denn die Zelte sind verbrannt, aber der Ausdruck bleibt, selbst wenn die Griechen biwakieren.

ἔνθεν — ἔνθεν, Anaphora; in der Gegend des j. Finik. — ὄρη

1. weidende Herden, 2. ... 3. ... hinüberbringen. 4. begegnen. 5. zugestehen. 6. auf der einen Seite – auf der andern, 7. überhoch.

δὲ ὁ ποταμὸς τοσοῦτος τὸ βάθος ὡς μηδὲ τὰ δόρατα ὑπερ-
έχειν πειρωμένοις τοῦ βάθους. ἀπορουμένοις δ' αὐτοῖς προσελ- 8
θών τις ἀνὴρ Ῥόδιος εἶπεν, Ἐγὼ θέλω, ὦ ἄνδρες, διαβιβάσαι
ὑμᾶς κατὰ τετρακισχιλίους ὁπλίτας, ἂν ἐμοὶ ὧν δέομαι ὑπη-
ρετήσητε καὶ τάλαντον μισθὸν πορίσητε. ἐρωτώμενος δὲ ὅτου 9
δέοιτο, Ἀσκῶν, ἔφη, δισχιλίων δεήσομαι· πολλὰ δ' ὁρῶ [ταῦτα]
πρόβατα καὶ αἶγας καὶ βοῦς καὶ ὄνους, ἃ ἀποδαρέντα καὶ
φυσηθέντα ῥᾳδίως ἂν παρέχοι τὴν διάβασιν. δεήσομαι δὲ καὶ 10
τῶν δεσμῶν οἷς χρῆσθε περὶ τὰ ὑποζύγια· τούτοις ζεύξας τοὺς
ἀσκοὺς πρὸς ἀλλήλους, ὁρμίσας ἕκαστον ἀσκὸν λίθους ἀρτήσας
καὶ ἀφεὶς ὥσπερ ἀγκύρας εἰς τὸ ὕδωρ, διαγαγὼν καὶ ἀμφο-
τέρωθεν δήσας, ἐπιβαλῶ ὕλην καὶ γῆν ἐπιφορήσω· ὅτι μὲν 11
οὖν οὐ καταδύσεσθε αὐτίκα μάλα εἴσεσθε· πᾶς γὰρ ἀσκὸς δύο
ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι· ὥστε δὲ μὴ ὀλισθάνειν ἡ ὕλη
καὶ ἡ γῆ σχήσει. ἀκούσασι ταῦτα τοῖς στρατηγοῖς τὸ μὲν ἐν- 12
θύμημα χαρίεν ἐδόκει εἶναι, τὸ δ' ἔργον ἀδύνατον· ἦσαν γὰρ
οἱ κωλύσοντες πέραν πολλοὶ ἱππεῖς, οἳ εὐθὺς τοῖς πρώτοις
οὐδὲν ἂν ἐπέτρεπον τούτων ποιεῖν. ἐνταῦθα τὴν μὲν [11. Novbr. 13

ὑπερύψηλα ist das IV, 1, 2 genannte Karduchengebirge, welches den nordwestlichen Ausläufer der heutigen Zagros- oder Schahukette bildet und da, wo es die Griechen zu übersteigen hatten, 2000—2500 Fuſs (580—725 m.) hoch ist. — τοσοῦτος τὸ βαθ. s. I, 2, 23 z. ὄνομα. Im D. übersetze den Acc. in Verbind. mit τοσοῦτος wie einen lat. Abl. qualit. — πειρωμέν. Dat. des Interesses übers. nach I, 1, 6 z. ἐπιβουλ. 1. — ὡς s. I, 1, 5 z. ὥστε.

§. 8. ἀπορουμένοις, hängt von προσελθών ab; übs. nach I, 1, 6 z. ἐπιβουλ. 1. — κατά, distributiv.

§. 9. ταῦτα, wir gebrauchen ein Adverbialpronom. des Orts. — καὶ — καί, Polysyndeton. — ἃ ἀποδαρ. καὶ φυσηθέντα, ἃ bezieht sich auf die Tiere, φυσηθέντα aber auf die Häute, denn bei ἀποδαρέντα liegt im Gedanken δέρματα. Der Rhodier war gewiſs durch die aus Fellen gemachten Flöſse (I, 5, 10; II, 4, 28) auf den Gedanken gekommen, eine Schlauchbrücke herzustellen.

§. 10. ζεύξας und ὁρμίσας, nach I, 1, 6 z. ἐπιβουλ. 2 mit ἐπιβαλῶ z. verbinden; ebenso διαγαγών u. δήσας. — ὁρμίζειν eigentlich von einem Schiffe, das mittelst groſser Steine vor Anker gelegt wird u. eine feste Lage erhält. — ἀρτήσας und ἀφείς geben die Weise des ὁρμίσας an.

ἀμφοτέρωθεν, weil nach griechischer Auffassung die Befestigung von den Ufern ausgeht. — ἐπιβαλῶ — ἐπιφορήσω, Chiasmus.

§. 11. ἕξει, hindern; schützen vor. — τοῦ μὴ καταδῦναι. Die Verba des Hinderns stehen entweder mit dem bloſsen Inf. od. mit dem substant. Inf. im Acc. od. Gen. mit oder ohne μή oder mit ὥστε; s. I, 6, 2. — ὥστε, Folgesatz zu σχήσει, also chiastische Stellung des Verbs. — ὀλισθάνειν, ohne Subj., weil es kurz vorher genannt ist. — σχήσει, Singul. bei zwei Subj.

§. 12. ἀκούσασι s. I, 3, 20 z. ἔδοξε. — ἔργον, Ausführung. — οἱ κωλύσοντες, s. II, 3, 5 z. ὁ τολμήσ. — οὐδέν, wir ziehen die

ὑστεραίαν ἐπανεχώρουν εἰς τοὔμπαλιν [πρὸς Βαβυλῶνα] εἰς τὰς ἀκαύστους κώμας, κατακαύσαντες ἔνθεν ἐξῇσαν· ὥστε οἱ πολέμιοι οὐ προσήλαυνον, ἀλλὰ ἐθεῶντο καὶ ὅμοιοι ἦσαν θαυμάζουσιν, ὅποι ποτὲ τρέψονται οἱ Ἕλληνες καὶ τί ἐν νῷ ἔχοιεν.
14 ἐνταῦθα οἱ μὲν ἄλλοι στρατιῶται ἐπὶ τὰ ἐπιτήδεια ἦσαν· οἱ δὲ στρατηγοὶ [καὶ οἱ λοχαγοὶ] πάλιν συνῆλθον, καὶ συναγαγόντες τοὺς ἑαλωκότας ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν τίς
15 ἑκάστη εἴη. οἱ δ' ἔλεγον, ὅτι τὰ μὲν πρὸς μεσημβρίαν τῆς ἐπὶ Βαβυλῶνα εἴη καὶ Μηδίαν, δι' ἧσπερ ἥκοιεν, ἡ δὲ πρὸς ἕω ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα φέροι, ἔνθα θερίζειν καὶ ἐαρίζειν λέγεται βασιλεύς, ἡ δὲ διαβάντι τὸν ποταμὸν πρὸς ἑσπέραν ἐπὶ Λυδίαν καὶ Ἰωνίαν φέροι, ἡ δὲ διὰ τῶν ὀρέων
16 καὶ πρὸς ἄρκτον τετραμμένη ὅτι εἰς Καρδούχους ἄγοι. τούτους δὲ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι, καὶ

Negation z. Verb., das 'etwas' zum Gen. partit. τούτων. — ἂν ἐπέτρεπον, ohne Bedingungssatz wie oft im D.

§. 13—16. Rückgängige Bewegung.

§. 13. πρὸς Βαβυλῶνα, allgemein für 'gegen Süden', denn auf den andern Seiten waren Berge. — ἔνθεν für ταύτας ἐξ ὧν, s. II, 4, 5 zu ὅθεν. — ὅμοιοι ἦσαν ist mit dem Dativ Participii konstruiert. — θαυμάζ. prägnant = verwundert erwarten, siehe auch I, 8, 16 z. d. W. — τρέψονται — ἔχοιεν, Wechsel des Modus. — Neuere Reisende vermuten, daſs die Griechen nicht auf dem Wege zurück marschierten, den sie gekommen, sondern gegen Osten, in das Thal eines Flüſschens hinein, welches vom karduchischen Gebirge herab dem Tigres zuströmt, jetzt Mar-Yuhannah genannt.

§. 14. τὴν χώραν, Anticipation wie I, 1, 5 z. βαρβαρ.

§. 15. τά sc. χωρία. τῆς sc. ὁδοῦ, Gen. part.: „Teile d. W., auf dem Wege." Wir sagen: 'Gegen Mittag führt der Weg', wie das Xen. im folgend. hat. — ἡ δὲ (sc. ὁδός) πρὸς ἕω, dieser Weg führt über die Ebene von Zakhu d. heutige Amadijah, Suleimanijah, und den Fuſs des Zagros-Gebirges. — Σοῦσα — ἐαρίζειν sind die äuſsern Glieder eines Chiasmus, indem ἐαρίζ. sich auf Σοῦσα bezieht. Die persischen Könige lebten 7 Wintermonate in Babylon, 3 Frühlingsmonate in Susa und 2 Sommermonate in Ekbatana. — διαβάντι, Partic. im Dativ, s. III, 1, 38 z. συνελόντι. — Zu beachten ist auch, daſs ὅτι bei den mittleren Gliedern nicht wiederholt ist, wohl aber bei dem letzten, weil sich an dieses die folgende Erzählung anschlieſst. — πρὸς ἑσπέραν, über den Tigres bei Dshezîreh vorbei u. durch Orfa, Aintab nach Tarsus.

Καρδούχους. Volk statt Land wie I, 1, 11. — Die heutigen Kurden gleichen ihren Vorfahren, sind ein rohes und unbändiges Volk, betrachten sich in dem Gebirge als freie Herren und verspotten die Autorität der türkischen Paschas ebenso wie die Befehle der persischen Serdare und der russischen Natschalniks. Jedoch heiſst es in neuester Zeit von ihnen (Ausland 1877, No. 28, S. 557 sq.): „Die Russen bezeichnen sie als feige. Die geringste aggressive Bewegung eines numerisch viel schwächeren Feindes jagt eine zehnfach überlegene Zahl Kurden in die Flucht."

1. zurückkehren 2. wohin 3. d. Gefangenen 4. erforschen, fragen 5. den Sommer zubringen 6. den Frühling zubringen 7. west-zu

βασιλέως οὐκ ἀκούειν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βα-
σιλικὴν στρατιὰν δώδεκα μυριάδας· τούτων δὲ οὐδένα ἀπονο-
στῆσαι διὰ τὴν δυσχωρίαν. ὁπότε μέντοι πρὸς τὸν σατράπην
τὸν ἐν τῷ πεδίῳ σπείσαιντο, καὶ ἐπιμιγνύναι σφῶν τε πρὸς
ἐκείνους καὶ ἐκείνων πρὸς ἑαυτούς. ἀκούσαντες ταῦτα οἱ στρα- 17
τηγοὶ ἐκάθισαν χωρὶς τοὺς ἑκασταχόσε φάσκοντας εἰδέναι, οὐ-
δὲν δῆλον ποιήσαντες, ὅποι πορεύεσθαι ἔμελλον. ἐδόκει δὲ
τοῖς στρατηγοῖς ἀναγκαῖον εἶναι διὰ τῶν ὀρέων εἰς Καρδού-
χους ἐμβάλλειν· τούτους γὰρ διελθόντας ἔφασαν εἰς Ἀρμενίαν
ἥξειν, ἧς Ὀρόντας ἦρχε πολλῆς καὶ εὐδαίμονος. ἐντεῦθεν δ'
εὔπορον ἔφασαν εἶναι, ὅποι τις ἐθέλοι πορεύεσθαι. ἐπὶ τού- 18
τοις ἐθύσαντο, ὅπως, ἡνίκα καὶ δοκοίη τῆς ὥρας, τὴν πορείαν
ποιοῖντο· τὴν γὰρ ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν μὴ προ-
καταληφθείη· καὶ παρήγγειλαν, ἐπειδὴ δειπνήσαιεν, συνε-
σκευασμένους πάντας ἀναπαύεσθαι, καὶ ἕπεσθαι, ἡνίκ' ἄν τις
παραγγέλλῃ.

§. 16. ἔφασαν, die Gefangenen. — ἐμβαλεῖν, subordiniere diesen Satz dem folgenden ἀπονοστῆσαι, s. I, 9, 14 z. ἦν αὐτῷ. — δώδεκα μυριάδ., erklärende Apposit. zu στρατιάν. — ὁπότε — σπείσ., Opt. iter. — καὶ ἐπιμιγν., hielten sie nicht nur den Frieden, sondern — auch. — σφῶν — ἑαυτούς umschreibt in chiastischer Stellung das D.: 'mit einander'. — σφῶν und ἐκείνων. Der partitive Gen. zur Bezeichnung des Subjekts. — σφῶν, weil die Erzähler Perser sind.

§. 17 u. 18. Die Griechen beschliefsen den Marsch durch das Gebirge.

§. 17. ἐκάθισαν, s. I, 1, 3 z. συλλαμβάνει. — τοὺς φάσκοντ., s. I, 9, 15 z. θελόντ. — ἑκασταχόσε d. h. den Weg nach jeder Seite; wörtl. nach den einzelnen Seiten hin (Bescheid) wissen. — οὐδὲν ποιήσαντες, s. I, 2, 22 z. οὐδεν. κωλύοντος. — τούτους wie §. 15 αὐτούς Volk statt Land. — τούτ. διελθ., nach dem Durchzuge durch deren Land. — ἔφασαν sc. d. Gefangenen. — πολλῆς καὶ εὐδαίμονος nach I, 1, 2 z. φίλον.

§. 18. ἐπὶ τούτοις = in Bezug darauf, ob der Marsch anzutreten sei. — τῆς ὥρας von ἡνίκα abhängig; der ganze Satz umschreibt unser 'zu jeder beliebigen Zeit'. — καὶ vor δοκοίη = „auch" verbinde mit τὴν πορ. ποιοῖντ. — Eigentlich opferte man kurz vor Antritt des Marsches. — τὴν ὑπερβολήν, Anticipation, s. I, 1, 5 z. βαρβάρ. und II, 4, 6 z. τὸν Εὐφράτ. — παρήγγειλαν — παραγγέλλῃ, die chiastische Stellung trennt scharf die zwei verschiedenen Befehle. Zur Sache s. Exk. §. 15. — τις, die Feldherrn und dann jeder einzelne Soldat, weil der Befehl von Mund zu Mund geht.

Taf.	Fig.	Inhalt der Figurentafeln.	Text.
I.	1—5	Verschiedene Helme.	Exkurs.
	6—8	Panzerteile	
	9—11	Die Beinschienen	
	12	Der grofse Ovalschild	
	13	Der runde Schild	
		Fig. 1—13 sind aus Köchlys Geschichte etc. entlehnt.	§. 7.
	14	Der runde Schild mit den Handhaben aus O. Müllers Denkmälern	
	15	Die äufsere Wölbung des runden Schildes aus Köchly	
	16	Schild und Streitaxt der Amazonen aus Millin, galerie mythologique pl. 161.	
II.	17	Der Spiefs oder die Lanze	
	18. 19	Das gerade Schwert.	
	20	Der Speer	
		Fig. 17—20 aus Köchlys Geschichte.	
	21	Ein den Speer werfender Ephebe aus Duc de Luynes, choix de Med. gr. Pl. III. 1	§. 8.
	22	Der Bogen	
	23	Der gespannte Bogen	
	24	Der Pfeil.	
	25. 26	Zwei Köcher	
		Fig. 22—26 aus Köchlys Geschichte.	
	27	Hopliten im Kampf aus Duc de Luynes, choix de vases grecs. Pl. 1	§. 16 u. 53.
	28	Hopliten im Angriff aus Micali, monumenti. Tav. 96, 1	
	29	Der Hahn bei den Übungen der Bogenschützen aus Museo Borbonico vol. 7 ten. 4	§. 16.
	30	Ein assyrischer Schleuderer aus Layards Überresten Ninives	
	31	Ein Schleuderer im Akt des Schleuderns aus Mionnet, Descr. Pl. 57, 3. 6 . . .	

Taf.	Fig.	Inhalt der Figurentafeln.	Text.
III.	32	Ein Hoplit im Linnenpanzer mit Panzerflügeln	Exkurs. §. 7.
	33	Der krumme Degen	Exkurs. §. 7.
	34	Ein Peltast in der von Chabrias eingeführten Angriffsweise	§. 9.
		Fig. 32—34 aus Guhl und Koner, Leben der Griechen.	
	35	Krieger, welche Steine aus der Mauer einer belagerten Stadt brechen. Aus Layard.	§. 55.
	36	Marsyas an der Fichte hangend. Statue der florentinischen Gallerie aus Müllers Denkmälern	Anab. I, 2, 8.
	37	Ein Striegel zum Abreiben.	I, 2, 10.
	38	Ein sich abschabender Athlet aus Guhl und Koner	I, 2, 10.
	39, 40, 41	Sichelwagen und Teile desselben aus J. Schefferus, de re vihiculari . . .	I, 8, 10.
	42	Kopf des Dareios Kodomannos mit der emporstehenden Tiara nach Müllers Denkmälern verkleinert	II, 5, 23.
	43	Kopf eines assyrischen Königs mit derselben Tiara aus Layard.	II, 5, 23.
	44	Eine Ringergruppe	IV, 8, 27.
	45	Athletenarme mit einfachem Riemengeflecht	IV, 8, 27.
	46	Athletenarme mit dem durch Ringe, Buckel etc. verstärkten Riemengeflecht. . .	IV, 8, 27.
	47	Fechterstatue des Dresdener Museums. .	IV, 8, 27.
	48	Ein Mädchen, welches rückwärts und vorwärts über die mit den Spitzen nach oben in den Boden gesteckten Schwerter Purzelbäume schlägt	VI, 1, 9.
		Fig. 45—48 aus Guhl und Koner.	


Fig. 1.
Fig. 2.
Fig. 3.
Fig. 4.
Fig. 5.
Fig. 6.
Fig. 7.
Fig. 8.
Fig. 9.
Fig. 10.
Fig. 11.
Fig. 12.
Fig. 13.
Fig. 14.
Fig. 15.
Fig. 16.

Fig. 17.

Fig. 18.

Fig. 19.

Fig. 22.

Fig. 20.

Fig. 21.

Fig. 26.



Fig. 24.

Fig. 25.



Fig. 23



Fig. 27.



Fig. 28.



Fig. 29.



Fig. 31.

Fig. 30.

Taf III.


Fig. 32.
Fig. 33.
Fig. 34.
Fig. 35.
Fig. 36.
Fig. 37.
Fig. 38.
Fig. 39.
Fig. 40.
Fig. 41.
Fig. 42.
Fig. 43
Fig. 44.
Fig. 45.
Fig. 46.
Fig. 47.
Fig. 48.

KARTE ZU XENOPHONS ANABASIS

Schulausgabe von F. Vollbrecht.

Entw. u. gez. Henry Lange.

Druck v. Eschebach & Schaefer, Leipzig.

H. Lange dir.

XENOPHONS ANABASIS.

FÜR DEN SCHULGEBRAUCH

ERKLÄRT

VON

FERDINAND VOLLBRECHT,

RECTOR ZU OTTERNDORF.

ZWEITES BÄNDCHEN.

BUCH IV—VII.

SECHSTE VERBESSERTE AUFLAGE.

LEIPZIG,

DRUCK UND VERLAG VON B. G. TEUBNER.

1880.

[4.]

Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει ἐγένετο μέχρι τῆς μάχης, καὶ I.
ὅσα μετὰ τὴν μάχην ἐν ταῖς σπονδαῖς ἃς βασιλεὺς καὶ οἱ σὺν
Κύρῳ ἀναβάντες Ἕλληνες ἐποιήσαντο, καὶ ὅσα παραβάντος τὰς
σπονδὰς βασιλέως καὶ Τισσαφέρνους ἐπολεμήθη πρὸς τοὺς
Ἕλληνας ἐπακολουθοῦντος τοῦ Περσικοῦ στρατεύματος, ἐν τῷ
πρόσθεν λόγῳ δεδήλωται. ἐπεὶ δὲ ἀφίκοντο ἔνθα ὁ μὲν Τίγρης 2
ποταμὸς παντάπασιν ἄπορος ἦν διὰ τὸ βάθος καὶ μέγεθος, πάρο-
δος δὲ οὐκ ἦν, ἀλλὰ τὰ Καρδούχεια ὄρη ἀπότομα ὑπὲρ αὐτοῦ
τοῦ ποταμοῦ ἐκρέματο, ἐδόκει δὴ τοῖς στρατηγοῖς διὰ τῶν ὀρέων

I. Zug durch das karduchische Gebirge.

§. 1—12. Die Griechen ersteigen ungehindert die ersten Höhen.

§. 1. *ἐποιήσαντο*, s. I, 1, 2 z. d. W. — *ὅσα* — *ἐπολεμήθη*, im D. setze das stammverwandte Hauptwort hinzu. *παραβάντος*, warum der Singular bei zwei Substantiven? Die Gen. absol. übersetze nach I, 1, 6 z. *ἐπιβουλ.*

§. 2. *ἔνθα*, s. I, 2, 1 z. *πλὴν ὁπόσοι* und III, 2, 34 z. *ὅπου*. — *ὑπὲρ αὐτοῦ*, s. III, 4, 41 z. d. W. Diese Beschreibung, sowie die aus §. 5 sich ergebende Entfernung passt auf die Gegend des heutigen Finik (das alte Phoenike), wo der Fluss zuerst den eigentlichen Fuss des karduchischen Gebirges erreicht. Das Gebirge fällt aber jetzt wenigstens nicht in senkrechten Felsstürzen herunter, sondern nach einer steilen, fast horizontal laufenden Kalksteinwand senkt es sich nur als steiler Schuttkegel abwärts, aber mit zahllosen herabgestürzten Steinen und Felsklippen, die sich dicht am Strome zu solchem Vorgebirge anhäufen, dass die Passage durchaus nur im Sommer bei seichtem Wasserstande möglich ist.

διὰ τῶν ὀρέων. Das Karduchengebirge, noch vor zwei Jahrzehnten für die Geographen eine terra incognita, ist in neueren Zeiten auf 2 Strassen durchzogen worden. Die eine führt längs des Tigresflusses über die in das Tigresthal herabhängenden Höhen und Felsen hinweg und wird von einigen für die Marschroute der Griechen gehalten. Da sie aber im Winter ungangbar ist und Xenophon im Folgenden des Tigres nicht erwähnt, so ist, wofür auch das *πυρὰ πολλὰ ἔκαιον κύκλῳ ἐπὶ τῶν ὀρέων* im §. 11 zu sprechen scheint, wahrscheinlich, dass die Griechen sich von Finik seitwärts wandten und vom Thale Mar-Yuhannah aus die vordere Kette des Dschebel-Dschudi (2000—2500 Fuss hoch) erstiegen und so die obere Gebirgsstrasse zu gewinnen suchten, wobei sie sich ihren Weg über eine Reihe schwer zu ersteigender Pässe erkämpfen mussten. Diese obere Strasse ist später vom Sultan Murad auf seinem Zuge gegen Bagdad und in neuerer Zeit

3 πορευτέον εἶναι. ἤκουον γὰρ τῶν ἁλισκομένων, ὅτι, εἰ διέλθοιεν τὰ Καρδούχεια ὄρη, ἐν τῇ Ἀρμενίᾳ τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ, ἣν μὲν βούλωνται, διαβήσονται, ἣν δὲ μὴ βούλωνται, περιίασι. καὶ τοῦ Εὐφράτου δὲ τὰς πηγὰς ἐλέγετο οὐ
4 πρόσω τοῦ Τίγρητος εἶναι, καὶ ἔστιν οὕτως ἔχον. τὴν δ' εἰς τοὺς Καρδούχους ἐμβολὴν ὧδε ποιοῦνται, ἅμα μὲν λαθεῖν πειρώμενοι, ἅμα δὲ φθάσαι πρὶν τοὺς πολεμίους καταλαβεῖν τὰ
5 ἄκρα. ἡνίκα δ' ἦν ἀμφὶ τὴν τελευταίαν φυλακὴν καὶ ἐλείπετο τῆς νυκτὸς ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, τηνικαῦτα ἀνα-
12. Novbr.] στάντες ἀπὸ παραγγέλσεως πορευόμενοι ἀφικνοῦνται ἅμα
6 τῇ ἡμέρᾳ πρὸς τὸ ὄρος. ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύματος λαβὼν τὸ ἀμφ' αὑτὸν καὶ τοὺς γυμνῆτας πάντας, Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο οὐδένα ἔχων γυμνῆτα· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι, μή τις ἄνω
7 πορευομένων ἐκ τοῦ ὄπισθεν ἐπίσποιτο. καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος πρίν τινας αἰσθέσθαι τῶν πολεμίων·

von den gegen Bender Khan gesendeten türkischen Truppen benutzt, und ist schon seit den ältesten Zeiten die gewöhnliche Karawanenstrasse zwischen Armenien und Assyrien. — Die erste Strasse ist auf unsrer Karte gelb, die zweite roth gefärbt.

§. 3. τῶν ἁλισκομ. sind die III, 5, 14 erwähnten. Wegen des Gen. s. I, 2, 5 z. Τισσαφ. Im Folgenden beachte den Wechsel der Modi. περιίασι, warum nach διαβήσονται erlaubt? ἐλέγετο, s. I, 2, 12 z. d. W. — οὐ πρόσω τοῦ, s. II, 3, 15 z. ἤλεκτρον. Zur Sache bemerken wir, dass nach der Beobachtung unsers grossen Strategen, des General-Feldmarschalls v. Moltke, der diese Gegenden bereist hat, die Entfernung der Quellen des Tigres von den Ufern des Euphrates kaum mehr als 1000 oder 1500 Schritt beträgt. — καὶ ἔστιν οὕτως ἔχον, wie sich später zeigte. Der Ausdruck ist nachdrücklicher als III, 1, 31 z. d. W. S. auch II, 2, 13 z. ἦν δυναμένη.

§. 4. τὴν ἐμβολὴν ποιοῦνται, s. I, 1, 6 z. ποιεῖσθαι. — πειρώμενοι, Epexegese. Im D. nach I, 1, 6 z. ἐπιβουλ. 3 mit „indem". — πρὶν c. Inf. s. I, 4, 15 z. d. W.

§. 5. ἡνίκα δ' ἦν — ἀπὸ παραγ. s. III, 5, 18 ἡνίκ' ἄν τις παραγγέλλῃ, — τὴν τελευτ. φυλακήν, s. Exc. §. 48. — ὅσον διελθεῖν, im D. setze das Demonstrativ zum Hauptsatze und lass einen abgekürzten Folgesatz folgen. Wegen des Infin. s. II, 3, 13 zu οἷα. — σκοταίους, s. I, 2, 25 zu προτέρα. — τὸ πεδίον s. III, 5, 1. — ἀναστάντες — πορευόμενοι, griechische Anschaulichkeit; übersetze nach I, 1, 6 zu ἐπιβουλ. 2 u. II, 1, 8 z. παραδόντας. — ἀπὸ παραγγέλσ. s. Exc. §. 15.

§. 6. λαβών und ἔχων, s. I, 1, 2, z. λαβών u. I, 2, 22 z. οὐδεν. κωλ. — ὀπισθοφ. übers. im D. durch ein substantivisches Attribut. — πάντας — οὐδένα, Chiasmus zur Hervorhebung des Missverhältnisses. Zur Sache s. Exc. §. 27 und 28, 3. — μή, weil in κίνδυνος der Begriff der Furcht liegt. Vergl. I, 3, 17 u. II, 5, 29 z. d. W. — ἄνω πορευομέν., s. I, 2, 17 z. προϊόντων und übersetze nach I, 1, 6 z. ἐπιβουλ. 1.

§. 7. τὸ ἄκρον: Passhöhe. ὑφηγεῖτο, in ὑπό liegt das Langsame,

ἔπειτα δ' ὑφηγεῖτο· ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρα-
τεύματος εἰς τὰς κώμας τὰς ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν
ὀρέων. ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι ἐκλιπόντες τὰς οἰκίας ἔχοντες 8
καὶ γυναῖκας καὶ παῖδας ἔφευγον ἐπὶ τὰ ὄρη. τὰ δὲ ἐπιτήδεια
πολλὰ ἦν λαμβάνειν, ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατ-
εσκευασμέναι αἱ οἰκίαι, ὧν οὐδὲν ἔφερον οἱ Ἕλληνες, οὐδὲ τοὺς
ἀνθρώπους ἐδίωκον, ὑποφειδόμενοι, εἴ πως ἐθελήσειαν οἱ Καρ-
δοῦχοι διιέναι αὐτοὺς ὡς διὰ φιλίας τῆς χώρας, ἐπείπερ βασιλεῖ
πολέμιοι ἦσαν· τὰ μέντοι ἐπιτήδεια, ὅτῳ τις ἐπιτυγχάνοι, 9
ἐλάμβανον· ἀνάγκη γὰρ ἦν. οἱ δὲ Καρδοῦχοι οὔτε καλούν-
των ὑπήκουον οὔτε ἄλλο φιλικὸν οὐδὲν ἐποίουν. ἐπεὶ δὲ οἱ 10
τελευταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ τοῦ
ἄκρου ἤδη σκοταῖοι, διὰ γὰρ τὸ στενὴν εἶναι τὴν ὁδὸν ὅλην
τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ κατάβασις εἰς τὰς
κώμας, τότε δὴ συλλεγέντες τινὲς τῶν Καρδούχων τοῖς τελευ-
ταίοις ἐπετίθεντο, καὶ ἀπέκτεινάν τινας καὶ λίθοις καὶ τοξεύμασι

modice praeire, s. unten §. 10. — *ἀεί* = *ἑκάστοτε* gehört auch zu *τὸ ὑπερβάλλον*, zu welchem Partic. im D. das darin liegende Substantiv „Theil" (s. I, 4, 13 z. *τὸ μὲν πολύ*), sowie das aus dem Zusammenhange sich ergebende Object hinzuzusetzen ist. — *τὰς ἐν τοῖς ἄγκεσι*, s. I, 1, 5 z. *παρὰ βασιλ.* — Noch jetzt findet man in den Thälern und Schluchten um Fündük Dörfer; es glauben deshalb einige Reisende, dass die Griechen die erste Nacht in der Nähe dieses grossen Kurdendorfes zugebracht haben.

§. 8. *ἐκλιπόντες* übersetze nach I, 1, 6 z. *ἐπιβουλ.* 2. — *ἔχοντες* nach I, 1, 2 z. *λαβών* und II, 1, 8 z. *παραδόντ.* — *γυναῖκ. καὶ παῖδας* s. III, 4, 46 z. d. W. — *καὶ — καί*, s. II, 6, 7 z. *καὶ ἡμέρ. καὶ νυκτ.* — *κατεσκευασμ.* s. I, 9, 19 z. d. W. — *ὧν*, Gen. part. z. *οὐδέν*. — *οὐδὲ — ἐδίωκον*, selbständiger Satz, s. I, 1, 2 zu *καὶ στρατηγόν*. — *οὐδὲ* = auch nicht.

εἰ, weil im Hauptsatze der Begriff des Versuchens, des Bestrebens etwas zu erfahren oder zu erreichen enthalten ist. Der Nebensatz wird gleichsam zu einem indirecten Fragesatze. Vergl. I, 10, 17 und II, 5, 2 z. d. W. Caes. b. G. I, 8: Helvetii, si perrumpere possent, conati; und VII, 20: Circumfunduntur ex reliquis hostes partibus, si quem aditum reperire possent.

ὡς διὰ φιλ., s. I, 3, 14 z. d. W. — *ἐπείπερ — ἦσαν*, Sinn: und demnach wahrscheinlich mit allen Feinden des Königs in Freundschaft lebten. — Im D. mache diesen Satz zu einem Zwischensatze.

§. 9. *ὅτῳ* in Beziehung auf *ἐπιτήδεια*, s. I, 1, 5 zu *ὅστις*. — *καλούντων*, sc. Griechen; übersetze nach I, 1, 6 z. *ἐπιβουλ.* 1. — S. auch I, 2, 17 z. *προϊόντων*. — *ὑπήκουον*, in *ὑπό* liegt das aufmerksame Hinhorchen nach jemand oder auf etwas. — *οὔτε — οὐδέν*, s. I, 2, 26 zu *οὐδενί*.

§. 10. *σκοταῖοι*, s. I, 2, 25 zu *προτέρα*. — *διὰ — τὴν ὁδόν*, s. I, 5, 9 z. *τῷ διεσπάσθ.* — *αὐτοῖς*, im D. das Possessiv. — *ἐγένετο*, frei: 'dauerte'. — *τότε* mit Partic. urgiert die Zeitfolge der im entscheidenden Momente (*δή*) eintretenden Handlung. — *συλλεγ.* nach I,

1. der Teil [illegible] 2. das Tal. 3 die Schlucht. 4 [illegible] 5. [illegible] 6 hören auf j.

κατέτρωσαν, ὀλίγοι ὄντες· ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς ἐπέπεσε
11 τὸ Ἑλληνικόν. εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευσεν ἂν διαφθαρῆναι πολὺ τοῦ στρατεύματος. καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις ηὐλίσθησαν· οἱ δὲ Καρδοῦχοι πυρὰ πολλὰ ἔκαιον κύκλῳ ἐπὶ τῶν ὀρέων καὶ συνεώρων ἀλλή-
12 λους. ἅμα δὲ τῇ ἡμέρᾳ συνελθοῦσι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων ἔδοξε τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα καὶ δυνατώτατα ἔχοντας πορεύεσθαι, καταλιπόντας τἆλλα, καὶ ὅσα ἦν νεωστὶ αἰχμάλωτα ἀνδράποδα ἐν τῇ στρατιᾷ πάντα ἀφεῖναι.
13 σχολαίαν γὰρ ἐποίουν τὴν πορείαν πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα, πολλοὶ δὲ οἱ ἐπὶ τούτοις ὄντες ἀπόμαχοι ἦσαν, διπλάσιά τε τὰ ἐπιτήδεια ἔδει πορίζεσθαι καὶ φέρεσθαι πολλῶν τῶν ἀνθρώπων ὄντων. δόξαν δὲ ταῦτα ἐκήρυξαν οὕτω ποιεῖν.
14 Ἐπεὶ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστήσαντες ἐν τῷ στενῷ οἱ στρατηγοί, εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον, ἀφῃροῦντο, οἱ δ᾽ ἐπείθοντο, πλὴν εἴ τίς τι ἔκλεψεν, οἷον ἢ παι-

1, 6 zu ἐπιβουλ. 2. — ἐπετίθ. Impf. inch. — ὀλίγ. — ὄντες, nach I, 1, 6 zu ἐπιβουλ. 3 concessiv. — ἐξ ἀπροσδοκ., Umschreibung des Adv. — αὐτοῖς kann nach I, 1, 11 zu εἰς Πισίδ. übersetzt werden. — Zur Sache bemerken wir, dass auch im heutigen Kurdistan die einzelnen Gemeinden keine Verbindung mit einander haben, dass alle Angriffe der Kurden auf Ueberfall berechnet sind und dass sie vorzugsweise des Nachts fechten. — Sie würden unbezwinglich sein, so lautet das Urtheil eines kriegskundigen Europäers, wenn sie vereint zusammenhielten.

§. 11. εἰ — ἐκινδύν. ἄν s. II, 1, 4 zu εἰ — ἤλθετε. — πολύ, s. I, 4, 13 zu τὸ μὲν — πολύ. — πυρὰ πολλά, Feuersignale, um die Nachbarn von der Gefahr zu unterrichten. Dieser Gebrauch ist noch jetzt vielfach im Oriente und in Europa bei den Schweizern und Bergschotten.

§. 12—14. Verminderung des Trosses, aber Mehrung der Beschwerden am zweiten Tage.

§. 12. συνελθοῦσι nach I, 1, 6 zu ἐπιβουλ. 2 oder 3. — τῶν τε — καὶ ὅσα sind die einander entsprechenden Glieder. — ἔχοντας nach I, 1, 2 zu λαβών und II, 1, 8 z. παραδ. — καταλιπόντας nach I, 1, 6 zu ἐπιβουλ. 3. dem πορεύεσθαι z. coordinieren. Beachte aber den Accus. nach vorhergehendem Dativ. — καὶ ὅσα κ.τ.λ., s. I, 1, 6 z. ὁπόσας.

§. 13. σχολαίαν ἐποίουν im D. ein Zeitwort. — πολλὰ ὄντα nach I, 1, 6 zu ἐπιβουλ. 1. — πολλοὶ δὲ οἱ ἐπὶ τ. κ. τ. λ., s. Exc. §. 41 und §. 42. — διπλάσια übersetze als Adverb. zu πορίζεσθαι. — δόξαν ταῦτα nach δοκεῖ ταῦτα; wegen des Acc. abs. s. II, 5, 22 zu ἐξόν. — ἐκήρυξαν, s. I, 1, 3 zu συλλαμβάνει.

§. 14. ἀριστήσαντες nach I, 1, 6 zu ἐπιβουλ. 1. — ὑποστήσαντες nach I, 1, 6 z. ἐπιβουλ. 2. — εἰ c. Opt. s. I, 5, 2 z. ἐπεί τις διώκοι. — εὑρίσκ. — ἀφειμένον. Auch beim deutschen Verb. findet sich das Partic. — In freier Uebersetzung kann der Conditionalsatz durch einen Relativsatz wiedergegeben werden. — τῶν εἰρημένων für τούτων ἃ εἴρητο sc. ἀφιέναι. — ἔκλεψεν, durchschmuggeln. — Dass es dennoch geschehen, erhellt aus

1. unerwartet. 2. Subj. πολύ. 3. [illegible] 4. bemerken. 5. jüngst. 6. [illegible] 7. [illegible] 8. Beute. 9. [illegible] 10. [illegible] 11. sich aufstellen. 12. zurückgelassen. 13. wegnehmen. 14. z. B.

δὸς ἐπιθυμήσας ἢ γυναικὸς τῶν εὐπρεπῶν. καὶ ταύτην μὲν
τὴν ἡμέραν οὕτως ἐπορεύθησαν, τὰ μέν τι μαχόμενοι τὰ δὲ καὶ
ἀναπαυόμενοι. εἰς δὲ τὴν ὑστεραίαν γίγνεται χειμὼν πολύς, 15
ἀναγκαῖον δ' ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τἀπιτήδεια.
καὶ ἡγεῖτο μὲν Χειρίσοφος, ὠπισθοφυλάκει δὲ Ξενοφῶν. καὶ 16
οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο, καὶ στενῶν ὄντων τῶν χωρίων
ἐγγὺς προσιόντες ἐτόξευον καὶ ἐσφενδόνων· ὥστε ἠναγκάζοντο
οἱ Ἕλληνες ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες σχολῇ πορεύ-
εσθαι· καὶ θαμινὰ παρήγγελλεν ὁ Ξενοφῶν ὑπομένειν, ὅτε οἱ
πολέμιοι ἰσχυρῶς ἐπικέοιντο. ἐνταῦθα ὁ Χειρίσοφος ἄλλοτε μὲν 17
ὅτε παρεγγυῷτο ὑπέμενε, τότε δὲ οὐχ ὑπέμενεν, ἀλλ' ἦγε τα-
χέως καὶ παρηγγύα ἕπεσθαι, ὥστε δῆλον ἦν, ὅτι πρᾶγμά τι εἴη·
σχολὴ δ' οὐκ ἦν ἰδεῖν παρελθόντι τὸ αἴτιον τῆς σπουδῆς· ὥστε
ἡ πορεία ὁμοία φυγῇ ἐγίγνετο τοῖς ὀπισθοφύλαξι. καὶ ἐνταῦθα 18
ἀποθνήσκει ἀνὴρ ἀγαθὸς Λακωνικὸς Κλεώνυμος τοξευθεὶς διὰ
τῆς ἀσπίδος καὶ τῆς σπολάδος εἰς τὰς πλευράς, καὶ Βασίας
Ἀρκὰς διαμπερὲς τὴν κεφαλήν. ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ σταθ- 19

IV, 3, 19 u. 30. — *ἐπιθυμήσας* nach I, 1, 6 z. *ἐπιβουλ.* 1. — *τῶν εὐπρεπῶν*, Gen. part. zu dem Hauptw., im D. kann statt dessen das attributive Adjectiv stehen. — Die einfache Folge des Satzes wäre: *εἴ τίς τι ἔκλεψεν, οἷον ἢ παῖδα ἢ γυναῖκα τῶν εὐπρεπῶν, ἐπιθυμήσας αὐτῶν.* — *τὰ μὲν — τὰ δέ*, theils — theils, ist eine zur Partikel gewordene Verbindung, weshalb der Plur. nicht mehr beachtet wird. — *ἀναπαυόμ.* Das fehlende Obj. im Gen. des Inf. ist aus *μαχόμενοι* zu ergänzen.

§. 15—22. Unwetter und Bedrängniss des dritten Tages.

§. 15. *εἰς*, s. I, 7, 1 und III, 4, 13 zu d. W. — *γίγνεται*, frei: eintreten.

§. 16. Beachte den Chiasmus in der Wortfolge des Nebensatzes zu der des Hauptsatzes. — *στενῶν ὄντων* nach I, 1, 6 z. *ἐπιβουλ.* 3 causal. — *προσιόντες*, s. daselbst 2. — Desgleichen *ἐπιδιώκ.* und *ἀναχάζοντες*, wobei dann vor *σχολῇ* im D. ein im Particip., das eine begleitende Handlung ausdrückt, liegendes 'auf diese Weise' einzuschalten ist. — *ὅτε — ἐπικέοιντο*, Nachstellung, wie I, 3, 1 zu *ἐπεὶ ἤρξατο*. Opt. s. I, 5, 2 z. *ἐπεί τις διώκοι.* — Im folgenden §. haben wir Zwischenstellung eines ähnlichen Nebensatzes. — *παρήγγελ.* und *παρεγγυῷτο*, s. Exc. §. 15.

§. 17. *ἦγε* intrans. *ἄλλοτε*, d. h. in früheren Fällen; *τότε* in dem jetzt zu erzählenden Falle. — Im D. kann statt der griechischen Beiordnung mit 'während' Unterordnung stattfinden. — *πρᾶγμα*, Hinderniss, Schwierigkeit. *παρελθόντι*, sc. *Ξενοφῶντι.* — S. auch I, 3, 2 z. *ἑστώς.* In den Pässen und Schluchten war wegen Mangel an Raum das *παρέρχεσθαι* nicht möglich und wenn man es versuchte, sah man doch nichts. Beim Uebers. nimm *παρελθ.* nach I, 1, 6 z. *ἐπιβουλ.* 2 vorauf und lass *ἰδεῖν* folgen. — *τοῖς ὀπισθοφ.*, im D. entweder durch den Gen. attrib. zu *πορεία* oder mit 'für'.

§. 18. *τοξευθεὶς* gehört auch z. *τὴν κεφαλήν*, s. I, 3, 10 z. *ἀδικεῖν.*

μόν, εὐθὺς ὥσπερ εἶχεν ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον ᾐτιᾶτο αὐτόν, ὅτι οὐχ ὑπέμεινεν, ἀλλ' ἠναγκάζοντο φεύγοντες ἅμα μάχεσθαι. καὶ νῦν δύο καλώ τε κἀγαθὼ ἄνδρε τέθνατον,
20 καὶ οὔτε ἀνελέσθαι οὔτε θάψαι ἐδυνάμεθα. ἀποκρίνεται ὁ Χειρίσοφος, Βλέψον, ἔφη, πρὸς τὰ ὄρη καὶ ἰδὲ ὡς ἄβατα πάντα ἐστί· μία δ' αὕτη ὁδὸς ἣν ὁρᾷς ὀρθία, καὶ ἐπὶ ταύτῃ ἀνθρώπων ὁρᾶν ἔξεστί σοι ὄχλον τοσοῦτον, οἳ κατειληφότες φυλάττουσι
21 τὴν ἔκβασιν. ταῦτ' ἐγὼ ἔσπευδον καὶ διὰ τοῦτό σε οὐχ ὑπέμενον, εἴ πως δυναίμην φθάσαι πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν· οἱ δ' ἡγεμόνες οὓς ἔχομεν οὔ φασιν εἶναι ἄλλην ὁδόν.
22 ὁ δὲ Ξενοφῶν λέγει, Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας. ἐπεὶ γὰρ ἡμῖν πράγματα παρεῖχον, ἐνηδρεύσαμεν, ὅπερ καὶ ἡμᾶς ἀναπνεῦσαι ἐποίησε, καὶ ἀπεκτείναμέν τινας αὐτῶν, καὶ ζῶντας προυθυμήθημεν λαβεῖν αὐτοῦ τούτου ἕνεκα ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώραν χρησαίμεθα.
23 Καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους ἤλεγχον διαλαβόντες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν φανεράν. ὁ μὲν οὖν ἕτε-

§. 19. ὥσπερ εἶχεν, das 'unverzüglich' liegt in εὐθύς, ὥσπερ εἶχεν verstärkt und bezieht sich auf den Zustand, in welchem sich Xen. vom Marsche her befindet. Ovid. Metam. V. 601: sicut eram, fugio sine vestibus. Goethe: Du stiegst herunter wie du bist. — S. Classen z. Thuk. I, 134, 14. — ἠναγκάζοντο, Wechsel des Subjects. — Im D. kann dasselbe Subj. bleiben, dann muss aber ἠναγκάζ. activisch übersetzt werden. — φεύγοντ. — μάχεσθαι, im D. durch ein Hauptwort mit der entsprechenden Präposition der Gleichzeitigkeit. S. auch II, 4, 5 z. ἅμα. — καὶ νῦν κ. τ. λ. Uebergang in die orat. directa malt die Aufregung X.'s. — οὔτε ἀνελέσθαι οὔτε θάψαι, Exc. §. 54. — Die Unterlassung dieser Pflicht wurde nach dem Glauben der Griechen von den Göttern geahndet. — Beispiel aus der Odyssee λ, 71 sqq.

§. 20. ἀποκρίνεται. S. II, 1, 22 z. d. W. u. I, 3, 10 z. ἔδοξε. — βλέψον, Aor. s. III, 2, 28 z. λεξάτω. — μία δ' αὕτη — ὀρθία, αὕτη ist Subj. ὀρθία ist Appos. Wörtlich: dies ist der einzige Weg, den du siehst, ein steiler. — τοσοῦτον, von einer Handbewegung begleitet. — οἳ richtet sich nach ἀνθρώπων. — κατειληφότες φυλάττ., frei: besetzt halten. — ἔκβασιν, weil der Pass (nachher ὑπερβολή genannt) die Griechen (wie sie hofften) aus den Thälern und Engpässen herausführte.

§. 21. ταῦτ', der Grieche gebraucht auch den einfachen Accusativ adverbiell. Der Gebrauch erklärt sich aus Acc. verb., s. I, 2, 10 z. τὰ Λύκ., I, 3, 3 z. τά τε ἄλλα. — εἴ πως, s. oben §. 8. — πρίν c. Inf. s. I, 4, 15 z. d. W. — οὓς ἔχομεν, s. I, 2, 1 z. ὃ εἶχε. — οὔ φασιν, s. I, 3, 1 z. d. W.

§. 22—28. Die Aussagen der Wegweiser und die freiwilligen Griechen.

§. 22. παρεῖχον, die Karduchen. — ἀναπνεῦσαι ἐποίησε, frei: Erholung verschaffte. — τινὰς αὐτῶν gehört auch zu λαβεῖν. — αὐτοῦ, s. III, 4, 41 z. d. W. — εἰδόσι τὴν χώραν, durch ein zusammengesetztes Adjectiv. — χρησαίμ. sc. αὐτοῖς.

§. 23. διαλαβόντες, durch ein

1. wie er gerade war. 2. aufhalten. 3. [illegible] 4. [illegible] 5. Paß.
[illegible] τινὰς αὐτῶν 6. forschen. 7. trennen.

ρος οὐκ ἔφη μάλα πολλῶν φόβων προσαγομένων. ἐπεὶ δὲ οὐδὲν
ὠφέλιμον ἔλεγεν, ὁρῶντος τοῦ ἑτέρου κατεσφάγη. ὁ δὲ λοιπὸς 24
ἔλεξεν, ὅτι οὗτος μὲν οὐ φαίη διὰ ταῦτα εἰδέναι, ὅτι αὐτῷ ἐτύγ-
χανε θυγάτηρ ἐκεῖ παρ' ἀνδρὶ ἐκδεδομένη· αὐτὸς δ' ἔφη ἡγή-
σεσθαι δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν. ἐρωτώμενος 25
δ' εἰ εἴη τι ἐν αὐτῇ δυσπάριτον χωρίον, ἔφη εἶναι ἄκρον, ὃ εἰ
μή τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελθεῖν. ἐνταῦθα 26
δ' ἐδόκει συγκαλέσαντας λοχαγοὺς καὶ πελταστὰς καὶ τῶν ὁπλι-
τῶν λέγειν τε τὰ παρόντα καὶ ἐρωτᾶν εἴ τις αὐτῶν ἔστιν ὅστις
ἀνὴρ ἀγαθὸς ἐθέλοι ἂν γενέσθαι καὶ ὑποστὰς ἐθελοντὴς πορεύ-
εσθαι. ὑφίσταται τῶν μὲν ὁπλιτῶν Ἀριστώνυμος Μεθυδριεὺς 27
Ἀρκὰς καὶ Ἀγασίας Στυμφάλιος Ἀρκάς, ἀντιστασιάζων δὲ αὐ-
τοῖς Καλλίμαχος Παρράσιος Ἀρκὰς καὶ οὗτος ἔφη ἐθέλειν πο-
ρεύεσθαι προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος·
ἐγὼ γάρ, ἔφη, οἶδα ὅτι ἕψονται πολλοὶ τῶν νέων ἐμοῦ ἡγουμέ-
νου. ἐκ τούτου ἐρωτῶσιν εἴ τις καὶ τῶν γυμνήτων ταξιάρχων 28
ἐθέλοι συμπορεύεσθαι. ὑφίσταται Ἀριστέας Χῖος, ὃς πολλαχοῦ
πολλοῦ ἄξιος τῇ στρατιᾷ εἰς τὰ τοιαῦτα ἐγένετο.

Adverb. — οὐκ ἔφη, warum kann εἰδέναι fehlen? — φόβοι, Schreckmittel. Vergl. II, 5, 1 z. ὑποψίαι. — προσαγομένων nach I, 1, 6 zu ἐπιβουλ. 3 concessiv. — ὁρῶντος, im D. gebrauche das Hauptw. 'Auge'.

§. 24. οὐ φαίη, s. §. 21. — αὐτῷ, im D. durch das Possessiv. — ἐτύγχανε, Wechsel des Modus in zwei Sätzen der orat. obl., die aber nicht coordiniert sind. — Wegen des Partic. s. I, 1, 2 z. d. W. — ἐκδεδομ., auch im D. 'eine Tochter ausgeben'. — αὐτὸς z. Verstärkung des Gegensatzes. S. I, 3, 8 z. d. W. — δυνατήν, frei: bequem. Welches Wort bleibt dann unübersetzt? — καὶ ὑποζ., nicht allein für die Menschen.

§. 25. εἶναι ἄκρον, im D. d. orat. obl. — τὶς = man. Wer ist gemeint? ὅ gehört zu προκαταλ. — ἀδύνατ. ἔσεσθαι παρ., werde es schwer sein vorbeizukommen.

§. 16. Xenoph. hat durch seinen artigen Scherz die zwischen ihm und Cheirisophos herrschende Verstimmung (§. 3) beilegen wollen; aber Cheirisophos geht in seiner Antwort etwas derb, fast ungebührlich grob auf den Scherz ein und spielt auf die Bereitwilligkeit vieler Staatsbeamten in Athen an, sich bestechen zu lassen oder die öffentlichen Kassen zu bestehlen und sich zu bereichern. Ueber diese masslose Habsucht der Staatsmänner finden sich bei allen Rednern Angaben und herbe Klagen. In die Mittheilung hüllt Xen., der die Anabasis in der Verbannung abfasste, einen Tadel der ihm feindlichen Partei.*) — *κἀγὼ ὑμᾶς* beliebte Nebeneinanderstellung persönlicher Fürwörter zur Hervorhebung. — *κλέπτειν τὰ δημόσια*, durch Unterschleif. Eine solche Unterschlagung öffentlichen Guts konnte durch Ersatz und Zahlung des Doppelten gebüsst werden. Deshalb wurde das Vermögen des Betrügers vom Staate eingezogen, und kam aus demselben die Schuldsumme nicht heraus, so blieben der Schuldner und auch seine Kinder ehrlos, bis die Schuld getilgt oder erlassen war. In einzelnen Fällen kostete der Diebstahl von Staatsgütern auch wohl das Leben.

εἴπερ ὑμῖν οἱ κράτιστοι, ein bittrer Sarkasmus, weil in Athen nicht die *κράτιστοι* im edlen Sinne des Worts, sondern die Demagogen als *κράτιστοι* am Staatsruder sassen und auf ihren Vortheil bedacht waren. — *ὑμῖν*, s. I, 8, 12 z. *ἡμῖν*.

§. 17. *ἐπειδὰν δειπνήσ.*, s. I, 3, 4 z. *ἐπειδὴ — ἐκάλει.* oder III,

*) Andrer Ansicht ist Schimmelpfeng in Zeitschr. f. Gymn. 1863, 1 p. 153 sqq.

ὄρος. ἔχω δὲ καὶ ἡγεμόνας· οἱ γὰρ γυμνῆτες τῶν ἑπομένων ἡμῖν κλωπῶν ἔλαβόν τινας ἐνεδρεύσαντες· τούτων καὶ πυνθάνομαι, ὅτι οὐκ ἄβατόν ἐστι τὸ ὄρος, ἀλλὰ νέμεται αἰξὶ καὶ βουσίν· ὥστε, ἐάνπερ ἅπαξ λάβωμέν τι τοῦ ὄρους, βατὰ καὶ
τοῖς ὑποζυγίοις ἔσται. ἐλπίζω δὲ οὐδὲ τοὺς πολεμίους μενεῖν 18
ἔτι, ἐπειδὰν ἴδωσιν ἡμᾶς ἐν τῷ ὁμοίῳ ἐπὶ τῶν ἄκρων· οὐδὲ
γὰρ νῦν ἐθέλουσι καταβαίνειν ἡμῖν εἰς τὸ ἴσον. ὁ δὲ Χειρί- 19
σοφος εἶπε, Καὶ τί δεῖ σὲ ἰέναι καὶ λιπεῖν τὴν ὀπισθοφυλακίαν; ἀλλὰ ἄλλους πέμψον, ἂν μή τινες ἐθελούσιοι φαίνωνται.
ἐκ τούτου Ἀριστώνυμος Μεθυδριεὺς ἔρχεται ὁπλίτας ἔχων καὶ 20
Ἀριστέας Χῖος γυμνῆτας καὶ Νικόμαχος Οἰταῖος γυμνῆτας· καὶ σύνθημα ἐποιήσαντο, ὁπότε ἔχοιεν τὰ ἄκρα, πυρὰ καίειν
πολλά. ταῦτα συνθέμενοι ἠρίστων· ἐκ δὲ τοῦ ἀρίστου προή- 21
γαγεν ὁ Χειρίσοφος τὸ στράτευμα πᾶν ὡς δέκα σταδίους πρὸς τοὺς πολεμίους, ὅπως ὡς μάλιστα δοκοίη ταύτῃ προσάξειν.

Ἐπειδὴ δὲ ἐδείπνησαν καὶ νὺξ ἐγένετο, οἱ μὲν ταχθέντες 22
ᾤχοντο, καὶ καταλαμβάνουσι τὸ ὄρος, οἱ δὲ ἄλλοι αὐτοῦ ἀνε-

1, 39 z. καταστησ. — ἔχω δὲ καὶ ἡγεμ. soll das Anerbieten des Xenoph. als gefahrlos begründen. — κλωπῶν, s. IV, 5, 12 z. συνειλεγμ. — κλῶπες nennt Xen. mit Anspielung auf das so vielfach gebrauchte κλέπτειν die gefangenen Feinde, weil sie auch in dieser Gegend wie die in IV, 2, 15 erwähnten die letzten Leute der Nachhut bestahlen. — τούτων s. I, 2, 5 z. Τισσαφ. — καὶ πυνθάνομ. = ausser andern Dingen. Praes., weil die Aussagen bis in die Gegenwart reichen; im D. bei Hören derselbe Gebrauch. — ἄβατον, diese Aussage der Gefangenen musste er als entscheidend anführen, weil er weder aus der Ferne noch selbst unmittelbar am Fusse des Gebirges nach dem Augenschein beurtheilen konnte, ob dasselbe höher hinauf nicht so steil wurde, dass es nicht zu ersteigen war. — αἰξί, Dat. instrum. — λάβωμεν. im D. steht in solchen Fällen das Perf. im Sinne des Fut. exact. — βατά, das Neut. localer Begriffe steht substantivisch = wegsame Strecken. Ebenso der Singular im folgenden §.

§. 19. καὶ τί δεῖ. Zur Milderung kleidet Cheirisophos seine entgegengesetzte Meinung in eine Frage. — ἀλλά, wegen der in der Frage liegenden Negation = „vielmehr“.

§. 20—27. Freiwillige melden sich, besteigen die Höhe und vertreiben am folgenden Morgen den Feind.

§. 20. ἔρχεται, welches Adj. ist aus dem Vorhergehenden hinzuzudenken? — Ἀριστώνυμ. Μεθυδρ., s. IV, 1, 27. — Οἰταῖος, aus Thessalien am Oeta. — σύνθημ. ἐποιήσ., s. I, 1, 6 zu ποιεῖσθαι. — Med. steht reciprok. — ὁπότε, s. I, 3, 4 zu ἐπειδή. — ἠρίστων Impf. vom Beginn der Handlung. — πυρὰ καίειν, um den Griechen in dem Thale ihre Ankunft auf der Höhe anzuzeigen.

§. 21. ταῦτα, Asyndeton der Eile. — ἐκ drückt hier die unmittelbare Folge aus. — προσάξ. intr. — δοκοίη im D. impersonell.

§. 22. οἱ ταχθέντ. wie nach ἐθελούσιοι zu erklären? — ᾤχοντο καὶ καταλαμβ. — ἀνεπαύοντο, Wechsel der tempora. — τὸ ὄρος, das Grenzgebirge am Lande der

1. Diebe = κλωψ. 2. wird bewirthet. 3. am gleichen Orte. 4. in gleiches Terrain. 5. dazu beordert 6 damit er, sich möglichst den Anschein geben, als wolle er, sie hier hinzuführen.

παύοντο. οἱ δὲ πολέμιοι ἐπεὶ ᾔσθοντο τὸ ὄρος ἐχόμενον,
23 ἐγρηγόρεσαν καὶ ἔκαιον πυρὰ πολλὰ διὰ νυκτός. ἐπειδὴ δὲ
ἡμέρα ἐγένετο, Χειρίσοφος μὲν θυσάμενος ἦγε κατὰ [29. Decbr.
τὴν ὁδόν, οἱ δὲ τὸ ὄρος καταλαβόντες κατὰ τὰ ἄκρα ἐπῇσαν.
24 τῶν δὲ πολεμίων τὸ μὲν πολὺ ἔμενεν ἐπὶ τῇ ὑπερβολῇ τοῦ
ὄρους, μέρος δ' αὐτῶν ὑπήντα τοῖς κατὰ τὰ ἄκρα. πρὶν δὲ
ὁμοῦ εἶναι τοὺς πολλούς, [ἀλλήλων] συμμιγνύασιν οἱ κατὰ τὰ
25 ἄκρα, καὶ νικῶσιν οἱ Ἕλληνες καὶ διώκουσιν. ἐν τούτῳ δὲ καὶ
οἱ ἐκ τοῦ πεδίου οἱ μὲν πελτασταὶ τῶν Ἑλλήνων δρόμῳ ἔθεον
πρὸς τοὺς παρατεταγμένους, Χειρίσοφος δὲ βάδην ταχὺ ἐφεί-
26 πετο σὺν τοῖς ὁπλίταις. οἱ δὲ πολέμιοι οἱ ἐπὶ τῇ ὁδῷ ἐπειδὴ
τὸ ἄνω ἑώρων ἡττώμενον, φεύγουσι· καὶ ἀπέθανον μὲν οὐ
πολλοὶ αὐτῶν, γέρρα δὲ πάμπολλα ἐλήφθη· ἃ οἱ Ἕλληνες ταῖς
27 μαχαίραις κόπτοντες ἀχρεῖα ἐποίουν. ὡς δ' ἀνέβησαν, θύσαν-
τες καὶ τρόπαιον στησάμενοι κατέβησαν εἰς τὸ πεδίον, καὶ εἰς
κώμας πολλῶν καὶ ἀγαθῶν γεμούσας ἦλθον.

Taocher. Koch und mit ihm jetzt Kiepert (Ztschr. f. Erd. 1869. IV, 6 p. 547) nehmen an, dass die Griechen vom Araxes aus nordwestlich marschierend über den Kiredschli-Dagh in das obere Thal des Oltis-Su, des östlichen Tschoruk-Armes, gezogen sind. Die ebne Weitung dieses Thales zwischen Narriman und Id würde dann das von Xenoph. erwähnte *πεδίον* sein. — *ᾔσθοντο*, s. I, 1, 7 z. d. W. Wegen des Partic. das. z. *βουλευομέν.* Die Feinde erkannten das wahrscheinlich aus den Signalfeuern der Griechen, erfüllten aber die von Xenoph. im §. 18 ausgesprochene Hoffnung nicht, sondern wollten sich, ohne es auf einen Nachtkampf ankommen zu lassen, am andern Morgen vertheidigen. — *καὶ ἔκαιον πυρὰ πολλά*, ob sie das thun, weil sie bivouakieren oder weil sie wie die Karduchen IV, 1, 11 ihren Nachbarn Signale geben wollen, lässt sich nicht entscheiden.

§. 23. *ἦγε* absolut, wie ducere.

§. 24. *τὸ πολύ* und *τοὺς πολλούς*, die Hauptheere, das Gros; *τ. πολλούς*, Griechen und Barbaren, welche am Bergabhange zusammenstossen sollten. — *οἱ κατά*, Griechen und Barbaren auf der Bergspitze, dagegen *τοῖς κατὰ τά* die Griechen allein. — *οἱ Ἕλληνες*, Zwischenstellung des Subjects.

§. 25. *οἱ ἐκ τ. πεδίου*, s. I, 1, 5 zu *τῶν παρὰ βασιλ.* Dieselbe Attraction in Caes. b. G. II, 12: omnis ex fuga — multitudo in oppidum — convenit; VII, 24: omnis ex castris multitudo. S. An. I, 2, 18 *οἱ ἐκ τῆς ἀγορᾶς.* — *οἱ μὲν πελτασταί* und *Χειρίσοφος*, partitive Apposition, weshalb das Ganze im Nomin. steht. — *βάδην ταχύ* = Geschwindschritt.

§. 26. *οἱ ἐπὶ τῇ ὁδῷ* durch einen Relativsatz, ebenso *τὸ ἄνω.* Durch die Wortstellung wird sowohl das Subj. als auch das Obj. betont. — *ἀπέθανον* — *ἐλήφθη*, Chiasmus zur Markierung der eiligen Flucht. — *ἃ οἱ Ἕλλην.* wird im D. ein selbständiger Satz. — *ταῖς μαχ.* s. I, 1, 2 z. *τῶν Ἑλλήν.*

§. 27. *τρόπαιον*, Exc. §. 54. — *στησάμ.* Med. „sich z. Ruhme". Reh. — *πολλῶν καὶ ἀγαθῶν*, obwohl beide substantivisch gebraucht sind, übersetze doch *πολλῶν* nach II, 3, 18 zu d. W. — *εἰς τὸ πεδίον* ist die Ebene des Oltis-Su.

Ἐκ δὲ τούτων ἐπορεύθησαν εἰς Ταόχους σταθμοὺς πέντε VII.
30. Decbr. 401 — 3. Januar 400 a. Chr.] παρασάγγας τριάκοντα· καὶ τὰ ἐπιτήδεια ἐπέλιπε· χωρία γὰρ ᾤκουν ἰσχυρὰ οἱ Τάοχοι, ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι. ἐπεὶ δ' ἀφί- 2
κοντο πρὸς χωρίον, ὃ πόλιν μὲν οὐκ εἶχεν οὐδ' οἰκίας, συνεληλυθότες δ' ἦσαν αὐτόσε καὶ ἄνδρες καὶ γυναῖκες καὶ κτήνη πολλά, Χειρίσοφος μὲν πρὸς τοῦτο προσέβαλλεν εὐθὺς ἥκων· ἐπειδὴ δὲ ἡ πρώτη τάξις ἀπέκαμνεν, ἄλλη προσῄει καὶ αὖθις ἄλλη· οὐ γὰρ ἦν ἀθρόοις περιστῆναι, ἀλλὰ ποταμὸς ἦν κύκλῳ. ἐπειδὴ δὲ Ξενοφῶν ἦλθε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς 3
καὶ ὁπλίταις, ἐνταῦθα δὴ λέγει Χειρίσοφος, Εἰς καλὸν ἥκετε· τὸ γὰρ χωρίον αἱρετέον· τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια, εἰ μὴ ληψόμεθα τὸ χωρίον. ἐνταῦθα δὴ κοινῇ ἐβουλεύοντο· 4
καὶ τοῦ Ξενοφῶντος ἐρωτῶντος τί τὸ κωλῦον εἴη εἰσελθεῖν εἶπεν ὁ Χειρίσοφος, Μία αὕτη πάροδός ἐστιν ἣν ὁρᾷς· ὅταν δέ τις ταύτῃ πειρᾶται παριέναι, κυλίνδουσι λίθους ὑπὲρ ταύτης τῆς ὑπερεχούσης πέτρας· ὃς δ' ἂν καταληφθῇ, οὕτω διατίθεται·

VII. Zug durch das Land der Taocher, Chalyber und Skythinen bis an den heiligen Berg.

§. 1—14. Erstürmung eines festen Platzes der Taocher.

§. 1. *ἐκ τούτων, κωμῶν.* Doch kann *τούτων* auch substantiviertes Neutrum sein und somit das Gebiet der Phasianen bezeichnen.

εἰς Ταόχους. Die Taocher waren ein den Grusiern oder Georgiern (am Südfusse des Kaukasus) stammverwandtes Volk in den Hochthälern des Oltis-Su und Tawas-Su, der östlichen, von Kiredschli-Dagh und Soghanly-Dagh kommenden Zuflüsse des Tschoruk (Akampsis), wo noch heute der Name der Thallandschaft Taos-Kari und der Stadt Tausgerd an sie erinnert. — *πέντε*, wegen der Hin- und Herzüge in diesem Gaue. — *ἐν οἷς* steht, um den durch die Handlung herbeigeführten Zustand zu bezeichnen. Caes. b. G. V, 10: naves — in littore ejectas esse. — *εἶχον ἀνακεκομισμ.*, s. I, 3, 14 zu *ἔχομεν.* — *ἀνά*, entweder weil die Plätze auf Höhen lagen (hinaufbringen) oder weil die Vorräthe aufgehäuft waren.

§. 2. *εἶχεν*, Zwischenstellung des Prädicats. — Der befestigte Hügel diente nur zum Zufluchtsorte. — *συνεληλυθότ. δ' ἦσαν.* Diesen selbständigen Satz, der nach griech. Auffassung parenthetisch steht, verbinde mit dem Relativsatze, als wenn stände: *εἰς ὃ δέ*; Umschreibung wie II, 2, 13 zu *ἦν δυναμένη.* — *καὶ ἄνδρες*, Polysyndeton bei Aufzählung. — *εὐθὺς ἥκων*, sogleich nach s. A. s. I, 9, 4 z. *εὐθύς.* — *ἀθρόοις*, steht prädicativ zu dem ausgelassenen *αὐτοῖς* s. III, 2, 11 z. *ἀγαθοῖς.* — *κύκλῳ*, d. h. vielleicht an drei Seiten, an denen der Platz einen felsigen Abhang hatte (s. §. 13 u. 14.).

§. 3. *εἰς καλόν*, wir: zur guten Stunde kommen, lat.: opportune. — *τὰ ἐπιτήδεια*, s. I, 3, 20 zu *τὴν δίκην.* — *τὸ χωρίον — τὸ χωρίον*, s. II, 3, 5 zu *ἄριστον.*

§. 4. *κωλῦον εἴη*, s. III, 1, 42 z. *ἡ ποιοῦσα.* — *μία αὕτη*, s. IV, 1, 20 und I, 1, 7 zu *αὕτη.* — *ὃς δ' ἂν* s. I, 3, 5 z. *ὅ,τι ἂν δέῃ.* —

ἅμα δ' ἔδειξε συντετριμμένους ἀνθρώπους καὶ σκέλη καὶ πλευ-
5 ράς. Ἢν δὲ τοὺς λίθους ἀναλώσωσιν, ἔφη ὁ Ξενοφῶν, ἄλλο τι ἢ οὐδὲν κωλύει παριέναι; οὐ γὰρ δὴ ἐκ τοῦ ἐναντίου ὁρῶμεν εἰ μὴ ὀλίγους τούτους ἀνθρώπους, καὶ τούτων δύο ἢ τρεῖς
6 ὡπλισμένους. τὸ δὲ χωρίον, ὡς καὶ σὺ ὁρᾷς, σχεδὸν τρία ἡμίπλεθρά ἐστιν ὃ δεῖ βαλλομένους διελθεῖν. τούτου δὲ ὅσον πλέθρον δασὺ πίτυσι διαλειπούσαις μεγάλαις, ἀνθ' ὧν ἑστηκότες ἄνδρες τί ἂν πάσχοιεν ἢ ὑπὸ τῶν φερομένων λίθων ἢ ὑπὸ τῶν κυλινδομένων; τὸ λοιπὸν οὖν ἤδη γίγνεται ὡς ἡμίπλεθρον, ὃ
7 δεῖ, ὅταν λωφήσωσιν οἱ λίθοι, παραδραμεῖν. Ἀλλὰ εὐθύς, ἔφη ὁ Χειρίσοφος, ἐπειδὰν ἀρξώμεθα εἰς τὸ δασὺ προσιέναι, φέρονται οἱ λίθοι πολλοί. Αὐτὸ ἄν, ἔφη, τὸ δέον εἴη· θᾶττον γὰρ ἀναλώσουσι τοὺς λίθους. ἀλλὰ πορευώμεθα ἔνθεν ἡμῖν μικρόν τι παραδραμεῖν ἔσται, ἢν δυνώμεθα, καὶ ἀπελθεῖν ῥᾴδιον, ἢν βουλώμεθα.

8 Ἐντεῦθεν ἐπορεύοντο Χειρίσοφος καὶ Ξενοφῶν καὶ Καλλίμαχος Παρράσιος λοχαγός· τούτου γὰρ ἡ ἡγεμονία ἦν τῶν ὀπισθοφυλάκων λοχαγῶν ἐκείνῃ τῇ ἡμέρᾳ· οἱ δὲ ἄλλοι λοχαγοὶ ἔμενον ἐν τῷ ἀσφαλεῖ. μετὰ τοῦτο οὖν ἀπῆλθον ὑπὸ τὰ δένδρα ἄνθρωποι ὡς ἑβδομήκοντα, οὐκ ἀθρόοι, ἀλλὰ καθ' ἕνα,
9 ἕκαστος φυλαττόμενος ὡς ἐδύνατο. Ἀγασίας δὲ ὁ Στυμφάλιος καὶ Ἀριστώνυμος Μεθυδριεὺς καὶ οὗτοι τῶν ὀπισθοφυλάκων λοχαγοὶ ὄντες, καὶ ἄλλοι δέ, ἐφέστασαν ἔξω τῶν δένδρων· οἱ

οὕτω wird mit einem Fingerzeige gesprochen. — σκέλη καὶ πλευράς, Acc. b. Passiv., s. I, 3, 10 zu ἀδικεῖν u. II, 6, 1 z. τ. κεφαλ.

§. 5. ἄλλο τι ἤ, s. II, 5, 10 z. d. W., doch kann man hier κωλύει als Prädicat zu beiden Subj. ziehen. — δύο, s. I, 3, 14 z. τοσοῦτον.

§. 6. χωρίον in andrer Bedeutung als §. 2. — ὃ — διελθεῖν mache zu einem Zwischensatze. — βαλλομένους Accus., weil das regierende Verb. keinen Casus bei sich hat, übers. nach I, 1, 6 zu ἐπιβουλ. 1, ebenso διαλειπούσαις. — ἀνθ' ὧν, der Grieche hat die Bäume, hinter welchen wir stehen, sich gegenüber. — τί ἂν πάσχ., Frage in e. Relativs. zur Belebung. Im D. übers. ohne Frage: „vor welchem stehend d. M.“

§. 7. πολλοί, s. I, 10, 2 z. d. W. — αὐτό, s. III, 4, 41 z. d. W. — ἔφη, Xenophon. — ἔνθεν, s. I, 2, 8 zu ὅθεν. — ἔσται zum ersten Gliede gestellt hebt den Infin.

§. 8. τούτου, Gen. poss. als Präd. s. I, 1, 6 z. Τισσαφ. — ἡγεμονία, s. Excurs. §. 27. — φυλαττόμενος nach I, 1, 6 zu ἐπιβουλ. 1, so dass ὡς ἐδύνατο durch ein Adj. übersetzt wird. Will man das Partic. durch einen Nebensatz übersetzen, so muss im D. zu ὡς ἐδύν. 'gut' gesetzt werden. — ἕκαστος, partitive Apposition.

§. 9. καὶ οὗτοι, s. I, 1, 11 zu d. W. — ἐν, wir sagen 'unter' oder 'zwischen'. — Ἀγασίας. Diese 3 Arkader sind schon IV, 1, 27 erwähnt, s. auch V, 2, 15.

1 zerschmettern. 2. an d. Schenkeln. 3. verbrauchen. 4. uns gegenüber. 5. ἄλλο – οὐδέν heißt nur. 6. Lichte. 7. auseinander stehend. 8. dicht. 9. ungefähr. 10. λω- auslassen, aufhören. 11. gerade das. 12. das Nötige. 13. ein Halbpl. = 50 F. 14. der Raum, d. Strecke. 15 kamen auf

γὰρ ἦν ἀσφαλὲς ἐν τοῖς δένδροις ἑστάναι πλέον ἢ τὸν ἕνα λόχον.
ἔνθα δὴ Καλλίμαχος μηχανᾶταί τι· προέτρεχεν ἀπὸ τοῦ δέν- 10
δρου ὑφ᾽ ᾧ ἦν αὐτὸς δύο ἢ τρία βήματα· ἐπειδὴ δὲ οἱ λίθοι
φέροιντο, ἀνεχάζεν εὐπετῶς· ἐφ᾽ ἑκάστης δὲ προδρομῆς πλέον
ἢ δέκα ἅμαξαι πέτρων ἀνηλίσκοντο. ὁ δὲ Ἀγασίας ὡς ὁρᾷ τὸν 11
Καλλίμαχον ἃ ἐποίει, καὶ τὸ στράτευμα πᾶν θεώμενον, δείσας
μὴ οὐ πρῶτος παραδράμῃ εἰς τὸ χωρίον, οὐδὲ τὸν Ἀριστώνυ-
μον πλησίον ὄντα παρακαλέσας οὐδὲ Εὐρύλοχον τὸν Λουσιέα
ἑταίρους ὄντας οὐδὲ ἄλλον οὐδένα χωρεῖ αὐτός, καὶ παρέρ-
χεται πάντας. ὁ δὲ Καλλίμαχος ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπι- 12
λαμβάνεται αὐτοῦ τῆς ἴτυος· ἐν δὲ τούτῳ παραθεῖ αὐτοὺς
Ἀριστώνυμος Μεθυδριεύς, καὶ μετὰ τοῦτον Εὐρύλοχος Λου-
σιεύς· πάντες γὰρ οὗτοι ἀντεποιοῦντο ἀρετῆς καὶ διηγωνίζοντο
πρὸς ἀλλήλους· καὶ οὕτως ἐρίζοντες αἱροῦσι τὸ χωρίον. ὡς
γὰρ ἅπαξ εἰσέδραμον, οὐδεὶς πέτρος ἄνωθεν ἠνέχθη. ἐνταῦθα 13
δὴ δεινὸν ἦν θέαμα. αἱ γὰρ γυναῖκες ῥίπτουσαι τὰ παιδία
εἶτα καὶ ἑαυτὰς ἐπικατερρίπτουν, καὶ οἱ ἄνδρες ὡσαύτως. ἔνθα
δὴ καὶ Αἰνείας Στυμφάλιος λοχαγὸς ἰδών τινα θέοντα ὡς
ῥίψοντα ἑαυτὸν στολὴν ἔχοντα καλὴν ἐπιλαμβάνεται ὡς κωλύ-
σων· ὁ δὲ αὐτὸν ἐπισπᾶται, καὶ ἀμφότεροι ᾤχοντο κατὰ τῶν 14
πετρῶν φερόμενοι καὶ ἀπέθανον. ἐντεῦθεν ἄνθρωποι μὲν πάνυ
ὀλίγοι ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα.

Ἐντεῦθεν ἐπορεύθησαν διὰ Χαλύβων σταθμοὺς ἑπτὰ 15

§. 10. *ἐπειδὴ — φέρ.* iter. Zeitsatz. — *μηχανᾶταί τι*, frei: 'bediente sich einer List'. — *προέτρεχεν*, erklärendes Asyndeton, s. III, 1, 11 zu *ἔδοξεν*. — *ἅμαξαι*, das Tragende für das Getragene = Ladung als Maassbestimmung.

§. 11. *τὸν Καλλίμαχον*, Anticipation, s. I, 1, 5 zu *βαρβάρ*. — *ἃ ἐποίει* gehört auch zu *θεώμενον*. Beachte den Wechsel der Constr. — *μὴ οὐ*, s. I, 3, 14 z. *ὅπως φθάσ*. — *πρῶτος*, warum das Adjectiv? s. I, 2, 25 zu *προτέρα*. — *παραδράμῃ* = hinzulaufen. Warum *παρά*? — *οὐδὲ — οὐδέ*, s. III, 1, 27 z. d. W. und I, 2, 22 z. *οὐδὲν κωλ.* — *αὐτός*, s. II, 2, 1 z. d. W.

§. 12. *παριόντα*, im D. durch den Inf. — *αὐτοῦ* Attr. z. *τῆς ἴτυος*. — *ἀντιποιεῖσθαι*, streitig machen; *ἀρετῆς* hier 'Ruhm der Tapferkeit'. — *χωρίον*, wahrscheinlich das j. Olti.

§. 13. *θέαμα.* Dieser kurze Satz soll die Aufmerksamkeit spannen, was durch die Alliteration der T-Laute verstärkt wird. — *εἶτα* fasst zeitlich den Inhalt des Partic. zusammen und urgiert die Zeitfolge. — *ἐπικατερρίπτ.*, beachte die Bedeutung der Präposit. — *τινά*, im D. verbinde damit zuerst *ἔχοντα* nach I, 1, 2 zu *λαβών*, dann *θέοντα* (im D. der Inf.), dann *ὡς ῥίψοντα*, dieses und *ὡς κωλύσων* nach I, 1, 3 zu *ἀποκτεν*.

§. 14. *ᾤχοντο φερόμενοι*, s. I, 1, 2 zu *παρών*. — *πολλοί* gehört auch zu *πρόβατα*.

§. 15—17. Zug i. Lande d. Chalyber.

§. 15. *Χάλυβες.* Obwohl schon

1. zurückweichen. 2. leicht, schnell. 3. eilig laufen. 4. Schild.

παρασάγγας πεντήκοντα. οὗτοι ἦσαν ὧν διῆλθον ἀλ- [— 10. Jan.]
κιμώτατοι, καὶ εἰς χεῖρας ἦσαν. εἶχον δὲ θώρακας λινοῦς μέχρι
τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐστραμμένα.
16 εἶχον δὲ καὶ κνημῖδας καὶ κράνη καὶ παρὰ τὴν ζώνην μαχαί-
ριον ὅσον ξυήλην Λακωνικήν, ᾧ ἔσφαττον ὧν κρατεῖν δύναιντο,
καὶ ἀποτέμνοντες ἂν τὰς κεφαλὰς ἔχοντες ἐπορεύοντο, καὶ ᾖδον
καὶ ἐχόρευον ὁπότε οἱ πολέμιοι αὐτοὺς ὄψεσθαι ἔμελλον. εἶχον
δὲ καὶ δόρυ ὡς πεντεκαίδεκα πήχεων, μίαν λόγχην ἔχον. οὗτοι ἐνέ-
μενον ἐν τοῖς πολίσμασιν· ἐπεὶ δὲ παρέλθοιεν οἱ Ἕλληνες, εἵποντο
17 ἀεὶ μαχόμενοι. ᾤκουν δὲ ἐν τοῖς ὀχυροῖς, καὶ τὰ ἐπιτήδεια ἐν τού-
τοις ἀνακεκομισμένοι ἦσαν· ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς
Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν ἃ ἐκ τῶν Ταόχων ἔλαβον.

IV, 5, 34 der Dorfschulze die Chalyber als Grenznachbarn der Armenier erwähnt und damit die Chalyber meint, welche die westlichen Landschaften des Plateaus von Erzerum, ferner die Gebirge (Kop-Dagh und Gök-Dagh), die den oberen Lauf des westlichen Euphrat von dem oberen Gebiete des Akampsis scheiden, wie auch ausgedehnte Thalgebiete im W.N.W. dieser Gebirgsketten bewohnten u. sich seit uralter Zeit mit Bergbau und Bereitung des Eisens und Stahls beschäftigten; so glauben doch einige, dass die hier genannten weiter nordöstlich im Quellgebiet des Kur wohnen (s. auf der Karte den Zug nach Spruner). Wegen der Schwierigkeiten, welche im Folgenden für die geographische Erklärung des Zugs entstehen, ist auch die Meinung aufgestellt, dass Xenophon selbst sich in der Reihenfolge der genannten Völker geirrt habe und dass die Griechen aus dem Gebiete der Phasianen erst nordwestlich in das Land der Chalyber und dann in das der Taocher gezogen seien. — *ὧν διῆλθον*, Attraction, s. I, 1, 8 zu *ἐκ τ. πόλ. ὧν*. Das Pron. steht statt des Landes. — *εἰς χεῖρας ἰέναι* ist fast synonym mit *εἰς χεῖρας δέχεσθαι*, s. Excurs. §. 53, 2. — *θώρακας λινοῦς*, s. Exc. §. 7, b, S. 4. Anm. — *πτερύγων*, die Panzerflügel, der unterste Theil des Panzers, bestanden, um die Bewegung der Glieder nicht zu hindern, aus Panzerschuppen.

§. 16. *μαχαίριον*, Singular nach dem Plur. *κράνη*, hat collective Bedeutung (s. I, 7, 8 zu *τὴν γνώμην*) oder ist durch Assimilation des verglichenen *ξυήλην* zu erklären. — *ξυήλην*, s. Exc. §. 7, b p. 5. — *ὧν* mit fehlendem Demonstrativ s. I, 2, 1 zu *πλὴν ὁπόσοι* und wegen des Opt. *δύναιντο*, s. I, 1, 5 z. *ὅστις ἀφικν.* — *ἀποτέμνοντες* übersetze mit Beachtung des *ἂν* nach I, 1, 6 zu *ἐπιβουλ.* 2. — Diese Sitte findet sich im Oriente noch heut zu Tage. — *ἔχοντες ἐπορεύοντο*, dem Griechen fällt die Bewegung mehr in die Augen, wir übersetzen nach I, 2, 18 zu *ἰδοῦσα* 'auf dem Marsche tragen od. bei sich behalten'. — *ἂν ἐπορ* s. I, 9, 19 z. *ἀφείλετο ἄν* und beachte, dass im Folgenden *εἵποντο ἀεί* steht. Vergl. IV, 5, 32. — *μίαν*, s. I, 3, 14 zu *τοσοῦτον*. Es fehlte das Eisen am untern Ende (*σαυρωτήρ*), s. Exc. §. 7. — *ἐπεὶ δὲ παρέλθ.*, s. I, 5, 2 z. *ἐπεί τις διώκ.*

§. 17. *ἐν τούτοις*. s. §. 1 z. *ἐν οἷς*. — *ἀνακεκομ.* *ἀνά* = aufgehäuft. — *ἐκ*, warum? — *ἀλλὰ διετράφησαν*, selbständiger Satz nach e. Infin. s. II, 3, 10 z. *τοὺς δέ*. Im D. setze die angefangene Cstr. fort.

ἐκ τούτου οἱ Ἕλληνες ἀφίκοντο ἐπὶ τὸν Ἅρπασον ποταμόν, εὖρος 18
τεττάρων πλέθρων. ἐντεῦθεν ἐπορεύθησαν διὰ Σκυθινῶν [15.—18. Jan.
σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι διὰ πεδίου εἰς κώμας· ἐν
αἷς ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν διῆλθον 19
σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι πρὸς πόλιν μεγάλην καὶ
εὐδαίμονα καὶ οἰκουμένην ἣ ἐκαλεῖτο Γυμνιάς. ἐκ ταύτης ὁ
[τῆς χώρας] ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς
ἑαυτῶν πολεμίας χώρας ἄγοι αὐτούς. ἐλθὼν δ' ἐκεῖνος λέγει ὅτι 20
ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον ὅθεν ὄψονται θάλατταν·
εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. καὶ ἡγούμενος ἐπειδὴ ἐνέβαλεν
εἰς τὴν [ἑαυτοῦ] πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν
χώραν· ᾧ καὶ δῆλον ἐγένετο ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς
τῶν Ἑλλήνων εὐνοίας. καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ [27. Jan. 21
πέμπτῃ ἡμέρᾳ. ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. ἐπεὶ δὲ οἱ πρῶτοι
ἐγένοντο ἐπὶ τοῦ ὄρους καὶ κατεῖδον τὴν θάλατταν, κραυγὴ

§. 18. *Ἅρπασον* wird von einigen für den heutigen Arpatschai, einen Nebenfluss des Araxes, von Kiepert für den Dschoroch oder Tschoruk, den Akampsis der Alten, gehalten. Strecker hält ihn für den Oberlauf des westlichen Euphrat, dessen Namen Xenoph. missverstanden hat.

διὰ Σκυθινῶν. Koch setzt diese Völker östlich in das Land Skuth, was mit dem h. Grusien oder Georgien identisch ist. Kiepert setzt sie westlich an die Pässe des vom Geographen Strabon erwähnten Gebirges *Σκυδίσης*. — *διὰ πεδίου εἰς κώμας*, malerische Kürze. Kiepert (Ztsch. f. Erdk. 1869. IV, 6 p. 548) hält die Umgegend von Ispir für diese Ebene.

§. 19. *Γυμνιάς*. Koch identificiert diese Stadt mit Artanudsch; Kiepert setzt sie in die Ebene, worin in der Gegend des h. Baiburt, bei dem h. Sünner die Quellen des Akampsis liegen. In die westliche Nähe dieser Stadt setzt sie auch Oberst Strecker in Ztsch. f. Erdk. 1869. IV, 6 p. 534. Andre identificieren damit das h. Erzerum; noch andre das westlich liegende Gümüsch-Châneh. — *ἑαυτῶν*, Pron. posses. als Attribut zu *πολεμ. χώρ.*, ähnl. III, 4, 41. Der Plur. nach *ἄρχων*, weil dieser die Bewohner des Landes mit umfasst. — *ὅπως* c. Opt. s. I, 1, 5 z. *ὡς*.

§. 20. *ἐλθών* nach I, 1, 6 z. *ἐπιβουλ.* 1 und I, 3, 2 z. *ἑστώς* und I, 3, 19 z. *ἀκούσαντες*. — *πέντε ἡμερ.*, der Genit. d. Zeit mit einem Zahlwort entspricht unsrem: „innerhalb, binnen"; VII, 5, 9 ist *ἐντός* dazugesetzt. — *ὅθεν*, s. I, 2, 8 z. d. W. — *ὄψονται*, s. I, 3, 14 z. *ὅστις ἀπάξει*. — *τεθνάναι ἐπηγγείλατο*, im D. bleibt das Verb. fin. unübersetzt, frei: wolle er des Todes sein. Der Inf. Perf. bezeichnet die Handlung im Zustande des Vollendetseins ohne Angabe der Zeit. — *ἐνέβαλεν* bezieht Xen. auf den Führer statt auf das Heer. — *αἴθειν καὶ φθείρειν*, igni et ferro vastare. — *ἔλθοι*, die Zwischenstellung betont die vorhergehenden und nachfolgenden Wörter, was durch Auslassung des *ἕνεκα* beim zweiten Gliede verstärkt wird. — *τ. Ἑλλήν.* Gen. obj. z. *εὐνοίας*.

§. 21. *ἦν*, s. I, 2, 7 z. d. W. — *Θήχης*. Je nach der Richtung, welche die Erklärer für den Zug annehmen, wird dieser Berg, den der Historiker Diodor *Χήνιον ὄρος* nennt, verschieden angesetzt. —

22 πολλὴ ἐγένετο. ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες
ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ
ὄπισθεν οἱ ἐκ τῆς καιομένης χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλα-
κες ἀπέκτεινάν τέ τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι,
καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν.
23 ἐπειδὴ δ' ἡ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ ἐπι-
όντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ μείζων
ἐγίγνετο ἡ βοὴ ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι
24 εἶναι τῷ Ξενοφῶντι, καὶ ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ
τοὺς ἱππέας ἀναλαβὼν παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοών-
των τῶν στρατιωτῶν Θάλαττα θάλαττα καὶ παρεγγυώντων.
ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια
25 ἠλαύνετο καὶ οἱ ἵπποι. ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον,

Koch hält dafür eine Höhe des Khatschkhar-Dagh oder Heldenberges im Quellgebiete des Balchar-Su, von der man, ohne die Spitze zu ersteigen, das Meer erblickt. Auf der grösseren Karte gemessen, ist der Khatschkhar-Dagh in gerader Richtung 15 Meilen südöstlich von Trapezus und etwa 7 Meilen vom Meere entfernt. Andre halten dafür den Tekieh-Dagh, noch andere den Kop-Dagh, von wo man aber nach der Behauptung der Reisenden das Meer nicht sehen kann. Andere Ansichten s. Ztschr. f. allg. Erdkunde N. F. XII, S. 296 und Kiepert in Z. der Ges. f. Erdk. 1871, 5 No. 29. — Im Folgenden, namentlich vom §. 23 an, ist die Lebhaftigkeit der Schilderung zu beachten, die uns ergreift, so dass wir alles selbst zu durchleben glauben.

§. 22. *ἀκούσας — ᾠήθησαν*, warum dieser Wechsel des Numerus erlaubt? — *ἄλλους*, der Gebrauch dieses Attributs wird durch *εἵποντο γάρ* erklärt. — *καιομένης*, das specielle für das generelle = verwüsten. — *αὐτῶν* gehört zu *τινάς*. — *τινάς* gehört zu beiden Prädikaten. — *ἀπεκτεινάν τε — καὶ ἐζώγρ.* Im Griech. werden einander ausschliessende Thatsachen oft summarisch zusammengestellt, im D. einander gegenüber gestellt. — *ἐνέδραν ποιησάμ.*, s. I, 1, 6 zu *ποιεῖσθαι*. — *δασύς*, eigentlich 'dichtbewachsen', womit, lehrt jedesmal der Zusammenhang. — *βοῶν ὠμοβόεια* für den Griechen kein Pleonasmus, denn ohne *βοῶν* wäre *δασειῶν* unverständlich. Die Schilde waren also mit dichthaarigen (weil ungegerbten) rohen Rindshäuten überzogen.

§. 23. *ἐγίγνετο* gehört auch zu *ἐγγύτερον*. Beispiel einer Verbindung des Adj. und Adverb. — *ἀεί*, das erste = 'jedesmal', das zweite = 'fortwährend, unaufhörlich'. — *πολλῷ*, wegen des folgenden *ὅσῳ* erwartet man *τοσούτῳ*. — Beachte das durch die Wiederholung der copulativen Partikeln gebildete Polysyndeton, durch welches in diesem und dem folgenden §. das stets grösser werdende Geschrei, die dadurch entstandene Sorge X.'s und zuletzt die Eile aller kräftig geschildert wird. — Vergl. auch Schiller's: „Und es wallet und siedet etc.“ — *μεῖζόν τι* sc. als ein feindlicher Angriff.

§. 24. *βοώντων* s. I, 2, 5 z. *Τισσαφ.* Hier kann im D. der Acc. der Pers. und statt des Partic. der Infin. stehen. — *Θάλαττα θάλαττα*, vergl. L. Brachmann Columbus: „Und Land! Land! rief es und donnert es Land!“ — *παρεγγυώντων* frei: 'den Nachfolgenden zurufen', sc. ihren Ausruf *θάλαττα θάλαττα*.

ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχα-
γοὺς δακρύοντες. καὶ ἐξαπίνης ὅτου δὴ παρεγγυήσαντος οἱ
στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐν- 26
ταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος ὠμοβοείων καὶ βακτηρίας
καὶ τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε τὰ
γέρρα καὶ τοῖς ἄλλοις διεκελεύετο. μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ 27
Ἕλληνες ἀποπέμπουσι δῶρα δόντες ἀπὸ κοινοῦ ἵππον καὶ φιά-
λην ἀργυρᾶν καὶ σκευὴν Περσικὴν καὶ δαρεικοὺς δέκα. ᾔτει
δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρα-
τιωτῶν. κώμην δὲ δείξας αὐτοῖς οὗ σκηνήσουσι καὶ τὴν ὁδὸν
ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο [τῆς
νυκτὸς] ἀπιών.

Ἐντεῦθεν δ' ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώνων VIII.
— 30. Jan.] σταθμοὺς τρεῖς, παρασάγγας δέκα. τῇ πρώτῃ δὲ ἡμέρᾳ
ἀφίκοντο ἐπὶ τὸν ποταμόν, ὃς ὥριζε τὴν τῶν Μακρώνων καὶ
τὴν τῶν Σκυθινῶν. εἶχον δ' ὑπὲρ δεξιῶν χωρίον οἷον χαλε- 2
πώτατον καὶ ἐξ ἀριστερᾶς ἄλλον ποταμόν, εἰς ὃν ἐνέβαλλεν ὁ
ὁρίζων, δι' οὗ ἔδει διαβῆναι. ἦν δὲ οὗτος δασὺς δένδρεσι πα-

§. 25. *περιέβαλλον* = umarmen; vergl. Schiller's Bürgschaft: 'In den Armen liegen sich beide, und weinen vor Schmerzen und Freude'. — *ὅτου δή* ist eigentlich ein attrahierter Relativsatz (*παρεγγ. τινός, ὅστις δὴ ἦν*), aber durch den Gebrauch ist *ὅστις δή* als Subject substantiviert = nescio quo adhortato.

§. 26. *ὠμοβοείων*, im D. mache aus *βοείων* u. *δερμάτων* ein Hauptwort. — *κατέτεμνε*, zu dem IV, 6, 26 hinzugefügten Zwecke. — *διεκελεύετο* ohne Object, wie IV, 3, 17 zu *παρήγγειλε*.

§. 27. *δῶρα δόντες*, dono dare. — *ἀπὸ κοινοῦ*, s. Exc. §. 51 Abs. 3. — *δαρεικούς*, Exc. §. 5 Anm. 1. — *τοὺς δακτυλ.*, s. I, 1, 3 zu *τὴν ἀρχήν*. Die Ringe dienten den Griechen als Petschaft, dem Barbaren gefielen sie als Schmuck. — *σκηνήσουσι*, s. I, 3, 14 z. *ὅστις* — *ἀπάξει*. — *Μάκρωνας*, Volk statt Land. *ἣν πορεύσονται* kann unübersetzt bleiben. — *ἐπεὶ* — *ἐγένετο*, s. I, 3, 4 zu *ἐπειδὴ* — *ἐκάλει*.

VIII. Zug bis Trapezus.

§. 1—7. Zug durch das Gebiet der Makronen.

§. 1. *διὰ Μακρώνων*. Die Makronen gehören dem Volke der Sannen oder Tzanen (j. Dshanen) an. Der Ausläufer des pontischen Gebirges, der sich zwischen dem Karadere und dem westlichen Quellflusse des Kalopotamos nach Norden erstreckt, führt noch jetzt den Namen Makur-Dagh. — *τρεῖς* ist, wie das Folgende lehrt, nicht zu scharf zu nehmen. — *ὥριζε*, und *ἐνέβαλλεν* im §. 2 s. I, 2, 7 z. *ἦν*. Das Imperf. bei geographischen Angaben auch Caes. b. G. II, 15: Eorum fines Nervii attingebant. — *τήν* sc. *χώραν*.

§. 2. *εἶχον*. Warum hier und im Folgenden das Impf.? *ὑπέρ* warum? Uns genügt das minder anschauliche 'zu'. — *οἷον*, s. I, 1, 6 zu *ὡς*. — *ὁ ὁρίζων*, im D. ein zusammengesetztes Subst. — *δι' οὗ* bezieht sich auf *ἄλλον ποταμόν*. — *δασύς*, s. IV, 7, 22. Dieselbe Wortstellung IV, 4, 3 *καλὸς μέν*, aber

χέσι μὲν οὔ, πυκνοῖς δέ. ταῦτα ἐπεὶ προσῆλθον οἱ Ἕλληνες
3 ἔκοπτον, σπεύδοντες ἐκ τοῦ χωρίου ὡς τάχιστα ἐξελθεῖν. οἱ δὲ Μάκρωνες ἔχοντες γέρρα καὶ λόγχας καὶ τριχίνους χιτῶνας καταντιπέρας τῆς διαβάσεως παρατεταγμένοι ἦσαν καὶ ἀλλήλοις διεκελεύοντο καὶ λίθους εἰς τὸν ποταμὸν ἔρριπτον· ἐξικνοῦντο γὰρ οὒ οὐδ' ἔβλαπτον οὐδέν.

4 Ἔνθα δὴ προσέρχεται Ξενοφῶντι τῶν πελταστῶν ἀνὴρ Ἀθήνησι φάσκων δεδουλευκέναι, λέγων ὅτι γιγνώσκοι τὴν φωνὴν τῶν ἀνθρώπων, καὶ οἶμαι, ἔφη, ἐμὴν ταύτην πατρίδα
5 εἶναι. καὶ εἰ μή τι κωλύει ἐθέλω αὐτοῖς διαλεχθῆναι. Ἀλλ' οὐδὲν κωλύει, ἔφη, ἀλλὰ διαλέγου καὶ μάθε πρῶτον τίνες εἰσίν. οἱ δ' εἶπον ἐρωτήσαντος ὅτι Μάκρωνες. Ἐρώτα τοίνυν, ἔφη,
6 αὐτούς, τί ἀντιτετάχαται καὶ χρῄζουσιν ἡμῖν πολέμιοι εἶναι. οἱ δ' ἀπεκρίναντο, Ὅτι καὶ ὑμεῖς ἐπὶ τὴν ἡμετέραν χώραν ἔρχεσθε. λέγειν ἐκέλευον οἱ στρατηγοί, ὅτι οὐ κακῶς γε ποιήσοντες, ἀλλὰ βασιλεῖ πολεμήσαντες ἀπερχόμεθα εἰς τὴν Ἑλλάδα, καὶ ἐπὶ θά-
7 λατταν βουλόμεθα ἀφικέσθαι. ἠρώτων ἐκεῖνοι, εἰ δοῖεν ἂν τούτων τὰ πιστά. οἱ δ' ἔφασαν καὶ δοῦναι καὶ λαβεῖν ἐθέλειν. ἐντεῦθεν διδόασιν οἱ Μάκρωνες βαρβαρικὴν λόγχην τοῖς Ἕλλησιν, οἱ δὲ Ἕλληνες ἐκείνοις Ἑλληνικήν· ταῦτα γὰρ ἔφασαν πιστὰ εἶναι· θεοὺς δὲ ἐπεμαρτύραντο ἀμφότεροι.

mit anders gestellter Negation. Am oben genannten Quellflusse ist die dichte Bewaldung noch jetzt vorhanden. — *ἔκοπτον*, nicht zum Brückenbau, denn dazu sind dünne Bäume in der Regel zu schwach und nicht lang genug, sondern wie §. 8 zeigt, um den Wald zu lichten und sich den Durchgang bequemer zu machen.

§. 3. *τριχίν. χιτῶν.*, aus Haaren geflochtene Waffenröcke. — *διεκελεύοντο*, *διά* s. III, 4, 36 zu *διαγγελλομ.* — *ἔρριπτον*, sie wollten die Griechen treffen. — *γὰρ* erklärt diese spöttische Bemerkung X.'s = „nämlich". — *οὔ* zur Verstärkung nachgesetzt.

§. 4. *γιγνώσκοι* hier = kennen, verstehen. — *οἶμαι*, Uebergang in die orat. dir. — *ταύτην* ist Subjectsaccusativ. S. auch I, 1, 7 zu *αὔτη*.

§. 5. *ἔφη*, Xenophon. — *ἐρωτήσαντος*, sc. *αὐτοῦ*, übersetze nach I, 1, 6 zu *ἐπιβουλ.* 1. — *ἀντιτετάχαται*, ionisches Perf. Pass.

§. 6. *καὶ ὑμεῖς*, *καί* wegen des ersten, hier verschwiegenen Theils der Antwort, der aus der Frage sich von selbst ergiebt. — *λέγειν*, gegensätzliches Asyndeton im Dialoge s. II, 1, 22 z. *ἀπεκρίνατο.* — *ὅτι* mit folgender directer Rede. — *κακῶς ποιήσοντες* frei: in böser Absicht. — *ἀπερχόμεθα* gehört als Simplex auch zu *ποιήσοντες*. S. auch IV, 5, 22 z. *σκεψομ.* — *ἐπὶ θάλατταν* betont, daher die chiastische Stellung zu *Ἑλλάδα*.

§. 7. *δοῖεν*, Wechsel des Subj. *εἰ δοῖεν ἄν*, welcher Satz ist verschwiegen? S. auch I, 7, 2 z. *πῶς ἄν.* — *τούτων* im D. ein Pronominaladverb. — *τὰ πιστά*, der Artikel bezeichnet oft den erforderlichen, üblichen Gegenstand. Vergl. auch I, 2, 26 z. *πίστεις.* — *ἔφασαν*, Subject *Μάκρωνες*.

Μετὰ δὲ τὰ πιστὰ εὐθὺς οἱ Μάκρωνες τὰ δένδρα συνεξέ- 8
κοπτον τήν τε ὁδὸν ὡδοποίουν, ὡς διαβιβῶντες, ἐν μέσοις
ἀναμεμιγμένοι τοῖς Ἕλλησι, καὶ ἀγορὰν οἵαν ἐδύναντο παρεῖχον,
καὶ παρήγαγον ἐν τρισὶν ἡμέραις, ἕως ἐπὶ τὰ Κόλχων [— 2. Febr.
ὅρια κατέστησαν τοὺς Ἕλληνας. ἐνταῦθα ἦν ὄρος μέγα, [προσ- 9
βατὸν δέ·] καὶ ἐπὶ τούτου οἱ Κόλχοι παρατεταγμένοι ἦσαν. καὶ
τὸ μὲν πρῶτον οἱ Ἕλληνες ἀντιπαρετάξαντο φάλαγγα, ὡς οὕτως
ἄξοντες πρὸς τὸ ὄρος· ἔπειτα δὲ ἔδοξε τοῖς στρατηγοῖς βουλεύ-
σασθαι συλλεγεῖσιν, ὅπως ὡς κάλλιστα ἀγωνιοῦνται. ἔλεξεν 10
οὖν Ξενοφῶν, ὅτι δοκοίη παύσαντας τὴν φάλαγγα λόχους ὀρθίους
ποιῆσαι· ἡ μὲν γὰρ φάλαγξ διασπασθήσεται εὐθύς· τῇ μὲν γὰρ
ἄνοδον τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος· καὶ εὐθὺς τοῦτο ἀθυ-
μίαν ποιήσει, ὅταν τεταγμένοι εἰς φάλαγγα ταύτην διεσπασμέ-
νην ὁρῶσιν. ἔπειτα, ἢν μὲν ἐπὶ πολλοὺς τεταγμένοι προσάγωμεν, 11
περιττεύσουσιν ἡμῶν οἱ πολέμιοι καὶ τοῖς περιττοῖς χρήσονται
ὅ, τι ἂν βούλωνται· ἐὰν δὲ ἐπ᾽ ὀλίγων τεταγμένοι ἴωμεν, οὐδὲν
ἂν εἴη θαυμαστὸν εἰ διακοπείη ἡμῶν ἡ φάλαγξ ὑπὸ ἀθρόων καὶ
βελῶν καὶ ἀνθρώπων πολλῶν ἐμπεσόντων· εἰ δέ πῃ τοῦτο ἔσται,
τῇ ὅλῃ φάλαγγι κακὸν ἔσται. ἀλλά μοι δοκεῖ ὀρθίους τοὺς λό- 12

§. 8—19. Kampf mit den Kolchern.

§. 8. *μετὰ — πιστά* frei: nach abgeschlossenem Vertrage. — *συνεξέκοπτ.*, *σύν* übersetze durch 'helfen'. — *ὁδὸν ὡδοποίουν*, kein Pleonasmus, es heisst: einen beschwerlichen Weg gangbar machen. — *ἀγοράν*, Exc. §. 51. — *παρήγαγον*, warum *παρά*?

§. 9. *ἐνταῦθα*. Solche neue Anfänge in Erzählungen finden sich namentlich bei folgender Beschreibung oft bei Gr. und Lat. — *ὄρος μέγα*, nach Kiepert die Höhe von Sürmene, 4 M. von Trapezus. — *μέγα, προσβατόν*, beliebte Kürze bei Beschreibung von Gegenständen, ohne *μέν* im ersten Gliede. — *Κόλχοι* scheinen nur ein Volksstamm in der Umgegend von Trapezus gewesen zu sein. — *παρατεταγμ.* Zur Sache s. Exc. §. 31 S. 21. — *ἀντιπαρετάξαντο*, s. IV, 3, 17 zu *ἀντιπαρῆσαν*. — *συλλεγεῖσιν* nach I, 1, 6 zu *ἐπιβουλ.* 2. — *ὅπως — ἀγωνιοῦνται*, s. I, 1, 4 zu *ὅπως*.

§. 10. *παύσαντας*, frei: 'aufgeben, auflösen'. — *ἡ μὲν γάρ*. Uebergang in or. dir. S. I, 3, 14 z. *ἔχομεν* u. II, 3, 10. — Erster Grund für seinen Vorschlag. — *εὐθύς*, warum verschieden gestellt? — *τοῦτο* weist mit Nachdruck auf den Nebensatz hin. — *ὁρῶσιν*, Subj. sind die in *φάλαγγα* angedeuteten *στρατιῶται*.

§. 11. *ἔπειτα*. Zweiter Grund für den Vorschlag. — *ἐπὶ πολλούς*, nachher *ἐπ᾽ ὀλίγων*, der Acc. steht mit Rücksicht auf die vorausgehende Bewegung, der Gen. bezeichnet die eingetretene Ruhe. — *ἡμῶν* frei: 'unsere Linie'. — *χρήσονται* frei: 'werden machen mit'. — *οὐδὲν ἂν εἴη θαυμαστόν*, Umschreibung des Futur. In der Milderung liegt aber Verstärkung. — *ἀθρόων — ἐμπεσόντων*, die Attribute schliessen ihre Subst. ein, da jedes Attribut zu beiden gehört. *ἀθρόων — πολλῶν*, „viel auf einem Punkte, zahlreich zusammen". — *ἔσται — ἔσται*, Antistrophe.

1. hinüberfahren 2. Kolonnen formieren 3 zu vielen, viel Mann hoch · 4. d Überzahl haben gegen...

χους ποιησαμένους τοσοῦτον χωρίον κατασχεῖν διαλιπόντας τοῖς λόχοις ὅσον ἔξω τοὺς ἐσχάτους λόχους γενέσθαι τῶν πολεμίων κεράτων· καὶ οὕτως ἐσόμεθα τῆς τε τῶν πολεμίων φάλαγγος ἔξω οἱ ἔσχατοι λόχοι, καὶ ὀρθίους ἄγοντες οἱ κράτιστοι ἡμῶν πρῶτοι προσίασιν, ᾗ τε ἂν εὔοδον ᾖ, ταύτῃ ἕκαστος ἄξει ὁ λό-
13 χος. καὶ εἴς τε τὸ διαλεῖπον οὐ ῥᾴδιον ἔσται τοῖς πολεμίοις εἰσελθεῖν ἔνθεν καὶ ἔνθεν λόχων ὄντων, διακόψαι τε οὐ ῥᾴδιον ἔσται λόχον ὄρθιον προσιόντα. ἐάν τέ τις πιέζηται τῶν λόχων, ὁ πλησίον βοηθήσει. ἤν τε εἷς πῃ δυνηθῇ τῶν λόχων ἐπὶ τὸ
14 ἄκρον ἀναβῆναι, οὐδεὶς μηκέτι μείνῃ τῶν πολεμίων. ταῦτα ἔδοξε, καὶ ἐποίουν ὀρθίους τοὺς λόχους. Ξενοφῶν δὲ ἀπιὼν ἐπὶ τὸ εὐώνυμον ἀπὸ τοῦ δεξιοῦ ἔλεγε τοῖς στρατιώταις, Ἄνδρες, οὗτοί εἰσιν οὓς ὁρᾶτε μόνοι ἔτι ἡμῖν ἐμποδὼν τὸ μὴ ἤδη εἶναι ἔνθα πάλαι σπεύδομεν· τούτους, ἤν πως δυνώμεθα, καὶ ὠμοὺς δεῖ καταφαγεῖν.

15 Ἐπεὶ δ' ἐν ταῖς χώραις ἕκαστοι ἐγένοντο καὶ τοὺς λόχους ὀρθίους ἐποιήσαντο, ἐγένοντο μὲν λόχοι τῶν ὁπλιτῶν ἀμφὶ τοὺς ὀγδοήκοντα, ὁ δὲ λόχος ἕκαστος σχεδὸν εἰς τοὺς ἑκατόν· τοὺς

§. 12. *κατασχεῖν*, verbinde mit *τοῖς λόχοις*. — *ὅσον*, Relativsatz statt eines Adverbialsatzes mit *ὥστε*, s. IV, 1, 5 zu *ὅσον*. — *ἔξω* gehört zu *τῶν πολ. κεράτ.* und ist des Nachdrucks wegen vorangestellt. — *ἔσχατοι* hier von der Stellung auf den Flügeln. — *οἱ ἔσχατοι λόχ.*, beschränkende Apposition zu dem im Verb. liegenden Pronominalsubjecte. S. I, 5, 16 z. *ἄλλοι*. — *ὀρθίους ἄγοντες* frei: mit ihren Colonnen, s. I, 1, 2 zu *λαβών*. — *κράτιστοι*, die Vordermänner eines *λόχος* waren die stärksten. — *ᾗ τε ἄν*, Voranstellung des Relativsatzes (I, 1, 5 zu *ὅστις — πάντας*). — *ἄξει* intr. — Zwischenstellung zur Betonung.

§. 13. *τε — τε*, Coordination, wir subordinieren mit 'während'. — *διακόψαι*, Chiasmus zu *εἰσελθεῖν*. — *ἐάν — ἤν*; sowohl wenn — als auch wenn; 2 anaphorisch geordnete Sätze. — *οὐδείς* für *οὔ τις*, denn *οὐ μή* gehören zu *μείνῃ* zum Ausdruck einer Versicherung. Wegen des elliptischen Ausdrucks s. II, 2, 12 zu *οὐκέτι μή*. — Non iam verendum, ne quis hostium maneat.

§. 14. *ἀπιών* übersetze mit 'während', denn Xen. sprach im Vorbeigehen zu allen Soldaten. — *ἀπὸ τ. δεξ.*, wo Cheirisophos stand. — *ἔλεγε*, s. II, 3, 14 z. d. W. — *τὸ μὴ εἶναι*: *τό* ist Acc. = in Bezug auf; *μή* s. I, 3, 2 z. d. W. — *ἔνθα*, s. II, 3, 19 z. d. W. — *ὠμοὺς — καταφαγεῖν*. Schon bei Hom. sprichwörtliche Redensart: Il. Δ 35: *ὠμὸν βεβρώθοις Πρίαμον*. — Wir sagen: mit Haut und Haaren auffressen.

§. 15. *ταῖς χώραις*, s. I, 1, 3 z. *τὴν ἀρχ.*, es ist der den Strategen und Lochagen zukommende Platz gemeint. — *ἐγένοντο — λόχοι* frei: 'ergaben sich, kamen heraus'. *ἐγένοντο* gehört im Sgl. auch zum folgenden *ὁ δὲ λόχος*. — *σχεδὸν εἰς*, Pleonasmus, wie oft vor Zahlen. Mit Rücksicht auf I, 7, 10; II, 2, 7; II, 5, 30 und III, 3, 5 berechne die Zahl der Gebliebenen.

δὲ πελτασταὶς καὶ τοὺς τοξότας τριχῇ ἐποιήσαντο, τοὺς μὲν τοῦ
εὐωνύμου ἔξω, τοὺς δὲ τοῦ δεξιοῦ, τοὺς δὲ κατὰ μέσον, σχεδὸν
ἑξακοσίους ἑκάστους. ἐκ τούτου παρηγγύησαν οἱ στρατηγοὶ 16
εὔχεσθαι· εὐξάμενοι δὲ καὶ παιανίσαντες ἐπορεύοντο. καὶ Χει-
ρίσοφος μὲν καὶ Ξενοφῶν καὶ οἱ σὺν αὐτοῖς πελτασταὶ τῆς τῶν
πολεμίων φάλαγγος ἔξω γενόμενοι ἐπορεύοντο· οἱ δὲ πολέμιοι 17
ὡς εἶδον αὐτούς, ἀντιπαραθέοντες οἱ μὲν ἐπὶ τὸ δεξιὸν οἱ δὲ
ἐπὶ τὸ εὐώνυμον διεσπάσθησαν, καὶ πολὺ τῆς αὐτῶν φάλαγγος
ἐν τῷ μέσῳ κενὸν ἐποίησαν. ἰδόντες δὲ αὐτοὺς διαχάζοντας οἱ 18
κατὰ τὸ Ἀρκαδικὸν πελτασταί, ὧν ἦρχεν Αἰσχίνης ὁ Ἀκαρνάν,
νομίσαντες φεύγειν ἀνακραγόντες ἔθεον· καὶ οὗτοι πρῶτοι ἐπὶ
τὸ ὄρος ἀναβαίνουσι· συνεφείπετο δὲ αὐτοῖς καὶ τὸ Ἀρκαδικὸν
ὁπλιτικόν, ὧν ἦρχε Κλεάνωρ ὁ Ὀρχομένιος. οἱ δὲ πολέμιοι, ὡς 19
ἤρξαντο θεῖν, οὐκέτι ἔστησαν, ἀλλὰ φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο.
οἱ δὲ Ἕλληνες ἀναβάντες ἐστρατοπεδεύοντο ἐν πολλαῖς κώμαις
καὶ τἀπιτήδεια πολλὰ ἐχούσαις. καὶ τὰ μὲν ἄλλα οὐδὲν [ἦν], 20
ὅ,τι καὶ ἐθαύμασαν· τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν

— τριχῇ ποιεῖσθαι frei: ‘in drei Abtheilungen aufstellen’. — ἔξω, wir sagen minder anschaulich ‘auf’. ἔξω steht hier in Beziehung auf die Hopliten der Griechen. — ἑκάστους, frei: ‘jede Abtheilung’. — κατὰ μέσον d. h. durch das Mitteltreffen hin, im Centrum.

§. 16. παρηγγύησαν, Exc. §. 15. — ἔξω γενόμενοι, im D. genügt eine Präposition.

§. 17. αὐτούς, nämlich ἔξω γενομένους. — ἀντιπαραθέοντες, s. IV, 3, 17 zu ἀντιπαρῆσαν.

§. 18. αὐτοὺς διαχάζοντας frei: ‘ihre Trennung’. — οἱ κατὰ τὸ Ἀρκαδικόν sc. ὁπλιτικόν, so ist nach §. 3 des Exc. zu verbinden. Es sind die κατὰ μέσον gemeint. — ὧν ἦρχε, weil ὁπλιτικόν collectiv ist, s. I, 4, 13 zu τὸ — πολύ. — Beidemal übersetze den Relativsatz durch Hauptwort mit Präpos.

§. 19. ὡς ἤρξαντο, sc. οἱ πελτασταί; beachte diese Zwischenstellung des Relativsatzes trotz des raschen Wechsels des Subjectes. — ἄλλος ἄλλῃ, Paronomasie. — ἐτράπετο richtet sich nach der Apposit. ἄλλος; im D. kann der Plur. gebraucht werden und die Apposit. ohne Prädic. folgen.

§. 20—21. Der betäubende Honig.

§. 20. τὰ μὲν ἄλλα, im D. setze statt des Acc. des Bezuges adverbiell: ‘im Uebrigen, sonst’. — ὅ,τι καί, καί = ‘auch’ wird steigernd zu ‘gar’, im entgegengesetzten Falle wie hier zu ‘auch nur’. Rehd. „was eben auch“. — τὰ δὲ σμήνη. Nach ältern u. neuern Botanikern ist es eine Erikenspecies (bald Anthodendron ponticum [Plin. n. h. 21, 13], bald Azalea pontica oder colchica [Günther, die Ziergewächse der Alten, Progr. Bernburg 1861] genannt), die noch im Honig berauschende Kraft hat. Als Pompejus in diesen Gegenden Krieg führte, berauschten die Mossynoiken drei Cohorten mit solchem Honig und tödteten sie dann. Dagegen bemerkt Koch: ‘Ohne das Factum ableugnen zu wollen, bin ich doch überzeugt, dass der Honig, den die Griechen genossen hatten, erst während einer schlechten Aufbewahrung schädlich geworden ist. Keiner der griechischen und römischen Schriftsteller, die des giftigen Honigs gedenken,

κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν πάντες ἄφρονές τε ἐγί-
γνοντο καὶ ἤμουν καὶ κάτω διεχώρει αὐτοῖς καὶ ὀρθὸς οὐδεὶς
ἐδύνατο ἵστασθαι, ἀλλ' οἱ μὲν ὀλίγον ἐδηδοκότες σφόδρα μεθύ-
ουσιν ἐῴκεσαν, οἱ δὲ πολὺ μαινομένοις, οἱ δὲ καὶ ἀποθνήσκου-
21 σιν. ἔκειντο δὲ οὕτω πολλοὶ ὥσπερ τροπῆς γεγενημένης, καὶ
πολλὴ ἦν ἀθυμία. τῇ δ' ὑστεραίᾳ ἀπέθανε μὲν οὐδείς, ἀμφὶ δὲ
τὴν αὐτήν πως ὥραν ἀνεφρόνουν· τρίτῃ δὲ καὶ τετάρτῃ ἀνί-
σταντο ὥσπερ ἐκ φαρμακοποσίας.
22 Ἐντεῦθεν δ' ἐπορεύθησαν δύο σταθμούς, παρα- [— 8. Febr.
σάγγας ἑπτά, καὶ ἦλθον ἐπὶ θάλατταν εἰς Τραπεζοῦντα πόλιν
Ἑλληνίδα, οἰκουμένην ἐν τῷ Εὐξείνῳ Πόντῳ, Σινωπέων ἀποι-
κίαν ἐν τῇ Κόλχων χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας ἀμφὶ τὰς
τριάκοντα ἐν ταῖς τῶν Κόλχων κώμαις· κἀντεῦθεν ὁρ- [— 10. März
23 μώμενοι ἐλῄζοντο τὴν Κολχίδα. ἀγορὰν δὲ παρεῖχον τῷ στρα-

bekräftigt seine Aussage durch eigene Untersuchungen. — — Während zweier Reisen im Oriente und namentlich in den Ländern, wo der giftige Honig erwähnt wird, im pontischen Gebirge und in Mingrelien, habe ich vielfache Erkundigungen eingezogen, aber kein Eingeborner wusste etwas davon.' Dagegen erzählt der englische Obrist Makintosh (s. Herzberg: Zug der Zehntausend): 'Die Landleute (am Kolat-Dagh) warnen noch heute die Fremden, nicht zu reichlich von ihrem Honig zu essen, da er eine betäubende oder berauschende Wirkung auf Personen ausübt, die nicht an ihn gewöhnt sind'. Oberst Strecker (Ztschr. f. Erdk. 1869 IV, 6 p. 537) erzählt, dass noch jetzt die ärmeren Bewohner in den Hafenstädten des schwarzen Meeres zwischen Ordu und Batum diesen Tollhonig kaufen, ihn aber auskochen und mit andern zuckerhaltigen Stoffen vermischen. Der Tollhonig ist von wässriger Beschaffenheit, dunkler Farbe und eigenthümlich bitterlichem Geschmack und erzeugt roh genossen dieselben Krankheitssymptome, welche Xen. erwähnt. — Wie unsre Bienenzüchter über das Factum sich streiten, findet man in der „Bienenzeitung" Nördlingen bei Beck, Jahrgang 1858 bis 1860. — Fischart singt im Bienk. 243 b: Die es (den giftigen Honig) gessen haben, fallen auf die erd erkülung zu suchen. — *ἐγίγν.* inchoativ. Impf. — *καὶ ἤμουν κ. τ. λ.*, Polysyndeton. — *κάτω διεχώρει αὐτοῖς* frei: 'bekamen den Durchfall'. — *πολύ* sc. *ἐδηδοκότες*. — *ἐῴκεσαν* gehört auch zu den beiden folgenden Dativen *μαινομ.* u. *ἀποθνήσκ.*

§. 21. *ὥσπερ* s. I, 3, 16 z. d. W. — *τροπῆς*, die Ursache ist für die Wirkung gesetzt. — *ἀνεφρόνουν*, Impf. bezeichnet die sich allmählich entwickelnde Handlung. — *τρίτ. καὶ τετάρτῃ.* Die D. verbinden mit „oder". Caes. b. G. V, 14, 4 deni duodenique. *καί* heisst eigentlich „und in andern Fällen".

§. 22—28. Ankunft bei Trapezus. Dankopfer und Festspiele.

§. 22. *εἰς*, es ist das Gebiet und die Umgegend gemeint. — *Τραπεζοῦς*, d. heutige Trebisond. — *πόλιν Ἑλληνίδα*, weil die Mutterstadt Sinope eine Colonie der Milesier war. — *οἰκουμένην*, s. I, 4, 1 z. d. W. — *ἐν* = an, denn die Umgebung des Meeres ist gemeint. — *ὁρμώμενοι*, s. I, 1, 9 z. d. W.

τοπέδῳ Τραπεζούντιοι, καὶ ἐδέξαντό τε τοὺς Ἕλληνας καὶ ξένια
ἔδοσαν βοῦς καὶ ἄλφιτα καὶ οἶνον. συνδιεπράττοντο δὲ καὶ 24
ὑπὲρ τῶν πλησίον Κόλχων τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούν-
των, καὶ ξένια καὶ παρ' ἐκείνων ἦλθον βόες. μετὰ δὲ τοῦτο 25
τὴν θυσίαν, ἣν εὔξαντο, παρεσκευάζοντο· ἦλθον δ' αὐτοῖς
ἱκανοὶ βόες ἀποθῦσαι τῷ Διὶ τῷ σωτῆρι καὶ τῷ Ἡρακλεῖ ἡγε-
μόσυνα καὶ τοῖς ἄλλοις θεοῖς ἃ εὔξαντο. ἐποίησαν δὲ καὶ
ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει, ἔνθαπερ ἐσκήνουν. εἵλοντο δὲ
Δρακόντιον Σπαρτιάτην, ὃς ἔφυγε παῖς ὢν οἴκοθεν, παῖδα
ἄκων κατακανὼν ξυήλῃ πατάξας, δρόμου τ' ἐπιμεληθῆναι καὶ
τοῦ ἀγῶνος προστατῆσαι. ἐπειδὴ δὲ ἡ θυσία ἐγένετο, τὰ δέρ- 26
ματα παρέδοσαν τῷ Δρακοντίῳ, καὶ ἡγεῖσθαι ἐκέλευον, ὅπου
τὸν δρόμον πεποιηκὼς εἴη. ὁ δὲ δείξας οὗπερ ἑστηκότες ἐτύγ-
χανον, Οὗτος ὁ λόφος, ἔφη, κάλλιστος τρέχειν ὅπου ἄν τις
βούληται. Πῶς οὖν, ἔφασαν, δυνήσονται παλαίειν ἐν σκληρῷ
καὶ δασεῖ οὕτως; ὁ δ' εἶπε, Μᾶλλόν τι ἀνιάσεται ὁ καταπεσών.

§. 23. *ἐδέξαντο*, von andern Schriftstellern wird auch wohl der Dativ. instrum. 'τῇ πόλει = vermittelst der Stadt' hinzugesetzt. Auch εἰς πόλιν δέχεσθαι findet sich. Vgl. auch V, 5, 20.

§. 24. *συνδιεπράττοντο*, σύν im Verein mit den Kolchern. Was wurde im Vertrage festgesetzt? — *ἦλθον*. Auch wir gebrauchen 'ankommen' von Sachen.

§. 25. *ἣν εὔξαντο*, s. I, 2, 5 z. οὓς εἴρηκα. Zur Sache s. III, 2, 9. — *ἀποθῦσαι*, s. I, 1, 8 z. ἀπέπεμπε und I, 5, 7 z. διατελέσαι. — Jede εὐχή begründet ein förmliches Rechtsverhältniss zwischen der Gottheit und dem Menschen, dessen Verletzung schwere Strafen nach sich zieht. — *τῷ — ἡγεμόσυνα*, eine prägnante Kürze, indem zur Vermeidung der Dative und Accusative beim ersten Gliede σωτήρια, beim zweiten ἡγεμόνι ausgelassen ist. Wegen des Acc. s. I, 2, 10 zu τὰ Λύκ. ἔθυσ. und II, 1, 5 z. μάχην. — *κατακανών* causal. — *ξυήλῃ πατάξας*, durch ein zusammengesetztes Hauptwort oder mit „dadurch dass“. — *ἔφυγε*. Nach einem Morde, auch dem unfreiwilligen, musste man das Land meiden, bis man sich mit den Verwandten des Ermordeten abgefunden hatte. — *δρόμου — προστατῆσαι*, der Inf. umschreibt den bei den Verben der Wahl gebräuchlichen zweiten Accusativ; frei: 'zum Kampfwart'. — Als solcher hatte er den geeigneten Platz auszusuchen, das Ziel abzustecken, die ganze Festordnung zu handhaben und nachher die Siegespreise zu vertheilen. Bei den grossen Festspielen war dies das Amt der Hellanodiken.

§. 26. *ἐπειδὴ — ἐγένετο*, s. I, 3, 4 zu ἐπειδή. — *τὰ δέρματα*, der Opferthiere, was aus ἡ θυσία erhellt. Vergl. Il. X, 159. Herod. 2, 91. — *παρέδοσαν*, als ἆθλα. — *ὅπου*, s. I, 2, 1 zu ὁπόσοι. Vgl. II, 1, 6 οὗ. — *λόφος*. Die Doppelbahn scheint zugleich durch schiefe Neigung die Anstrengung vergrössert zu haben. Hermann, Gottesdienstl. Altth. §. 30, 27. — *κάλλιστος*. Die fehlende Copula frei: 'eignet sich am — zu'. — *δυνήσονται*, das Subj. fehlt, weil es aus παλαίειν sich ergiebt. — *οὕτως* warum nachgestellt? — *μᾶλλον — καταπεσών*, eine echt lakonische Antwort.

27 ἠγωνίζοντο δὲ παῖδες μὲν στάδιον, τῶν αἰχμαλώτων οἱ πλεῖστοι,
δόλιχον δὲ Κρῆτες πλείους ἢ ἑξήκοντα ἔθεον, πάλην δὲ καὶ
πυγμὴν καὶ παγκράτιον [ἕτεροι. καὶ] καλὴ θέα ἐγένετο. πολλοὶ
γὰρ κατέβησαν καὶ ἅτε θεωμένων τῶν ἑταίρων πολλὴ φιλονεικία
28 ἐγίγνετο. ἔθεον δὲ καὶ ἵπποι καὶ ἔδει αὐτοὺς κατὰ τοῦ πρανοῦς
ἐλάσαντας ἐν τῇ θαλάττῃ ἀναστρέψαντας πάλιν πρὸς τὸν βωμὸν
ἄγειν. καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο· ἄνω δὲ πρὸς τὸ
ἰσχυρῶς ὄρθιον μόλις βάδην ἐπορεύοντο οἱ ἵπποι· ἔνθα πολλὴ
κραυγὴ καὶ γέλως καὶ παρακέλευσις ἐγίγνετο.

§. 4. οἵ τε τ. Μοσσ. — τ. Ἑλλήν., Chiasmus. — ἄρχοντες = Häuptlinge.

§. 5. διασωθῆναι. Im D. übersetze διά durch ein Verb der Bewegung u. füge σωθῆναι als Zweck hinzu. — οὗτοι ἡμᾶς, Stellung wie II, 3, 27 zu ὑμᾶς δ' αὖ ἡμῖν. — οὓς — εἶναι, s. I, 9, 29 zu ὅν — εἶναι.

§. 6. τιμωρήσασθαι, im D. ist vorher 'auf diese Weise' einzuschalten. — ὑπηκόους εἶναι, ein Anakoluth, das sich bei allen Völkern leicht findet. — Regelrecht sollte statt εἶναι ein ἔχειν stehen.

§. 7. εἰ — ἀφήσετε. Sinn: Wenn ihr unsere Hülfe verschmäht und uns abziehen lasst. — πόθεν — ἄν s. I, 7, 2 z. πῶς ἄν.

§. 8. ὁ ἄρχων = der erste Häuptling, der Führer κατ' ἐξοχήν.

§. 9. τί ἡμῶν δεήσεσθε χρήσασθαι, der Inf. χρήσασθαι ist zur Erläuterung hinzugesetzt: Wozu werdet ihr uns nöthig haben zu gebrauchen = wozu werdet ihr unsern Dienst nöthig haben.

γενώμεθα, καὶ ὑμεῖς τί οἷοί τε ἔσεσθε ἡμῖν συμπρᾶξαι περὶ τῆς
διόδου; οἱ δὲ εἶπον, ὅτι ἱκανοί ἐσμεν εἰς τὴν χώραν εἰσβάλλειν 10
ἐκ τοῦ ἐπὶ θάτερα τὴν τῶν ὑμῖν τε καὶ ἡμῖν πολεμίων, καὶ δεῦρο
ὑμῖν πέμψαι ναῦς τε καὶ ἄνδρας, οἵτινες ὑμῖν συμμαχοῦνταί τε
καὶ τὴν ὁδὸν ἡγήσονται.

Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες ᾤχοντο. καὶ ἧκον 11
τῇ ὑστεραίᾳ ἄγοντες τριακόσια πλοῖα μονόξυλα καὶ ἐν ἑκάστῳ
τρεῖς ἄνδρας, ὧν οἱ μὲν δύο ἐκβάντες εἰς τάξιν ἔθεντο τὰ ὅπλα,
ὁ δὲ εἷς ἔμενε. καὶ οἱ μὲν λαβόντες τὰ πλοῖα ἀπέπλευσαν, οἱ 12
δὲ μένοντες ἐξετάξαντο ὧδε. ἔστησαν ἀνὰ ἑκατὸν μάλιστα οἷον
χοροὶ ἀντιστοιχοῦντες ἀλλήλοις, ἔχοντες γέρρα πάντες λευκῶν
βοῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ, ἐν δὲ τῇ δεξιᾷ παλ-
τὸν ὡς ἑξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ἔμπροσθεν δὲ
τοῦ ξύλου σφαιροειδές. χιτωνίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ 13
γονάτων, πάχος ὡς λινοῦ στρωματοδέσμου, ἐπὶ τῇ κεφαλῇ δὲ
κράνη σκύτινα οἷάπερ τὰ Παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ
μέσον, ἐγγύτατα τιαροειδῆ· εἶχον δὲ καὶ σαγάρεις σιδηρᾶς.
ἐντεῦθεν ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δὲ ἄλλοι πάντες ἐπορεύοντο 14
ᾄδοντες ἐν ῥυθμῷ, καὶ διελθόντες διὰ τῶν τάξεων καὶ διὰ τῶν
ὅπλων τῶν Ἑλλήνων ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους
ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι. ᾤκεῖτο δὲ τοῦτο πρὸ 15

§. 10. ὅτι vor der orat. dir., s. I, 6, 8 z. ὅτι οὐδ' u. II, 4, 16 z. d. W. — ἐκ τοῦ ἐπὶ θάτερα = von der entgegengesetzten Seite her. Diese Zwischenstellung hebt die folgenden Attribute. — οἵτινες — συμμαχ. s. I, 3, 14 z. ὅστις ἀπάξει. — συμμάχεσθαι = opem ferre.

§. 11—18. Vergeblicher Angriff auf die Feste der feindlich gesinnten Mossynoiken.

§. 11. ἐπὶ τούτοις = 'unter diesen Bedingungen'. — πιστὰ δόντες καὶ λαβόντ., s. I, 2, 26 zu πίστεις λαβεῖν. — ἄγοντες übersetze durch 'auf, in'. — πλοῖα μονόξυλα „Einbäume" glichen vielleicht den Kanots der Indianer. — οἱ δύο, Artikel vor Zahlen giebt die Zahl bestimmt an. — ἔθεντο τὰ ὅπλα, Exc. §. 25 Anm. 2, 1.

§. 12. οἱ μέν bezieht sich auf die zuletzt Genannten, s. I, 10, 4 zu οἱ μέν. — οἱ δὲ μένοντες hiessen vorher ἐκβάντες. — μάλιστα bei Zahlen ist unser 'höchstens'. — δασέα und εἰκασμένα durch einen Relativsatz. — τοῦ ξύλου ist Genitiv des Stoffes z. σφαιροειδές. Die Lanzen der östreichischen Uhlanen dagegen haben vorn am Schaft (ξύλον) etwas Kugelförmiges, um die eiserne Spitze (λόγχην) zu festigen. S. Ueber Land und Meer 1866 S. 168 u. 737.

§. 13. ὑπὲρ γονάτων durch einen Relativsatz. ὑπέρ, weil sie nur bis ans Knie reichten. — πάχος s. I, 2, 23 z. ὄνομα. — κράνη hängt zeugmatisch von ἐνεδεδύκεσαν ab; im D. füge 'tragen' ein.

§. 14. ἐξῆρχε, nämlich ᾄδων. — ἐν ῥυθμῷ gehört z. ἐπορεύοντο. — διὰ τῶν τάξεων καὶ διὰ τῶν ὅπλων coordiniert statt subordiniert. τάξις in der Bedeutung wie I, 5, 14. — ὅπλων s. II, 2, 4 z. d. W.

§. 15. ᾤκεῖτο, s. I, 4, 1 z. οἰκου-

τῆς πόλεως τῆς Μητροπόλεως καλουμένης αὐτοῖς καὶ ἐχούσης
τὸ ἀκρότατον τῶν Μοσσυνοίκων. καὶ περὶ τούτου ὁ πόλεμος
ἦν· οἱ γὰρ ἀεὶ τοῦτ' ἔχοντες ἐδόκουν ἐγκρατεῖς εἶναι καὶ πάν-
των Μοσσυνοίκων, καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο,
16 ἀλλὰ κοινὸν ὂν καταλαβόντας πλεονεκτεῖν. εἵποντο δ' αὐτοῖς
καὶ τῶν Ἑλλήνων τινές, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν,
ἀλλὰ ἁρπαγῆς ἕνεκεν. οἱ δὲ πολέμιοι προσιόντων τέως μὲν
ἡσύχαζον· ἐπεὶ δ' ἐγγὺς ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες τρέ-
πονται αὐτούς, καὶ ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων καὶ τῶν
συναναβάντων Ἑλλήνων τινάς, καὶ ἐδίωκον μέχρι οὗ εἶδον τοὺς
17 Ἕλληνας βοηθοῦντας· εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο, καὶ ἀπο-
τεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν ἐπεδείκνυσαν τοῖς Ἕλλησι
καὶ τοῖς ἑαυτῶν πολεμίοις, καὶ ἅμα ἐχόρευον νόμῳ τινὶ ᾄδοντες.
18 οἱ δὲ Ἕλληνες μάλα ἤχθοντο, ὅτι τούς τε πολεμίους ἐπεποιήκε-
σαν θρασυτέρους καὶ ὅτι οἱ ἐξελθόντες Ἕλληνες σὺν αὐτοῖς ἐπε-
φεύγεσαν μάλα ὄντες συχνοί. ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν
19 ἐν τῇ στρατείᾳ. Ξενοφῶν δὲ συγκαλέσας τοὺς Ἕλληνας εἶπεν,
Ἄνδρες στρατιῶται, μηδὲν ἀθυμήσητε ἕνεκα τῶν γεγενημένων·
20 ἴστε γὰρ ὅτι καὶ ἀγαθὸν οὐ μεῖον τοῦ κακοῦ γεγένηται. πρῶ-
τον μὲν γὰρ ἐπίστασθε, ὅτι οἱ μέλλοντες ἡμῖν ἡγεῖσθαι τῷ ὄντι
πολέμιοί εἰσιν οἷσπερ καὶ ἡμᾶς ἀνάγκη· ἔπειτα δὲ καὶ τῶν Ἑλ-
λήνων οἱ ἀμελήσαντες τῆς σὺν ἡμῖν τάξεως καὶ ἱκανοὶ ἡγησά-
μενοι εἶναι σὺν τοῖς βαρβάροις ταὐτὰ πράττειν ἅπερ σὺν ἡμῖν δίκην

μένη. — περὶ τούτου, es ist das Castell in der Stadt. S. c. 2, 26. — οἱ ἀεὶ ἔχοντες = 'die jedesmaligen Besitzer'. — καὶ πάντων, s. I, 8, 2 z. d. W. — οὐ δικαίως, eine Litotes. — κοινὸν ὂν nach I, 1, 6 z. ἐπιβ. 3 concessiv.

§. 16. ἁρπαγῆς ἕνεκεν steht dem ταχθέντες parallel und ist wie dieses durch Relativsatz zu übersetzen. — προσιόντων übersetze nach I, 1, 6 zu ἐπιβουλ. 1. Warum kann αὐτῶν fehlen? — τέως μέν, s. IV, 2, 12 z. d. W. — βοηθεῖν = 'zu Hülfe eilen'.

§. 17. ἀποτεμόντες, s. IV, 7, 16 z. d. W. und I, 1, 6 z. ἐπιβουλ. 2. — τῶν νεκρῶν, im D. ein andrer Casus. — καὶ ἅμα kann im D. subordiniert werden.

§. 18. οἱ δὲ Ἕλλην., die nicht mitgezogen waren. — μάλα ὄντες, concessiv. Beachte die Stellung des μάλα.

§. 19—21. Xenophon ermuthigt die Griechen.

§. 19. μηδὲν ἀθυμ. 2 plur. Aor. vertritt den Imper. — οὐ μεῖον τοῦ κακοῦ durch einen Relativsatz.

§. 20. τῷ ὄντι durch ein Adverb. Der Lat. sagt: 're vera'. — ἡμᾶς, das fehlende Prädic. muss aus dem vorhergehenden Nomin. ergänzt und im D. hinzugesetzt werden. — τῶν Ἑλλήνων betont. — τῆς σὺν ἡμῖν, warum hier die Umschreibung des Possess.? — ἅπερ ἡμῖν. Die von den bessern Cod. vor ἡμῖν ausgelassene Präposition ergänzt sich aus dem Vorhergehenden nach der Regel, dass dieselbe Präposition,

δεδώκασιν· ὥστε αὖθις ἧττον τῆς ἡμετέρας τάξεως ἀπολείψονται.
ἀλλ' ὑμᾶς δεῖ παρασκευάζεσθαι, ὅπως καὶ τοῖς φίλοις οὖσι τῶν 21
βαρβάρων δόξετε κρείττους αὐτῶν εἶναι καὶ τοῖς πολεμίοις δη-
λώσετε, ὅτι οὐχ ὁμοίοις ἀνδράσι μαχοῦνται νῦν τε καὶ ὅτε τοῖς
ἀτάκτοις ἐμάχοντο.

Ταύτην μὲν οὖν τὴν ἡμέραν οὕτως ἔμειναν· τῇ δ' ὑστε- 22
ραίᾳ θύσαντες, ἐπεὶ ἐκαλλιερήσαντο, ἀριστήσαντες, ὀρθίους
τοὺς λόχους ποιησάμενοι, καὶ τοὺς βαρβάρους ἐπὶ τὸ εὐώνυμον
κατὰ ταὐτὰ ταξάμενοι ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν
λόχων ὀρθίων ἔχοντες, ὑπολειπομένους δὲ μικρὸν τοῦ στόμα-
τος τῶν ὁπλιτῶν. ἦσαν γὰρ τῶν πολεμίων οἱ εὔζωνοι κατατρέ- 23
χοντες τοῖς λίθοις ἔβαλλον. τούτους ἀνέστελλον οἱ τοξόται καὶ
πελτασταί. οἱ δ' ἄλλοι βάδην ἐπορεύοντο πρῶτον μὲν ἐπὶ τὸ
χωρίον, ἀφ' οὗ τῇ προτεραίᾳ οἱ βάρβαροι ἐτρέφθησαν καὶ οἱ
σὺν αὐτοῖς· ἐνταῦθα γὰρ οἱ πολέμιοι ἦσαν ἀντιτεταγμένοι. 24
τοὺς μὲν οὖν πελταστὰς ἐδέξαντο οἱ βάρβαροι καὶ ἐμάχοντο,
ἐπειδὴ δὲ ἐγγὺς ἦσαν οἱ ὁπλῖται, ἐτρέποντο. καὶ οἱ μὲν πελ-
τασταὶ εὐθὺς εἵποντο διώκοντες ἄνω πρὸς τὴν πόλιν, οἱ δὲ
ὁπλῖται ἐν τάξει εἵποντο. ἐπεὶ δὲ ἄνω ἦσαν πρὸς ταῖς τῆς Μη- 25
τροπόλεως οἰκίαις, ἐνταῦθα οἱ πολέμιοι ὁμοῦ δὴ πάντες γενό-

wenn zwei oder mehrere Begriffe von ihr abhängen, nur ein (das erste) Mal gesetzt wird. Bei Dichtern steht sie erst das zweite Mal.

§. 21. *τοῖς φίλοις τῶν βαρβάρων*, im D. mache *τῶν βαρβάρ.* zum Hauptbegriff und *φίλοις* zum Attrib.

ὁμοίοις — καί = cum paribus atque. Nach Wörtern der Gleichheit übersetzen wir *καί* wie das lat. atque und ac = als, wie. Xenoph. bezieht es aber auch, wie VII, 7, 49, auf das vorhergehende *τε*. Wir vermögen diese Doppelbeziehung nicht auszudrücken, sie erscheint uns nicht völlig logisch.

§. 22—29. Zweiter Angriff. Eroberung des Platzes und Unterwerfung des übrigen Landes.

§. 22. *θύσαντες κ. τ. λ.* Die 4 Partic. sind nach I, 1, 6 zu *ἐπιβουλ.* 2 zu übersetzen. — *ὀρθίους τ. λόχους*, s. Excurs. §. 31. S. 20. — *ὑπολειπομένους*, erläuternde Apposition, die durch einen Satz mit 'doch so dass' anzuknüpfen ist. — *στόμα*, s. Exc. Fig. 12.

§. 23. *ἦσαν — οἱ εὔζωνοι* = einige Leichtbewaffnete der etc. — *κατατρέχοντες*, warum *κατά*? s. auch §. 24 *ἄνω*. — *τοῖς λίθοις*, die sie vorher gesammelt und nun bei sich hatten, also der Artikel nach I, 1, 3 z. *τὴν ἀρχήν*. — *ἀνέστελλον* s. I, 3, 1 z. *ἐβιάζετο*. — *ἐτρέφθ.*, im D. Plqpf. — *καὶ οἱ σὺν αὐτοῖς* sind die Griechen aus §. 16. — *οἱ πολέμιοι* d. h. die schwerbewaffnete Linie derselben. — *πρῶτον μέν*, ihm entspricht mit veränderter Constr. *ἐπεὶ δέ* im §. 25.

§. 24. *ἐδέξαντο — ἐμάχοντο — ἐτρέποντο*, Wechsel der tempora. Die Impf. schildern die Handlung in ihrer allmähligen Entwicklung; einige derselben übers. wir mit 'beginnen'.

§. 25. *ἐνταῦθα* zur Hervor-

1. καλλιερέω gute Vorzeichen erlangen. 2. abh. v. Verb ἀπ. 3. zukünftig. 4. in derselben Weise. 5. ἐσθαί τινος zurückstehen gegen jem. 6. Front. 7. zurücktreiben. 8. Schritt f. Schritt.

μενοι, ἐμάχοντο καὶ ἐξηκόντιζον τοῖς παλτοῖς, καὶ ἄλλα δόρατα
ἔχοντες παχέα μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις, τούτοις ἐπει-
26 ρῶντο ἀμύνεσθαι ἐκ χειρός. ἐπεὶ δὲ οὐχ ὑφίεντο οἱ Ἕλληνες,
ἀλλ' ὁμόσε ἐχώρουν, ἔφευγον οἱ βάρβαροι καὶ ἐντεῦθεν λείποντες
ἅπαντες τὸ χωρίον. ὁ δὲ βασιλεὺς αὐτῶν ὁ ἐν τῷ μόσσυνι τῷ
ἐπ' ἄκρου ᾠκοδομημένῳ, ὃν τρέφουσι πάντες κοινῇ αὐτοῦ μέ-
νοντα καὶ φυλάττουσιν, οὐκ ἤθελεν ἐξελθεῖν, οὐδὲ οἱ ἐν τῷ
πρότερον αἱρεθέντι χωρίῳ, ἀλλ' αὐτοῦ σὺν τοῖς μοσσύνοις κατ-
27 εκαύθησαν. οἱ δὲ Ἕλληνες διαρπάζοντες τὰ χωρία εὕρισκον θησαυ-
ροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινούς, ὡς ἔφασαν οἱ
Μοσσύνοικοι, τὸν δὲ νέον σῖτον ἔτι σὺν τῇ καλάμῃ ἀποκείμενον·
28 ἦσαν δὲ ζειαὶ αἱ πλεῖσται. καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν
εὑρίσκετο τεταριχευμένα καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων,
ᾧ ἐχρῶντο οἱ Μοσσύνοικοι καθάπερ οἱ Ἕλληνες τῷ ἐλαίῳ·
29 κάρυα δὲ ἐπὶ τῶν ἀνωγέων ἦν πολλὰ τὰ πλατέα, οὐκ ἔχοντα
διαφυὴν οὐδεμίαν. τούτων καὶ πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες
καὶ ἄρτους ὀπτῶντες. οἶνος δὲ εὑρίσκετο, ὃς ἄκρατος μὲν ὀξὺς

hebung des Nachsatzes. — ὁμοῦ δή, δή = ἤδη; bei der Flucht hatten sie sich etwas getrennt, deshalb dieser Zusatz. — τοῖς παλτοῖς, s. §. 23 zu λίθοις. — καὶ ἄλλα — μακρά durch Stellung u. Verbindung betont; verbinde sogleich mit ἐπειρῶντο, wobei τούτοις unübersetzt bleibt. — ἄλλα = andrerseits, s. I, 5, 5 z. d. W. Gattungsbegriff: Waffen. — ἐκ χειρός = von der Hand aus d. i. aus der Nähe.

§. 26. ὑφίεντο wird durch ἀλλ' — ἐχώρουν erklärt. — τὸ χωρίον d. i. μητρόπολιν. — ἐπ' ἄκρου, innerhalb der Stadt. — οἱ ἐν τῷ — χωρίῳ, nicht die Könige, sondern die Feinde, die im Castell (§. 17 und 23) vor der Stadt nach der Eroberung desselben in den Häusern blieben.

§. 27. θησαυρούς, kellerartige Behältnisse in der Erde, dergleichen man auch in Russland hat. Auch in den Gegenden, in denen sich unter den Häusern gewölbte oder Balken-Keller befinden, wird das Brod im Winter in denselben aufbewahrt. — ἄρτων, eine Art Schiffszwieback. — νέον, Attrib. = heurig, diesjährig. — αἱ πλεῖσται congruiert mit ζειαί, obwohl es sich auf σῖτος bezieht.

§. 28. δελφίνων — δελφίνων, chiastische Stellung des Attributs s. II, 3, 5 z. ἄριστον. — στέαρ — τῷ ἐλαίῳ, dieser Zusatz erinnert an unsre 'Stearinkerzen'. — κάρυα, wahrscheinlich die Kastanie, die in grosser Menge im pontischen Gebirge sich findet. In Griechenland wurde sie damals noch nicht gebaut, erhielt aber später von ihrer ersten Anpflanzung bei Kastana in Thessalien ihren Namen. — οὐκ ἔχοντα οὐδεμίαν durch eine Präposition.

§. 29. καὶ πλείστῳ frei: den grössten Theil derselben. — καί steigernd = selbst, sogar. — ἕψοντες, wegen des Obj. s. I, 4, 8 z. τούτων στερήσ. — οἶνος, noch jetzt findet sich an einzelnen Stellen der Nordküste Kleinasiens die Weinrebe verwildert, denn den Muhamedanern ist der Wein verboten.

1. τὸ Wurfgeschoß. 2. schwer. 3. Med. aufgeben. 4. noch in d. dies. Orte hin. 5. μόσσυν Turm. 6. jährig, vom vorg. Jahr. 7. νέω aufhäufen. 8. Halm. 9. eine Getreideart = Dinkel, Spelt 10. Abgeschnittenes Stück. 11 εὖς Tonne. 12. ταριχεύω einsalzen, 13. Talg. 14. τεῦχος Gefäß. 15. ὁ breit, platt. 16. Riß, Spalten. 17. backen = ὀπτάω. 18 das obere Stockwerk

ἐφαίνετο εἶναι ὑπὸ τῆς αὐστηρότητος, κερασθεὶς δὲ εὐώδης τε
καὶ ἡδύς.

Οἱ μὲν δὴ Ἕλληνες ἀριστήσαντες ἐνταῦθα ἐπορεύοντο εἰς 30
τὸ πρόσω, παραδόντες τὸ χωρίον τοῖς συμμαχήσασι τῶν Μοσσυ-
νοίκων. ὁπόσα δὲ καὶ ἄλλα παρῆσαν χωρία τῶν σὺν τοῖς πολε-
μίοις ὄντων, τὰ εὐπροσοδώτατα οἱ μὲν ἔλειπον, οἱ δὲ ἑκόντες
προσεχώρουν. τὰ δὲ πλεῖστα τοιάδε ἦν τῶν χωρίων. ἀπεῖχον 31
αἱ πόλεις ἀπ' ἀλλήλων στάδια ὀγδοήκοντα, αἱ δὲ πλεῖον αἱ δὲ
μεῖον· ἀναβοώντων δὲ ἀλλήλων συνήκουον εἰς τὴν ἑτέραν ἐκ
τῆς ἑτέρας πόλεως· οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν. ἐπεὶ 32
δὲ πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν αὐτοῖς παῖ-
δας τῶν εὐδαιμόνων σιτευτούς, τεθραμμένους καρύοις ἑφθοῖς,
ἁπαλοὺς καὶ λευκοὺς σφόδρα καὶ οὐ πολλοῦ δέοντας ἴσους τὸ
μῆκος καὶ τὸ πλάτος εἶναι, ποικίλους δὲ τὰ νῶτα καὶ τὰ ἔμπρο-
σθεν πάντα ἐστιγμένους ἀνθέμια. ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις 33
ἃς ἦγον οἱ Ἕλληνες, ἐμφανῶς συγγίγνεσθαι· νόμος γὰρ ἦν οὗτος
σφίσι. λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες. τούτους 34

§. 30—34. Zug durch das übrige Land. Sitten der Bewohner.

§. 30. τοῖς συμμαχήσασι, im D. adjectiv. Attrib., denn wir machen *Μοσσυνοίκ.* zum Objecte. — ἔλειπον, Subj. „die Feinde". — προσεχώρουν, zum Zeichen der Unterwerfung, daher = sich ergeben d. h. sie blieben in der Feste und liessen die andern herein. — ὁπόσα — προσεχώρουν frei: von den übrigen feindlichen Ortschaften wurden die theils — theils.

§. 31. αἱ δὲ — μεῖον, einschränkende Apposition. — εἰς τὴν ἑτέραν, die Griechen setzen gern die Richtung wohin vor die Richtung woher. Warum wohl? — οὕτως, Grund angebender Satz. Auch im D. werden dergleichen Sätze oft ohne die causale Conjunction mit dem Pron. demonstr. nachgesetzt, weil dadurch der Gedanke mehr hervorgehoben wird. — κοίλη d. i. mit Thälern und Schluchten versehen = „hohle Gasse".

§. 32. πορευόμενοι übersetze entweder durch ein Hauptwort oder frei in Verbindung mit ἦσαν durch 'ankommen'. — ἐν τοῖς φίλοις wörtlich: 'unter Freunden', übersetze nach I, 1, 11 z. εἰς Πισίδας. — ἐπεδείκνυσαν, Wechsel des Subj. — εὐδαιμόνων = πλουσίων. Auch der Lateiner gebraucht oft beatus für dives. — σφόδρα warum nachgestellt? — οὐ πολλοῦ δέοντας eigentlich nach I, 5, 14 z. d. W., hier frei durch das Adverb 'fast'. — ἴσους τὸ μῆκος — εἶναι, deutsche Wendung ist: 'so lang wie dick'. — μῆκος s. I, 2, 23 z. ὄνομα. — τὰ νῶτα καὶ τὰ ἔμπροσθεν, Accus. zu ποικίλους, kann im D. Subj. werden, so dass ποικίλ. dazu Prädic. wird. — ἐστιγμένους ἀνθέμ., erklärendes Attrib. zu ποικίλους. — Entstanden aus στίζειν τινὰ στίγμα τι. — ἀνθέμια, Accus. beim Passiv. (s. I, 2, 10 z. τὰ Λύκ.) übersetze durch Hauptwort mit einer Präposition.

§. 33. σφίσι statt αὐτοῖς findet sich oft da, wo es sich auf ein Nomen bezieht, das dem Gedanken nach als Subject des Satzes gelten kann (s. II, 3, 25 zu ἑαυτόν). In selbständigen Sätzen ist dieser Gebrauch bei den Attikern selten. Eine Erklärung des Gebrauchs versucht

1. herbe, Strenge · 2. wohlriechend. 3. ἰώ. 4. gemästet. 5. Kastanie = ον. 6. zart.
7. Rücken · 8. στίζω punktieren, tätowieren. 9. Blumen. 10. vor aller Augen

ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένους. ἔν τε γὰρ ὄχλῳ ὄντες ἐποίουν ἅπερ ἂν ἄνθρωποι ἐν ἐρημίᾳ ποιήσειαν, [ἄλλως δὲ οὐκ ἂν τολμῷεν,] μόνοι τε ὄντες ὅμοια ἔπραττον ἅπερ ἂν μετ' ἄλλων ὄντες, διελέγοντό τε αὐτοῖς καὶ ἐγέλων ἐφ' ἑαυτοῖς καὶ ὠρχοῦντο ἐφιστάμενοι ὅπου τύχοιεν ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι.

V. Διὰ ταύτης τῆς χώρας οἱ Ἕλληνες, διά τε τῆς πολεμίας καὶ τῆς φιλίας, ἐπορεύθησαν ὀκτὼ σταθμούς, καὶ ἀφι- [— 1. April.
κνοῦνται εἰς Χάλυβας. οὗτοι ὀλίγοι τε ἦσαν καὶ ὑπήκοοι τῶν Μοσσυνοίκων, καὶ ὁ βίος ἦν τοῖς πλείστοις αὐτῶν ἀπὸ σιδη-
2 ρείας. ἐντεῦθεν ἀφικνοῦνται εἰς Τιβαρηνούς. ἡ δὲ τῶν Τιβαρηνῶν χώρα πολὺ ἦν πεδινωτέρα καὶ χωρία εἶχεν ἐπὶ θαλάττῃ ἧττον ἐρυμνά. καὶ οἱ στρατηγοὶ ἔχρῃζον πρὸς τὰ χωρία προσβάλλειν καὶ τὴν στρατιὰν ὀνηθῆναί τι, καὶ τὰ ξένια, ἃ ἧκε παρὰ Τιβαρηνῶν, οὐκ ἐδέχοντο, ἀλλ' ἐπιμεῖναι κελεύσαντες, ἔστε
3 βουλεύσαιντο, ἐθύοντο. καὶ πολλὰ καταθυσάντων τέλος ἀπεδείξαντο οἱ μάντεις πάντες γνώμην, ὅτι οὐδαμῇ προσίοιντο οἱ θεοὶ τὸν πόλεμον. ἐντεῦθεν δὴ τὰ ξένια ἐδέξαντο, καὶ ὡς διὰ

Wilisch: das indirecte Reflexivpronomen in Xen. Anab. u. Hellen. p. 5.

§. 34. τούτους — διελθεῖν, zusammengezogener Relativsatz statt τούτους βαρβαρωτάτους εἶναι πάντων, οὓς διῆλθον. — οἱ στρατ. s. I, 9, 15 z. τῶν θελόντ. — ἐν ὄχλῳ, Gegensatz von ἐν ἐρημίᾳ, ist = ἐμφανῶς. — ποιήσειαν, Opt. potent. s. I, 6, 2 z. ἄν. — μετ' ἄλλων ὄντες = im Umgang mit andern. Was ist zu ἅπερ in Gedanken zu wiederholen? — διελέγοντο κ. τ. λ., erklärendes Asyndeton, denn τε gehört zum folgenden καί. — τύχοιεν ohne Particip.

V. Zug durch das Land der Chalyber und Tibarener.

§. 1—7. Marsch bis Kotyora.

§. 1. εἰς Χάλυβας, s. I, 1, 11 z. εἰς Πισίδας. Diese Chalyben, die von den IV, 7, 15 erwähnten verschieden sind, wohnten in einer metallreichen Gegend, und da sie sich mit Bearbeitung des Eisens beschäftigten, so nannten die Griechen den Stahl χάλυψ. — ὁ βίος ἦν, im D. gebrauche das umschreibende Zeitwort. — ἀπὸ σιδηρείας = Eisensteinbergbau, s. I, 1, 9 z. ἀπό. — Τιβαρηνούς. Die Tibarenen werden auch von spätern Schriftstellern in dieser Gegend genannt. Sie gehörten wahrscheinlich zu den Dshanen und wohnten ostwärts bis über Kotyora, das heutige Ordu, das einige Stunden östlich von Jassun-Burun (Vorgebirge Iasonium) lag.

§. 2. πεδινωτέρα, warum der Comparativ? — ἔχρῃζον — ἐδέχοντο, Chiasmus. — τὴν στρατ. ὀνηθῆναί τι, Wechsel der Constr. und des Subj. — ἧκε, s. IV, 8, 24 z. ἦλθον. — καί, im D. füge 'deshalb' hinzu. — οὐκ ἐδέχ., Impf. des con. hier mit „wollen" z. übers. Im §. 3 steht als Resultat der Berathung ἐδέξαντο. — βουλεύσ. s. I, 1, 10 z. πρὶν ἄν.

§. 3. καταθυσάντων ohne Pronomen, s. I, 2, 17 zu προϊόντων. — ἀπεδείξαντο, s. V, 2, 9 z. d. W. — ὅτι — πόλεμον, beachte die Stellung. — ὡς διὰ φιλίας d. h. hier: die Griechen fügten ihnen

3. April] φιλίας πορευόμενοι δύο ἡμέρας ἀφίκοντο εἰς Κοτύωρα,
πόλιν Ἑλληνίδα, Σινωπέων ἄποικον, οὖσαν δ' ἐν τῇ Τιβαρη-
νῶν χώρᾳ.

[Μέχρι ἐνταῦθα ἐπέζευσεν ἡ στρατιά. πλῆθος τῆς κατα- 4
βάσεως τῆς ὁδοῦ ἀπὸ τῆς ἐν Βαβυλῶνι μάχης ἄχρι εἰς Κοτύωρα
σταθμοὶ ἑκατὸν εἴκοσι δύο, παρασάγγαι ἑξακόσιοι καὶ εἴκοσι,
στάδιοι μύριοι καὶ ὀκτακισχίλιοι καὶ ἑξακόσιοι, χρόνου πλῆθος
ὀκτὼ μῆνες.] ἐνταῦθα ἔμειναν ἡμέρας τετταράκοντα πέντε. ἐν 5
— 18. Mai] δὲ ταύταις πρῶτον μὲν τοῖς θεοῖς ἔθυσαν, καὶ πομπὰς
ἐποίησαν κατὰ ἔθνος ἕκαστοι τῶν Ἑλλήνων καὶ ἀγῶνας γυμνι-
κούς. τὰ δ' ἐπιτήδεια ἐλάμβανον τὰ μὲν ἐκ τῆς Παφλαγονίας, 6
τὰ δ' ἐκ τῶν χωρίων τῶν Κοτυωριτῶν· οὐ γὰρ παρεῖχον ἀγο-
ράν, οὐδ' εἰς τὸ τεῖχος τοὺς ἀσθενοῦντας ἐδέχοντο.

Ἐν τούτῳ ἔρχονται ἐκ Σινώπης πρέσβεις, φοβούμενοι 7
περὶ τῶν Κοτυωριτῶν τῆς τε πόλεως, ἦν γὰρ ἐκείνων καὶ φόρον
ἐκείνοις ἔφερον, καὶ περὶ τῆς χώρας, ὅτι ἤκουον δῃουμένην.
καὶ ἐλθόντες εἰς τὸ στρατόπεδον ἔλεγον· προηγόρει δὲ Ἑκατώ-
νυμος δεινὸς νομιζόμενος εἶναι λέγειν· Ἔπεμψεν ἡμᾶς, ὦ ἄνδρες 8
στρατιῶται, ἡ τῶν Σινωπέων πόλις ἐπαινέσοντάς τε ὑμᾶς, ὅτι
νικᾶτε Ἕλληνες ὄντες βαρβάρους, ἔπειτα δὲ καὶ συνησθησομέ-
νους, ὅτι διὰ πολλῶν τε καὶ δεινῶν, ὡς ἡμεῖς ἠκούσαμεν, πραγ-

keinen Schaden zu. — Κοτύωρα, h. Ordu in der Bucht Perschembah.

§. 4. ἐν Βαβυλῶνι, ἐν vom Gebiete, s. IV, 8, 22 z. d. W. — μάχης, s. II, 2, 6 z. d. W. — πλῆθος, im D. übersetze, als wenn μῆκος stände.

§. 5. κατὰ ἔθνος — Ἑλλήνων frei: alle Volksstämme der Hellenen jeder für sich. — ἀγῶνας γυμνικούς, Conjunctio.

§. 6. Παφλαγονία lag zwischen Pontos und Bithynien am Pontos Euxeinos. — χωρία = Besitzungen, agri.

§. 7—12. Gesandte aus Sinope. Der drohende Wortführer.

§ 7. φοβούμενοι auf πρέσβεις bezogen, weil die ja Sinopeer sind. — περὶ τῶν Κοτυωριτῶν vorangestellt wegen der nachfolgenden parenthetischen Erklärung mit ἦν γάρ und wegen der Symmetrie mit περὶ τῆς χώρας. — ἐκείνων, Gen. poss. s. I, 1, 6 z. Τισσαφ. — φόρον ἔφερον, s. I, 2, 10 zu τὰ Λύκαια. — ἐκείνων — ἐκείνοις nachdrücklich für αὐτῶν. Es ist Constr. ad synesin auf Σινώπης. S. auch zu φοβούμενοι. — δῃουμέν. s. I, 1, 7 z. βουλευομ. u. I, 4, 16 z. διαβεβ. — προηγόρει. πρό = im Namen anderer. ἀγορ. vom Reden in der Versammlung. — δεινὸς — λέγειν, im D. gebrauche ein Hauptwort für λέγειν und δεινός als Attribut.

§. 8. ἔπεμψεν, s. I, 9, 25 z. d. W. — ἐπαινέσ. s. IV, 5, 22 z. σκεψ. — Ἑλλην. ὄντες, „als Griechen". — τε — ἔπειτα δέ, Uebergang in die adversative Verbindung, wodurch der Gedanke nachdrücklich hervorgehoben wird. — πολλῶν τε καὶ δεινῶν, s. II, 3, 18 zu πολλά. — συνησθησομένους, in σύν liegt eine zweite Captatio be-

1. zu Fuße gehen. 2. festlicher Aufzug. 3. Abgaben. 4. [illegible] 5. im Namen jemds sprechen. 6. -ήδομαι

9 μάτων σεσωσμένοι πάρεστε. ἀξιοῦμεν δὲ Ἕλληνες ὄντες καὶ
αὐτοὶ ὑφ' ὑμῶν ὄντων Ἑλλήνων ἀγαθὸν μέν τι πάσχειν, κακὸν
δὲ μηδέν· οὐδὲ γὰρ ἡμεῖς ὑμᾶς οὐδὲν πώποτε ὑπήρξαμεν κακῶς
10 ποιοῦντες. Κοτυωρῖται δὲ οὗτοι εἰσὶ μὲν ἡμέτεροι ἄποικοι, καὶ
τὴν χώραν ἡμεῖς αὐτοῖς ταύτην παραδεδώκαμεν βαρβάρους ἀφε-
λόμενοι· διὸ καὶ δασμὸν ἡμῖν φέρουσιν οὗτοι τεταγμένον καὶ
Κερασούντιοι καὶ Τραπεζούντιοι [ὡσαύτως]. ὥστε ὅ,τι ἂν τού-
11 τους κακὸν ποιήσητε ἡ Σινωπέων πόλις νομίζει πάσχειν. νῦν
δὲ ἀκούομεν ὑμᾶς εἴς τε τὴν πόλιν βίᾳ παρεληλυθότας ἐνίους
σκηνοῦν ἐν ταῖς οἰκίαις καὶ ἐκ τῶν χωρίων βίᾳ λαμβάνειν ὧν
12 ἂν δέησθε οὐ πείθοντας. ταῦτ' οὖν οὐκ ἀξιοῦμεν· εἰ δὲ ταῦτα
ποιήσετε, ἀνάγκη ἡμῖν καὶ Κορύλαν καὶ Παφλαγόνας καὶ ἄλλον
ὅντινα ἂν δυνώμεθα φίλον ποιεῖσθαι.

13 Πρὸς ταῦτα ἀναστὰς Ξενοφῶν ὑπὲρ τῶν στρατιωτῶν εἶ-
πεν, Ἡμεῖς δέ, ὦ ἄνδρες Σινωπεῖς, ἥκομεν ἀγαπῶντες ὅτι τὰ
σώματα διεσωσάμεθα καὶ τὰ ὅπλα· οὐ γὰρ ἦν δυνατὸν ἅμα τε
14 χρήματα ἄγειν καὶ φέρειν καὶ τοῖς πολεμίοις μάχεσθαι. καὶ νῦν

nevolentiae. — *σεσωσμένοι* = wohlbehalten. — *πάρεστε* prägnant: hierher gelangt seid.

§. 9. *ὄντων Ἑλλήνων* zur Verstärkung in chiastischer Stellung wiederholt. — *ἡμεῖς ὑμᾶς*, gegensätzliche Zusammenstellung. — *ὑπήρξαμεν* mit Partic., s. I, 1, 2 zu *παρὼν ἐτύγχ.* Im D. gebr. d. Perf.

§. 10. *οὗτοι* und nachher *ταύτην* sind mit einer Handbewegung zu denken. — *εἰσὶ μέν*, das *δέ* steht mit einem Wechsel der Constr. §. 11 (*μὲν* = traun Rehd.). — *ἡμεῖς αὐτοῖς*, durch Zwischenstellung betont. — *ὅ,τι — ποιήσητε* warum vorangestellt? s. I, 1, 5 zu *ὅστις* und I, 3, 5 z. *ὅ,τι ἄν*.

§. 11. *ὑμᾶς — παρεληλ.* nach I, 1, 6 z. *ἐπιβουλ.* 3 durch einen Zwischensatz mit „nachdem". — *ἐνίους*, partitive Apposition zu *ὑμᾶς*, ist nur auf *σκηνοῦν* zu beziehen. Im D. mache es frei zum Obj., indem *σκηνοῦν* durch 'unterbringen' übersetzt wird. — *ἐν ταῖς οἰκίαις καὶ ἐκ τῶν χωρ.*, Chiasmus. — *οὐ πείθοντας* hinzugesetzt, um in Xenophonteischer Klarheit einen deutlichen Gegensatz zu *βίᾳ* zu gewinnen und so den Begriff zu steigern. — *ὧν ἂν δέησθε* durch ein Hauptwort.

§. 12. *Κορύλαν*, s. VI, 1, 2. — *καὶ Παφλαγόνας* coordiniert, während wir durch 'mit' subordinieren. — *ἄλλον ὅντινα*, wir würden erwarten *ὅντινα ἄλλον* = wen sonst.

§. 13—23. Abfertigende Antwort Xenophons.

§. 13. *πρὸς ταῦτα ἀναστάς*, Asyndeton mit d. Part. an zweiter Stelle. S. I, 3, 20 z. *ἔδοξε* u. II, 4, 18 z. *ἀκούσ.* u. VII, 3, 32. — *ὑπέρ*, s. I, 3, 4 z. d. W. — *ἡμεῖς δέ*, *δέ*, weil Xenophons Rede der des Gesandten entgegensteht. Vgl. I, 7, 6 z. *ἀλλά*. — *ἥκομεν ἀγαπῶντες*, im D. mache das Partic. zum Prädicat und *ἥκομεν* coordiniere dem Nebensatze. — *διεσωσάμεθα*, warum *διά*, s. §. 8. — *ἄγειν καὶ φέρειν*, s. II, 6, 5 z. d. W. — *τε — καὶ μάχεσθ.* sind die verbundenen Sätze.

ἐπεὶ εἰς τὰς Ἑλληνίδας πόλεις ἤλθομεν, ἐν Τραπεζοῦντι μέν,
παρεῖχον γὰρ ἡμῖν ἀγοράν, ὠνούμενοι εἴχομεν τὰ ἐπιτήδεια, καί,
ἀνθ᾽ ὧν ἐτίμησαν ἡμᾶς καὶ ξένια ἔδωκαν τῇ στρατιᾷ, ἀντετι-
μῶμεν αὐτούς, καὶ εἴ τις αὐτοῖς φίλος ἦν τῶν βαρβάρων, τού-
των ἀπειχόμεθα· τοὺς δὲ πολεμίους αὐτῶν, ἐφ᾽ οὓς αὐτοὶ ἡγοῖν-
το, κακῶς ἐποιοῦμεν ὅσον ἐδυνάμεθα. ἐρωτᾶτε δὲ αὐτοὺς ὁποίων 15
τινῶν ἡμῶν ἔτυχον· πάρεισι γὰρ ἐνθάδε οὓς ἡμῖν ἡγεμόνας
διὰ φιλίαν ἡ πόλις συνέπεμψεν. ὅποι δ᾽ ἂν ἐλθόντες ἀγορὰν 16
μὴ ἔχωμεν, ἄν τε εἰς βάρβαρον γῆν ἄν τε εἰς Ἑλληνίδα, οὐχ
ὕβρει ἀλλὰ ἀνάγκῃ λαμβάνομεν τὰ ἐπιτήδεια. καὶ Καρδούχους 17
καὶ Ταόχους καὶ Χαλδαίους καίπερ βασιλέως οὐχ ὑπηκόους ὄν-
τας ὅμως καὶ μάλα φοβεροὺς ὄντας πολεμίους ἐκτησάμεθα διὰ
τὸ ἀνάγκην εἶναι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ ἀγορὰν οὐ παρεῖ-
χον. Μάκρωνας δὲ καίπερ βαρβάρους ὄντας, ἐπεὶ ἀγορὰν οἵαν 18
ἐδύναντο παρεῖχον, φίλους τε ἐνομίζομεν εἶναι καὶ βίᾳ οὐδὲν
ἐλαμβάνομεν τῶν ἐκείνων. Κοτυωρίτας δέ, οὓς ὑμετέρους φατὲ 19
εἶναι, εἴ τι αὐτῶν εἰλήφαμεν, αὐτοὶ αἴτιοί εἰσιν· οὐ γὰρ ὡς φίλοι
προσεφέροντο ἡμῖν, ἀλλὰ κλείσαντες τὰς πύλας οὔτε εἴσω ἐδέ-

§. 14. *ἐν Τραπεζοῦντι, ἐν* von der Umgegend. — *μέν*, ihm entspricht *Κοτυωρίτας δέ* im §. 19. — *παρεῖχον*, Constr. ad synesin. — *ἀνθ᾽ ὧν*, Attraction für *ἀντὶ τούτων ἅ*; *ἅ* bei *ἐτίμησεν*, s. I, 3, 3 z. *τά τε ἄλλα ἐτίμ.* — *καὶ ξένια ἔδωκαν*, erklärender Zusatz. — *εἴ τις — βαρβάρων*, Umschreibung des Objects. — *τούτων* nach dem collectiven *τίς*. — *ἡγοῖντο*, iterativ s. I, 1, 5 z. *ὅστις ἀφικνοῖτο*. — *ὅσον ἐδυνάμεθα* durch ein Hauptwort mit Präpos.

§. 15. *ὁποίων τινῶν ἡμῶν ἔτυχον*, *τυγχάν.* mit doppelt. Gen. = treffen. Wie heisst's wörtlich? frei: 'was für Männer sie etwa an uns gefunden haben'. — *οὓς ἡμῖν*, im D. muss das Demonstr. hinzugesetzt oder das in den Nbs. gezogene Subj. (*ἡγεμόν.*) vorangesetzt werden.

§. 16. *ὅποι* = wo z. *ἐλθόντες* gehörend verbinde im D. mit *μὴ ἔχωμεν* (I, 3, 5 z. *ὅ,τι ἄν*) und übers. *ἐλθ.* nach I, 1, 6 z. *ἐπιβουλ.* 1. — *ἄν τε εἰς Ἑλληνίδα*, im D. brauche mit 'sei es — sei es' selbständige Sätze und ergänze aus *ἐλθόντ.* das dazu gehörige Prädic.

§. 17. *καὶ Καρδ.*, Polysyndeton. — *καίπερ*, giebt den beiden Partic. concessiven Sinn, deshalb auch *ὅμως*, welches z. Prädic. *ἐκτησάμ.* gehört. — *καὶ μάλα* = gar sehr, im D. durch ein Hauptwort mit der Präpos. 'trotz'. — *ἐπεὶ ἀγοράν*, welche Stellung?

§. 18. *τῶν ἐκείνων*, vom Nomin. *τὰ ἐκείνων*.

§. 19. *Κοτυωρίτας*, im Folgenden steht *αὐτῶν*, weil Xen., der vielleicht *ἀφαιρεῖσθαί τινά τι* gebrauchen wollte, *εἰλήφαμεν* setzt. Andere erklären es für umgekehrte Attraction, d. h. das Subst. richtet sich hier nach dem Casus des folgenden Relativs. — *οὓς — εἶναι*, Acc. c. Inf. im Relativs., s. I, 9, 29 zu *ὃν — εἶναι*. — Frei übersetze *φατέ* durch 'nennen'. Wie ists dann mit *εἶναι*? — *προσφέρεσθαι* = se praestare, ostendere. Wie wörtlich? — *ἡμῖν* gehört nach I, 4, 8 zu *τούτων στερήσ.* auch zu

χοντο οὔτε ἔξω ἀγορὰν ἔπεμπον· ᾐτιῶντο δὲ τὸν παρ' ὑμῶν
20 ἁρμοστὴν τούτων αἴτιον εἶναι. ὃ δὲ λέγεις βίᾳ παρελθόντας
σκηνοῦν, ἡμεῖς ἠξιοῦμεν τοὺς κάμνοντας εἰς τὰς στέγας δέξασθαι· ἐπεὶ δὲ οὐκ ἀνέῳγον τὰς πύλας, ᾗ ἡμᾶς ἐδέχετο αὐτὸ τὸ χωρίον, ταύτῃ εἰσελθόντες ἄλλο μὲν οὐδὲν βίαιον ἐποιήσαμεν, σκηνοῦσι δ' ἐν ταῖς στέγαις οἱ κάμνοντες τὰ αὑτῶν δαπανῶντες, καὶ τὰς πύλας φρουροῦμεν, ὅπως μὴ ἐπὶ τῷ ὑμετέρῳ ἁρμοστῇ ὦσιν οἱ κάμνοντες ἡμῶν, ἀλλ' ἐφ' ἡμῖν ᾖ κομίσασθαι,
21 ὅταν βουλώμεθα. οἱ δὲ ἄλλοι, ὡς ὁρᾶτε, σκηνοῦμεν ὑπαίθριοι
ἐν τῇ τάξει, παρεσκευασμένοι, ἂν μέν τις εὖ ποιῇ, ἀντ' εὖ
22 ποιεῖν, ἂν δὲ κακῶς, ἀλέξασθαι. ἃ δὲ ἠπείλησας ὡς, ἢν ὑμῖν
δοκῇ, Κορύλαν καὶ Παφλαγόνας συμμάχους ποιήσεσθε ἐφ' ἡμᾶς, ἡμεῖς δέ, ἢν μὲν ἀνάγκη ᾖ, πολεμήσομεν καὶ ἀμφοτέροις· ἤδη γὰρ καὶ ἄλλοις πολλαπλασίοις ὑμῶν ἐπολεμήσαμεν· ἂν δὲ δοκῇ
23 ἡμῖν, καὶ φίλον ποιεῖσθαι τὸν Παφλαγόνα. ἀκούομεν δὲ αὐτὸν
καὶ ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως καὶ χωρίων τῶν ἐπιθαλαττίων. πειρασόμεθα συμπράττοντες αὐτῷ ὧν ἐπιθυμεῖ φίλοι γίγνεσθαι.

24 Ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ συμπρέσβεις τῷ Ἑκα-

ἐδέχοντο. — παρ' ὑμῶν, im D. füge das Particip. 'eingesetzt' hinzu.

§. 20. ὃ δὲ λέγεις = quod autem dicis für quod attinet ad id, quod dicis. Den Zwischengedanken zu dem folgenden Satze: 'so verhält sich die Sache so' oder: „so wisse" lässt Xen. aus. — παρελθόντας hier ohne ἡμᾶς (s. oben §. 11), weil nur einige es gethan haben; übers. also: „dass einige Eingedrungene." — δέξασθαι, zu dem eigentlich αὐτούς als Subj. zu denken ist, übers. durch das abstr. Subst. zu dem τοὺς κάμν. attrib. Gen. wird. — τὸ χωρίον δέχεται = 'der Ort selbst nimmt gastlich auf' d. h. 'er gestattet den Zugang', weil die Verschanzung des Orts an einigen Stellen verfallen war. — εἰσελθόντες — ἐποιήσαμεν, im D. mache das Partic. zum Prädicat und subordiniere ἐποιήσαμεν durch 'ohne zu'. — σκηνοῦσι mit Nachdruck voran: 'es lagern aber die'. — τὰ αὑτῶν „ihr eigenes Geld" übers. so, dass δαπαν. scheinbar unübersetzt bleibt. — φρουροῦμεν chiastisch zu σκηνοῦσι. — ἐπί c. Dat., s. I, 1, 4 zu ἐπί τινι εἶναι. — κομίσασθαι, das Obj. aus κάμνοντες leicht zu ergänzen.

§. 21. οἱ δὲ ἄλλοι, Apposition zu dem in σκηνοῦμ. liegenden Subj. s. I, 5, 16 z. d. W. — ὑπαίθριοι, s. I, 2, 25 zu προτέρα. — τῇ τάξ. s. I, 1, 2 z. τῶν Ἑλλήν. — ἂν μέν τις — ποιῇ s. I, 5, 3 z. ἄν τις — ἀνιστῇ.

§. 22. ἃ δὲ ἠπείλησας, s. §. 20 zu ὃ δέ. — ἡμεῖς δέ als ginge σὺ μὲν ἠπείλησας vorher. Solche Sätze erscheinen als selbständige Sätze und erhalten dadurch mehr Nachdruck. — ὑμῶν, Gen. weil in πολλαπλασίοις der Begriff des Comparativs liegt. — τὸν Παφλαγόνα, das Volk als Einheit gefasst, das durch den Fürsten repräsentiert wird. So auch wir: 'der Russe will Krieg'.

§. 24—25. Die fügsamen Gesandten.

§. 24. δῆλοι c. Partic., s. I, 2, 11

τωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις, παρελθὼν δ᾽ αὐτῶν ἄλλος εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι ἥκοιεν, ἀλλὰ ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. καὶ ξενίοις, ἢν μὲν ἔλθητε πρὸς τὴν Σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα, νῦν δὲ τοὺς ἐνθάδε κελεύσομεν διδόναι ἃ δύνανται· ὁρῶμεν γὰρ πάντα ἀληθῆ ὄντα, ἃ λέγετε. ἐκ τούτου ξένιά τε ἔπεμπον οἱ Κοτυωρῖται καὶ οἱ 25
στρατηγοὶ τῶν Ἑλλήνων ἐξένιζον τοὺς τῶν Σινωπέων πρέσβεις, καὶ πρὸς ἀλλήλους πολλά τε καὶ φιλικὰ διελέγοντο τά τε ἄλλα καὶ περὶ τῆς λοιπῆς πορείας ἀνεπυνθάνοντο ὧν ἑκάτεροι ἐδέοντο.

Ταύτῃ μὲν τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος ἐγένετο. τῇ δὲ VI.
ὑστεραίᾳ συνέλεξαν οἱ στρατηγοὶ τοὺς στρατιώτας, καὶ ἐδόκει αὐτοῖς περὶ τῆς λοιπῆς πορείας παρακαλέσαντας τοὺς Σινωπέας βουλεύεσθαι. εἴτε γὰρ πεζῇ δέοι πορεύεσθαι, χρήσιμοι ἂν ἐδόκουν εἶναι οἱ Σινωπεῖς. ἔμπειροι γὰρ ἦσαν τῆς Παφλαγονίας· εἴτε κατὰ θάλατταν, προσδεῖν ἐδόκει Σινωπέων· μόνοι γὰρ ἂν ἐδόκουν ἱκανοὶ εἶναι πλοῖα παρασχεῖν ἀρκοῦντα τῇ στρατιᾷ. καλέσαντες οὖν τοὺς πρέσβεις συνεβουλεύοντο, καὶ 2
ἠξίουν Ἕλληνας ὄντας Ἕλλησι τούτῳ πρῶτον καλῶς δέχεσθαι τῷ εὔνους τε εἶναι καὶ τὰ κάλλιστα συμβουλεύειν.

Ἀναστὰς δὲ Ἑκατώνυμος πρῶτον μὲν ἀπελογήσατο περὶ 3
οὗ εἶπεν ὡς τὸν Παφλαγόνα φίλον ποιήσοιντο, ὅτι οὐχ ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν εἴποι, ἀλλ᾽ ὅτι ἐξὸν τοῖς

z. d. W. — παρελθών vom Auftreten der Redner. — ἥκοιεν und εἰσί, Wechsel des Modus in der orat. obliq. — δεξόμεθα, Uebergang in orat. dir.

§. 25. ἀνεπυνθάν. sc. Griechen und Sinopeer, die auch zur Erfüllung ihrer Versprechungen mancherlei Nachweisungen bedurften.

VI. Berathungen der Griechen über die Heimreise.

§. 1—10. Die Gesandten der Sinopeer rathen zur Seereise. In der Rede giebt Xen. die gezierte Redeweise des Hekatonymos sehr schön wieder.

§. 1. παρακαλέσαντας, Acc. nach vorhergehendem Dativ. — ἄν, zu εἶναι gehörig, hebt durch seine Stellung das Adject. S. auch I, 3, 6 z. d. W. — προσδεῖν, πρός? — παρασχεῖν, warum zwischengestellt?

§. 2. Ἕλληνας ὄντας Ἕλλησι, Paronomasie durch die beliebte Nebeneinanderstellung gleichartiger Begriffe. Gewöhnlich lässt man den Dativ von εὔνους abhängig sein, doch kann man ihn auch als Dativ. ethic. fassen: ‘Sie wünschten, dass Leute, welche Hellenen für Hellenen wären, dadurch zuerst — dass’. — τούτῳ bereitet vor.

§. 3. περὶ οὗ εἶπεν durch ein Hauptw. mit Präpos. — περὶ οὗ, Attract., s. I, 3, 4 zu ἀνθ᾽ ὧν. — ὅτι — εἴποι hängt von dem in ἀπελογήσατο liegenden ἔλεγεν ab. Im D. gebrauche die orat. obl. in der Form eines Hauptsatzes. — ὡς c. Gen. absol., s. I, 3, 6 und I, 1, 6 z. d. W. = als wollten sie k. —

βαρβάροις φίλους εἶναι τοὺς Ἕλληνας αἱρήσονται. ἐπεὶ δὲ
4 συμβουλεύειν ἐκέλευον, ἐπευξάμενος εἶπεν ὧδε. Εἰ μὲν συμ-
βουλεύοιμι ἃ βέλτιστά μοι δοκεῖ εἶναι, πολλά μοι κἀγαθὰ
γένοιτο· εἰ δὲ μή, τἀναντία. αὕτη γὰρ ἡ ἱερὰ συμβουλὴ λεγο-
μένη εἶναι δοκεῖ μοι παρεῖναι· νῦν γὰρ δή, ἂν μὲν εὖ συμβου-
λεύσας φανῶ, πολλοὶ ἔσονται οἱ ἐπαινοῦντές με. ἂν δὲ κακῶς,
5 πολλοὶ ἔσεσθε οἱ καταρώμενοι. πράγματα μὲν οὖν οἶδ' ὅτι πολὺ
πλείω ἕξομεν, ἐὰν κατὰ θάλατταν κομίζησθε· ἡμᾶς γὰρ δεήσει
τὰ πλοῖα πορίζειν· ἢν δὲ κατὰ γῆν στέλλησθε, ὑμᾶς δεήσει τοὺς
6 μαχομένους εἶναι. ὅμως δὲ λεκτέα ἃ γιγνώσκω· ἔμπειρος γάρ
εἰμι καὶ τῆς χώρας τῆς Παφλαγόνων καὶ τῆς δυνάμεως. ἔχει
7 γὰρ ἀμφότερα, καὶ πεδία κάλλιστα καὶ ὄρη ὑψηλότατα. καὶ πρῶ-
τον μὲν οἶδα εὐθὺς ᾗ τὴν εἰσβολὴν ἀνάγκη ποιεῖσθαι· οὐ γὰρ
ἔστιν ἄλλη ἢ ᾗ τὰ κέρατα τοῦ ὄρους τῆς ὁδοῦ καθ' ἑκάτερά
ἐστιν ὑψηλά, ἃ κρατεῖν κατέχοντες καὶ πάνυ ὀλίγοι δύναιντ' ἄν·

ἀλλ' sc. εἴποι, sondern dass er gemeint habe. — ἐξόν, s. II, 5, 22 z. d. W. — αἱρήσονται, Fut., um die Gewissheit des Eintretens stärker auszudrücken. — Welcher Constr. im Vorhergehenden steht dieser Satz parallel? — ἐπευξάμ. nach I, 1, 6 zu ἐπιβ. 2.

§. 4. πολλὰ κἀγαθά, s. II, 3, 18 z. d. W. — γένοιτο drückt hier einen erfüllbaren Wunsch aus. — αὕτη, s. I, 1, 7 z. d. W. — γάρ gibt den Grund an, weshalb er mit e. Wunsche begonnen. — λεγομένη εἶναι gehört zu ἱερά; im D. genügt das Partic. Xenoph. meint das Sprichwort: ἱερὸν ἡ συμβουλὴ χρῆμα. Sinn: Hier hat jene durch das bekannte Sprichwort eingeschärfte Heiligkeit des Raths ihre Stelle, d. h. dies ist ein Fall, bei dem Gewissenhaftigkeit in Ertheilung von Rathschlägen sich zeigen muss. (Rehd.: „hier muss ich ohne Rücksicht rathen".) — νῦν γάρ begründet auch den verkürzten Bedingungssatz. — ἔσονται — ἔσεσθε. Der Wechsel der Personen deutet an, dass das Lob ihm auch von andern zu Theil werden wird. — S. auch III, 1, 42 z. ἡ ποιοῦσα. — οἱ καταρώμ. Appos. s. z. II, 5, 25 z. οἱ στρατηγ. u. I, 5, 16 z. ἄλλοι.

§. 5. πράγματα durch Stellung betont. Bedeutung s. IV, 1, 17. — ἐὰν κ. τ. λ., beachte die Anaphora in den parallelen Sätzen. — δεήσει, im D. persönlich. — τὰ πλοῖα, s. I, 3, 20 zu τὴν δίκην. — τοὺς μαχομέν. s. III, 1, 42.

§. 6. γάρ begründet das λεκτέα. — Παφλαγόνων, Zwischenstellung. — τῆς δυνάμ. s. I, 1, 2 z. τ. Ἑλλήν. — ἔχει γάρ, γάρ = nämlich, ist ausführend zu ἔμπειρος. — In den folgenden Paragraphen werden πεδία und ὄρη in umgekehrter Ordnung besprochen.

§. 7. πρῶτον, das letztgenannte ὄρη bespricht er zuerst und mit ἔπειτα kommt er auf πεδία. — εἰσβολὴν ποιεῖσθαι, s. I, 1, 6 zu ποιεῖσθαι. — ἔστιν = 'es ist möglich'. Was ist aus dem Vorhergehenden hinzuzudenken? — ἄλλη ἢ ᾗ, kein Misslaut, sondern Parechese. — τῆς ὁδοῦ καθ' ἑκάτερα = auf beiden Seiten des Weges. Rehd. nachbildend: „Die Zinken des Gebirges zu des Weges Rechten und Linken." Die Worte τὰ κέρατα — ἑκάτερα bilden einen allitterierenden Chiasmus. — ἃ ge-

1. vorziehen 2. lautet er 3. Hier scheint mir der sog. heilige Rat seine Stelle zu haben. 4. …ρώμενοι verwünschen 5. Rauben

τούτων δὲ κατεχομένων οὐδ' ἂν οἱ πάντες ἄνθρωποι δύναιντ'
ἂν διελθεῖν. ταῦτα δὲ καὶ δείξαιμι ἄν, εἴ μοί τινα βούλεσθε
συμπέμψαι. ἔπειτα δὲ οἶδα καὶ πεδία ὄντα καὶ ἱππείαν, ἣν αὐ- 8
τοὶ οἱ βάρβαροι νομίζουσι κρείττω εἶναι ἁπάσης τῆς βασιλέως
ἱππείας. καὶ νῦν οὗτοι οὐ παρεγένοντο βασιλεῖ καλοῦντι, ἀλλὰ
μεῖζον φρονεῖ ὁ ἄρχων αὐτῶν. εἰ δὲ καὶ δυνηθεῖτε τά τε ὄρη 9
κλέψαι ἢ φθάσαι λαβόντες καὶ ἐν τῷ πεδίῳ κρατῆσαι μαχόμενοι
τούς τε ἱππέας τούτων καὶ πεζῶν μυριάδας πλέον ἢ δώδεκα,
ἥξετε ἐπὶ τοὺς ποταμούς, πρῶτον μὲν τὸν Θερμώδοντα, εὖρος
τριῶν πλέθρων, ὃν χαλεπὸν οἶμαι διαβαίνειν ἄλλως τε καὶ πολε-
μίων πολλῶν ἔμπροσθεν ὄντων, πολλῶν δὲ ὄπισθεν ἑπομένων·
δεύτερον δ' Ἶριν, τρίπλεθρον ὡσαύτως· τρίτον δ' Ἅλυν, οὐ
μεῖον δυοῖν σταδίοιν, ὃν οὐκ ἂν δύναισθε ἄνευ πλοίων διαβῆναι·
πλοῖα δὲ τίς ἔσται ὁ παρέχων; ὡς δ' αὔτως καὶ ὁ Παρθένιος
ἄβατος· ἐφ' ὃν ἔλθοιτε ἄν, εἰ τὸν Ἅλυν διαβαίητε. ἐγὼ μὲν 10
οὖν οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν ἀλλὰ παντά-
πασιν ἀδύνατον. ἂν δὲ πλέητε, ἔστιν ἐνθένδε μὲν εἰς Σινώπην

hört z. *κατέχοντες*: 'in deren Besitz'. — *τούτων κατεχομένων* conditional. — *οἱ πάντες ἄνθρωποι* = 'die gesammte Menschheit'. Der Satz dient zur Verstärkung des vorigen Gedankens. — Hekatonymos spricht hier von dem westlichen Ende des Gebirgsrückens, der in dem Iasonium-Vorgebirge (Iassun-Burun) ausläuft und in dem ein Gebirgspass sich findet. Dass der Redner etwas übertrieben, erhellt aus VI, 1, 1 sqq.

§. 8. *ἱππείαν* mit *πεδία* zusammengestellt, weil Macht der Reiterei sich gerade in der Ebene zeigt. — *καλοῦντι*, im D. ein Hauptwort, zu dem *βασιλεῖ* Attrib. wird. Auch im D. wird rufen so gebraucht: „Der König rief, und alle, alle kamen". „Noch einmal ruft das Vaterland seine Söhne zu den Waffen". Kronprinzessin Victoria, Aufruf vom 19. Juli 1870. — *μεῖζον*, dem Comp. ohne ein zweites Glied fügen wir 'zu' hinzu. Anders I, 4, 9 zu *ἀθυμότερ*.

§. 9. *εἰ — δυνηθ*. s. I, 1, 10 z. *πρὶν ἄν*. — *κλέψαι*, s. IV, 6, 11 z. d. W. — *τούτων*, Zwischenstellung. — *ἐπὶ τούς*, der Artikel steht demonstrativ. Wir: 'folgende'. — *Θερμώδοντα*, der heutige Termehtschai. — *τριῶν πλέθρων*, s. I, 2, 23 z. d. W. und Exc. §. 24, 6. — *ἄλλως τε καί* = zumal, vollends. — *πολλῶν*, Anaphora wie III, 1, 23 z. *ἔχομεν*. — *Ἶριν*, d. h. Jeschil-Irmak d. i. Grünstrom. — *Ἅλυν*, d. h. Kysyl-Irmak. — *σταδίοιν*, welches Hauptwort stand kurz vorher dabei? — *ἔσται ὁ παρέχων*, Umschreibung. — *Παρθένιος*, d. h. Filijass-Tschai, Grenzfluss zwischen Paphlagonien und Bithynien. — *ἐφ' ὃν — διαβαίητε*, diese Form des Bedingungssatzes ist gewählt, weil der Redende nicht das Bewusstsein hat, dass die Bedingung sich verwirklicht und auch ungewiss ist, dass der Eintritt derselben die ausgesprochene Wirkung hat (urbane Form der Bedingungssätze).

§. 10. *χαλεπήν* in welcher Stellung zu *ἀδύνατον*? — *οὐ* = 'nicht nur' verstärkt den Ton und Gegensatz zu *ἀδύνατον*. — *νομίζω* statt

παραπλεῦσαι, ἐκ Σινώπης δὲ εἰς Ἡράκλειαν· ἐξ Ἡρακλείας δὲ
οὔτε πεζῇ οὔτε κατὰ θάλατταν ἀπορία· πολλὰ γὰρ καὶ πλοῖά
ἐστιν ἐν Ἡρακλείᾳ.
11 Ἐπεὶ δὲ ταῦτα ἔλεξεν, οἱ μὲν ὑπώπτευον φιλίας ἕνεκα
τῆς Κορύλα λέγειν· καὶ γὰρ ἦν πρόξενος αὐτῷ· οἱ δὲ καὶ ὡς
δῶρα ληψόμενον διὰ τὴν συμβουλὴν ταύτην· οἱ δὲ ὑπώπτευον
καὶ τούτου ἕνεκα λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν Σινωπέων τι
χώραν κακὸν ἐργάζοιντο. οἱ δ' οὖν Ἕλληνες ἐψηφίσαντο κατὰ
12 θάλατταν τὴν πορείαν ποιεῖσθαι. μετὰ ταῦτα Ξενοφῶν εἶπεν,
Ὦ Σινωπεῖς, οἱ μὲν ἄνδρες ᾕρηνται πορείαν ἣν ὑμεῖς συμβου-
λεύετε· οὕτω δὲ ἔχει· εἰ μὲν πλοῖα ἔσεσθαι μέλλει ἱκανὰ, ὡς
ἀριθμῷ ἕνα μὴ καταλείπεσθαι ἐνθάδε, ἡμεῖς ἂν πλέοιμεν· εἰ
δὲ μέλλοιμεν οἱ μὲν καταλείψεσθαι, οἱ δὲ πλεύσεσθαι, οὐκ ἂν
13 ἐμβαίημεν εἰς τὰ πλοῖα. γιγνώσκομεν γάρ, ὅτι, ὅπου μὲν ἂν
κρατῶμεν, δυναίμεθ' ἂν καὶ σώζεσθαι καὶ τὰ ἐπιτήδεια ἔχειν·
εἰ δέ που ἥττους τῶν πολεμίων ληφθησόμεθα, εὔδηλον δὴ ὅτι
ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. ἀκούσαντες ταῦτα οἱ πρέσβεις
14 ἐκέλευον πέμπειν πρέσβεις. καὶ πέμπουσι Καλλίμαχον Ἀρκάδα
καὶ Ἀρίστωνα Ἀθηναῖον καὶ Σαμόλαν Ἀχαιόν. καὶ οἱ μὲν
ᾤχοντο.
15 Ἐν δὲ τούτῳ τῷ χρόνῳ Ξενοφῶντι, ὁρῶντι μὲν ὁπλίτας

des Acc. c. Inf. übersetze durch 'halten'. — Ἡράκλειαν, d. h. Eregli. — οὔτε — ἀπορία, es ist nichts zu ergänzen; im D. sagt man auch: ist weder zu — noch — eine Schwierigkeit. — καὶ πλοῖα, neben andern Hülfsmitteln sc. für den Fall einer Seereise.

§. 11—14. Die Griechen stimmen bei und schicken Gesandte nach Sinope.

§. 11. Beachte den Unterschied des Baus im dreigliedrigen Satze und den Wechsel der Construction. — τῆς Κορύλα, Gen. obj. — λέγειν zweimal gesetzt gehört auch z. dem zweiten Satze, speciell zu ληψόμενον. — πεζῇ ἰόντες frei: bei dem Marsche zu Lande. — οὖν, s. I, 2, 12 z. d. W. — τ. πορ. ποιεῖσθαι, s. I, 1, 6 z. ποιεῖσθαι.

§. 12. οὕτω δὲ ἔχει frei: doch unter folgender Bedingung. Wie wörtlich? — ἀριθμῷ, verstärkt den in ἕνα μή liegenden Nachdruck. — ἡμεῖς steht nicht des Gegensatzes, sondern des Nachdrucks wegen. — εἰ δὲ μέλλοιμεν οἱ μὲν — οἱ δέ wörtlich: Wenn wir es aber treffen sollten, dass einige u. s. w.

§. 13. ὅπου μὲν — εἰ δέ Wechsel der Satzform. — ὅπου κρατῶμεν d. h. wo immer wir beisammen und somit überlegen sind. S. I, 3, 5 z. ὅ,τι ἄν. — δυναίμεθα ἄν s. I, 6, 2 z. ἄν. — χώρᾳ in numero, loco.

§. 14. πρέσβεις — πρέσβεις, eine Antistrophe zur Hebung des letzten Worts. — πέμπουσι, Wechsel des Subjects.

§. 15—27. Xenophons Plan, eine Stadt am Pontus zu gründen, findet Gegner.

§. 15. ὁρῶντι — ὁρῶντι, Anaphora. S. I, 3, 16 z. ἐπιδεικν. —

πολλοὺς τῶν Ἑλλήνων, ὁρῶντι δὲ καὶ πελταστὰς πολλοὺς καὶ τοξότας καὶ σφενδονήτας καὶ ἱππέας δὲ καὶ μάλα ἤδη διὰ τὴν τριβὴν ἱκανούς, ὄντας δ' ἐν τῷ Πόντῳ, ἔνθα οὐκ ἂν ἀπ' ὀλίγων χρημάτων τοσαύτη δύναμις παρεσκευάσθη, καλὸν αὐτῷ ἐδόκει εἶναι καὶ χώραν καὶ δύναμιν τῇ Ἑλλάδι προσκτήσασθαι πόλιν κατοικίσαντας. καὶ γενέσθαι ἂν αὐτῷ ἐδόκει μεγάλη, 16
καταλογιζομένῳ τό τε αὐτῶν πλῆθος καὶ τοὺς περιοικοῦντας τὸν Πόντον. καὶ ἐπὶ τούτοις ἐθύετο πρίν τινι εἰπεῖν τῶν στρατιωτῶν Σιλανὸν παρακαλέσας, τὸν Κύρου μάντιν γενόμενον, τὸν Ἀμβρακιώτην. ὁ δὲ Σιλανὸς δεδιώς, μὴ γένηται 17
ταῦτα καὶ καταμείνῃ που ἡ στρατιά, ἐκφέρει εἰς τὸ στράτευμα λόγον, ὅτι Ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιὰν καὶ πόλιν οἰκίσαι καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι. αὐτὸς δ' ὁ Σιλανὸς ἐβούλετο ὅτι τάχιστα εἰς τὴν Ἑλλάδα ἀφικέσθαι· οὓς γὰρ παρὰ Κύρου ἔλαβε τρισχιλίους δαρεικούς, 18
ὅτε τὰς δέκα ἡμέρας ἠλήθευσε θυόμενος Κύρῳ, διεσεσώκει. τῶν δὲ στρατιωτῶν, ἐπεὶ ἤκουσαν, τοῖς μὲν ἐδόκει βέλτιστον 19
εἶναι καταμεῖναι, τοῖς δὲ πολλοῖς οὔ. Τιμασίων δὲ ὁ Δαρδανεὺς καὶ Θώραξ ὁ Βοιώτιος πρὸς ἐμπόρους τινὰς παρόντας τῶν Ἡρακλεωτῶν καὶ Σινωπέων λέγουσιν, ὅτι, εἰ μὴ ἐκποριοῦσι τῇ στρατιᾷ μισθόν, ὥστε ἔχειν τὰ ἐπιτήδεια ἐκπλέον-

Wegen des Particips s. I, 1, 7 z. *βουλευομένους*. — *καὶ μάλα*, s. I, 5, 8 z. d. W. — *ἔνθα — παρεσκευάσθη*, der verschwiegene Bedingungssatz ist: 'wenn man ein Heer hätte sammeln' oder 'eine Colonie hätte gründen wollen'. — *ἂν — παρασκ.* Im D. Conj. Plqpf. — *αὐτῷ* steht, weil das Substantiv (*Ξενοφῶντι*) so weit von *ἐδόκει* getrennt ist. — *προσκτήσασθαι*, warum *πρός*? — *κατοικίσαντας*, 'dadurch dass'.

§. 16. *γενέσθαι ἂν* s. I, 3, 6 z. *ἂν εἶναι*. — *αὐτῶν*, der Griechen. — *ἐπὶ τούτοις*, s. III, 5, 18 z. d. W. — *Σιλανόν*, s. I, 7, 18. — *ἐθύετο*, warum das Imperf.? — *παρακαλέσας*, im D. nimm es vorauf und übersetze nach I, 1, 6 z. *ἐπιβουλ*. 2.

§. 17. *ἐκφέρει — λόγον*, aussprengen (das Gerücht). — *βούλεται* regiert hier den Acc. c. Inf. und die folg. Infin. — *περιποιήσασθαι*, weil das Heer mit seiner Macht und seinen Mitteln es ausführen muss. — *ἑαυτῷ*, Dat. commodi = zum Vortheile des Xenophon selbst. S. I, 3, 3 z. *ἐμοί*. — Aus anderm Grunde steht I, 8, 29 das Reflexiv beim Medium.

§. 18. *παρὰ Κύρου*, s. I, 7, 18. — *δαρεικούς* setzen wir in den Hauptsatz. — Warum der Relativsatz voran? — *ἠλήθευσε*, s. IV, 4, 15 z. d. W. und I, 2, 10 z. *τὰ Λύκ.* u. II, 1, 5 z. *μάχην*. — *τάς*, der Artikel wegen I, 7, 18 gesetzt.

§. 19. *τῶν δὲ στρατ.* Das durch Stellung betonte Attrib. wird im D. Subj. des Nebensatzes. — *Τιμασίων*, s. III, 1, 47. — *ὅτι* nach dem Zwischensatze wiederholt wie *μή* III, 2, 25. — *ἐκποριοῦσι*, übersetze impersonell. — *ἐκπλέοντας* nach dem collectiven *στρατιᾷ*.

1. und zwar sehr. 2. Übung. 3. tüchtig. 4. hätte zusammengebracht werden können. 5. mehr zugetragen. 6. Kaufleute. 7. man verschaffe.

τας, ὅτι κινδυνεύσει μεῖναι τοσαύτη δύναμις ἐν τῷ Πόντῳ· βούλεται γὰρ Ξενοφῶν καὶ ἡμᾶς παρακαλεῖ, ἐπειδὰν ἔλθῃ τὰ
20 πλοῖα, τότε εἰπεῖν ἐξαίφνης τῇ στρατιᾷ, "Ἄνδρες, νῦν μὲν ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας καὶ ἐν τῷ ἀπόπλῳ ἔχειν τὰ ἐπιτήδεια καὶ [ὡς] οἴκαδε ἀπελθόντας ὀνῆσαί τι τοὺς οἴκοι· εἰ δὲ βούλεσθε, τῆς κύκλῳ χώρας περὶ τὸν Πόντον οἰκουμένης ἐκλεξάμενοι ὅποι ἂν βούλησθε, κατασχεῖν, καὶ τὸν μὲν ἐθέλοντα ἀπιέναι οἴκαδε, τὸν δ' ἐθέλοντα μένειν αὐτοῦ, πλοῖα δ' ὑμῖν πάρεστιν, ὥστε ὅπῃ
21 ἂν βούλησθε ἐξαίφνης ἂν ἐπιπέσοιτε. ἀκούσαντες ταῦτα οἱ ἔμποροι ἀπήγγελλον ταῖς πόλεσι· συνέπεμψε δ' αὐτοῖς Τιμασίων ὁ Δαρδανεὺς Εὐρύμαχόν τε τὸν Δαρδανέα καὶ Θώρακα τὸν Βοιώτιον τὰ αὐτὰ ταῦτα ἐροῦντας. Σινωπεῖς δὲ καὶ Ἡρακλεῶται ταῦτα ἀκούσαντες πέμπουσι πρὸς τὸν Τιμασίωνα καὶ κελεύουσι προστατεῦσαι λαβόντα χρήματα, ὅπως ἐκπλεύσῃ ἡ στρατιά.
22 ὁ δὲ ἄσμενος ἀκούσας ἐν συλλόγῳ τῶν στρατιωτῶν ὄντων λέγει τάδε. Οὐ δεῖ προσέχειν μονῇ, ὦ ἄνδρες, οὐδὲ τῆς Ἑλλάδος
23 οὐδὲν περὶ πλείονος ποιεῖσθαι. ἀκούω δέ τινας θύεσθαι ἐπὶ τούτῳ οὐδ' ὑμῖν λέγοντας. ὑπισχνοῦμαι δὲ ὑμῖν, ἂν ἐκπλέητε, ἀπὸ νουμηνίας μισθοφορὰν παρέξειν κυζικηνὸν ἑκάστῳ τοῦ μηνός· καὶ ἄξω ὑμᾶς εἰς τὴν Τρῳάδα, ἔνθεν καί εἰμι φυγάς,
24 καὶ ὑπάρξει ὑμῖν ἡ ἐμὴ πόλις· ἑκόντες γάρ με δέξονται. ἡγή-

— κινδυνεύσει, den Versuch machen. — Der Ausdruck bezeichnet, dass das Heer Angriffe der Einwohner zu fürchten hat. — βούλεται, Uebergang in die orat. directa.

§. 20. ἡμᾶς — ὄντας, die gewöhnliche Nominativattraction ist aufgegeben, damit Subj. und Object mit Nachdruck hervorgehoben werden. — ἐν ἀπόπλῳ = ἀποπλέοντας steht parallel dem ἀπελθόντας. — χώρας, Gen. partit. z. ἐκλεξάμενοι, frei: 'ein Stück Land aus dem rings um den Pontus gelegenen Gebiete'. — κατασχεῖν und die folgenden Acc. c. Inf.: καὶ τὸν ἐθέλ. ἀπιέναι — μένειν hängen von βούλεσθε ab. — τὸν ἐθέλ. s. I, 3, 9 z. τὸν βουλόμ. = „dass, wer L. hat — abziehe". — πλοῖα δ', hier beginnt der Nachsatz. Warum haben die Zurückbleibenden Schiffe nöthig? — ὥστε mit Opt. potent.

§. 21. ἀκούσαντες bleibt unübersetzt. — ἐροῦντας s. IV, 5, 22 z. σκεψόμ. — προστατεῦσαι — ὅπως, auctoritate sua efficere, ut.

§. 22. ἄσμενος, s. I, 2, 25 zu προτέρα, s. auch II, 1, 16. — ὄντων lass unübersetzt und fasse στρατιωτ. als Attribut. — τῆς Ἑλλάδος hängt vom Comparativ ab. — οὐδ' — λέγοντας, s. I, 2, 22 z. οὐδεν.

§. 23. τινας, Plur., obwohl Xen. allein gemeint ist. Im D. wird „gewisse Leute" oft ebenso gebraucht. — κυζικηνόν, Excurs. §. 5 Anm. 1. Kyzikos war eine Stadt Mysiens, sie gab der Münze den Namen, wie Joachimsthal. Vom Gepräge dieser Münze sagt ein griech. Grammat.: πρόσωπον δὲ ἦν γυναικεῖον ὁ τύπος, ἐπὶ δὲ θατέρου προτομὴ λέοντος. — πόλις metonymisch für die Bewohner, daher ἑκόντες.

§. 24. αὐτὸς ἐγώ hat besondern

1. angreifen. 2. auf Bleiben zu denken. 3. Neumond. 4. Sold. 5. zu Diensten stehen.

σομαι δὲ αὐτὸς ἐγὼ ἔνθεν πολλὰ χρήματα λήψεσθε. ἔμπειρος
δέ εἰμι τῆς Αἰολίδος καὶ τῆς Φρυγίας καὶ τῆς Τρῳάδος καὶ τῆς
Φαρναβάζου ἀρχῆς πάσης, τὰ μὲν διὰ τὸ ἐκεῖθεν εἶναι, τὰ δὲ
διὰ τὸ συνεστρατεῦσθαι ἐν αὐτῇ σὺν Κλεάρχῳ τε καὶ Δερ-
κυλίδᾳ. ἀναστὰς αὖθις Θώραξ ὁ Βοιώτιος, ὃς ἀεὶ περὶ στρα- 25
τηγίας Ξενοφῶντι ἐμάχετο, ἔφη, εἰ ἐξέλθοιεν ἐκ τοῦ Πόντου,
ἔσεσθαι αὐτοῖς Χερρόνησον, χώραν καλὴν καὶ εὐδαίμονα, ὥστε
τῷ βουλομένῳ ἐνοικεῖν, τῷ δὲ μὴ βουλομένῳ ἀπιέναι οἴκαδε.
γελοῖον δὲ εἶναι ἐν τῇ Ἑλλάδι οὔσης χώρας πολλῆς καὶ ἀφθό-
νου ἐν τῇ βαρβάρων μαστεύειν. ἔστε δ᾽ ἄν, ἔφη, ἐκεῖ γένησθε, 26
κἀγὼ καθάπερ Τιμασίων, ὑπισχνοῦμαι ὑμῖν τὴν μισθοφοράν.
ταῦτα δὲ ἔλεγεν εἰδὼς ἃ Τιμασίωνι οἱ Ἡρακλεῶται καὶ οἱ Σι-
νωπεῖς ὑπισχνοῦντο ὥστε ἐκπλεῖν. ὁ δὲ Ξενοφῶν ἐν τούτῳ
ἐσίγα. ἀναστὰς δὲ Φιλήσιος καὶ Λύκων οἱ Ἀχαιοὶ ἔλεγον ὡς 27
δεινὸν εἴη ἰδίᾳ μὲν Ξενοφῶντα πείθειν τε καταμένειν καὶ θύε-
σθαι ὑπὲρ τῆς μονῆς [μὴ κοινούμενον τῇ στρατιᾷ], εἰς δὲ τὸ
κοινὸν μηδὲν ἀγορεύειν περὶ τούτων. ὥστε ἠναγκάσθη ὁ Ξε-
νοφῶν ἀναστῆναι καὶ εἰπεῖν τάδε. Ἐγώ, ὦ ἄνδρες, θύομαι 28
μέν, ὡς ὁρᾶτε, ὁπόσα δύναμαι καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ ἐμαυ-
τοῦ, ὅπως ταῦτα τυγχάνω καὶ λέγων καὶ νοῶν καὶ πράττων,

Nachdruck. — *ἔνθεν*, das Demonstr. fehlt. S. auch I, 2, 8 zu *ὅθεν*. — *λήψεσθε* s. I, 3, 14 z. *ὅστις* — *ἀπάξει*. — *ἀρχῆς*, zu der ausser den genannten Provinzen noch Bithynien gehörte. — *σὺν Κλ. τε καὶ Δερκυλ.*, *σύν* = bei, unter. Derkylidas war damals, i. J. 411 v. Chr., Harmost zu Abydos und Befehlshaber des Landheeres; Klearchos befehligte die Schiffe der Spartaner.

§. 25. *ἀναστάς*, Asyndeton mit d. Part. an der Spitze, s. I, 3, 20 z. *ἔδοξε* und II, 4, 18 z. *ἀκούσαντες*. — *ὥστε* = und so. — *τῷ βουλομ. ἐνοικ. κ. τ. λ.* hängen auch von dem mit Nachdruck an die Spitze gestellten *ἔσεσθαι* = „es ist möglich, erlaubt" ab. Die Inf. *ἐνοικ.* u. *ἀπιέν.* sind eigentlich zweimal zu denken, doch sagen auch wir: „Wer will, kann gehen." S. I, 3, 9 z. d. W. — *πολλῆς* nicht nach II, 3, 18, sondern *πολλῆς* ist hier = gross, weit.

§. 26. *ἔφη* beim Uebergang in orat. dir. = fuhr fort. — *γένησθε* s. I, 1, 10 zu *πρὶν ἄν*. — *τήν*, s. I, 3, 20 zu *τὴν δίκην*. — *ὥστε ἐκπλεῖν*, *ὥστε* ähnlich wie *ἐφ᾽ ᾧτε* = unter der Bedingung, dass. S. auch I, 1, 5 u. I, 4, 8 z. d. W.

§. 27. *ἀναστάς*, das mehreren persönlichen Subj. voranstehende Partic. bezieht der Grieche gern auf das erste Subj. und gebraucht den Sing., selbst wenn wie hier eine appositionelle Bestimmung im Plur. folgt und auch das Praed. im Plur. steht. — *εἰς* bei den Verben des Sprechens, weil das Gesagte gleichsam in die Mitte der Anwesenden hineingeht. Vergl. V, 7, 18 z. *πρός*. — *τὸ κοινόν*, Excurs. §. 21, S. 13 Anm. 2.

§. 28—34. Xenophon räth selbst zur Abfahrt.

§. 28. *ὁπόσα* steht hier nach unserer Auffassung adverbiell = so oft. — Eigentlich ist *θυμήματα*

ὁποῖα μέλλει ὑμῖν τε κάλλιστα καὶ ἄριστα ἔσεσθαι καὶ ἐμοί. καὶ νῦν ἐθυόμην περὶ αὐτοῦ τούτου, εἰ ἄμεινον εἴη ἄρχεσθαι λέγειν εἰς ὑμᾶς καὶ πράττειν περὶ τούτων ἢ παντάπασι μηδὲ
29 ἅπτεσθαι τοῦ πράγματος. Σιλανὸς δέ μοι ὁ μάντις ἀπεκρίνατο, τὸ μὲν μέγιστον, τὰ ἱερὰ καλὰ εἶναι· ᾔδει γὰρ καὶ ἐμὲ οὐκ ἄπειρον ὄντα διὰ τὸ ἀεὶ παρεῖναι τοῖς ἱεροῖς· ἔλεξε δέ, ὅτι ἐν τοῖς ἱεροῖς φαίνοιτό τις δόλος καὶ ἐπιβουλὴ ἐμοί, ὡς ἄρα γιγνώσκων, ὅτι αὐτὸς ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. ἐξήνεγκε γὰρ τὸν λόγον, ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην ἤδη οὐ
30 πείσας ὑμᾶς. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἀποροῦντας ὑμᾶς, τοῦτ᾽ ἂν ἐσκόπουν, ἀφ᾽ οὗ ἂν γένοιτο ὥστε λαβόντας ὑμᾶς πόλιν τὸν μὲν βουλόμενον ἀποπλεῖν ἤδη, τὸν δὲ μὴ βουλόμενον, ἐπεὶ κτήσαιτο
31 ἱκανὰ ὥστε καὶ τοὺς ἑαυτοῦ οἰκείους ὠφελῆσαί τι. ἐπεὶ δὲ ὁρῶ ὑμῖν καὶ τὰ πλοῖα πέμποντας Ἡρακλεώτας καὶ Σινωπέας ὥστε ἐκπλεῖν, καὶ μισθὸν ὑπισχνουμένους ὑμῖν ἄνδρας ἀπὸ νουμηνίας, καλόν μοι δοκεῖ εἶναι σωζομένους ἔνθα βουλόμεθα, μισθὸν τῆς σωτηρίας λαμβάνειν, καὶ αὐτός τε παύομαι ἐκείνης τῆς διανοίας,

ausgelassen. — *καὶ ἐμοί*, welche Stellung? — *καὶ νῦν* knüpft den speciellen Fall an das Allgemeine. Vergl. I, 8, 23 z. *καὶ βασιλεύς* und IV, 3, 11. — *πράττειν περὶ τούτων*, verhandeln über das, was sowohl euch als mir heilsam erschien. — *ἄρχεσθαι*, s. I, 6, 5 z. *ἄρχειν τινός*.

§. 29. *τὸ μὲν μέγιστον*, s. I, 3, 10 z. d. W. — *γάρ* begründet die Aussage, weil Silanos wusste, dass Xenoph. nicht betrogen werden konnte. — *ἄπειρον* hierzu gehört in anderm Casus auch *τοῖς ἱεροῖς*. Vergl. I, 4, 8 zu *στερήσονται*. — *ἐμοί* hängt von *ἐπιβουλή* ab, welches als subst. verbale mit dem Casus seines Stammverbs verbunden ist. So auch der Lateiner: praefectus moribus, Cic.; Insidiae consuli, Sallust. — *ἄρα* ironisch = 'natürlich'. — *ἐπιβουλεύειν* c. Inf. = 'auf etwas sinnen'. — *οὐ πείσας* s. §. 27 und §. 22 die andere Wendung. *πείσας* = 'bereden und fragen in einer Versammlung'.

§. 30. *ἐγὼ δέ* voran wegen *Σιλανὸς δέ* im §. 29. — *εἰ — ἐσκόπουν*, Beispiel eines Bedingungssatzes, *εἰ* c. Ind. eines historischen tempus im Vordersatze und Indic. eines historischen Tempus mit *ἄν* im Nachsatze. S. II, 1, 4 z. *εἰ ἤλθετε*. — *ἀποροῦντας*, s. oben §. 20. — *ἀφ᾽ οὗ*, von wo aus = 'wodurch'. — *γίγνεσθαι*, mit folgendem *ὥστε* = 'möglich sein'. — *ἤδη* sc. nach Einnahme der Stadt. — *τὸν μὲν — τὸν δέ*, partitive Apposition. — *ἀποπλεῖν* gehört auch mit einem auf *ἐπεί* hinweisenden 'erst dann' zu *μὴ βουλόμ.* — *ἱκανά* frei: 'so viel'. — Hom. Od. λ 358: *καί κεν πολὺ κέρδιον εἴη, πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ᾽ ἱκέσθαι.*

§. 31. *πέμποντας* — missuros. S. IV, 5, 8 *διδόντας*. — *ὑμῖν*, beachte die verschiedene Stellung. — *ἄνδρας*, welche? S. §. 23 u. 26. — *σωζομένους* frei: 'dahin zu kommen'. — *μισθὸν τῆς σωτηρίας*, ein kleiner Spott, denn eigentlich zahlt der Gerettete den Lohn. Aehnlich VII, 6, 30. — *βουλόμεθα*, auch wir fassen in solchen Verbindungen

καὶ ὁπόσοι πρὸς ἐμὲ προσῆσαν λέγοντες, ὡς χρὴ ταῦτα πράττειν,
παύεσθαί φημι χρῆναι. οὕτω γὰρ γιγνώσκω· ὁμοῦ μὲν ὄντες 32
πολλοί, ὥσπερ νυνί, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι εἶναι καὶ ἔχειν
τὰ ἐπιτήδεια· ἐν γὰρ τῷ κρατεῖν ἐστὶ καὶ τὸ λαμβάνειν τὰ τῶν
ἡττόνων· διασπασθέντες δ' ἂν καὶ κατὰ μικρὰ γενομένης τῆς
δυνάμεως οὔτ' ἂν τροφὴν δύναισθε λαμβάνειν οὔτε χαίροντες
ἂν ἀπαλλάξαιτε. δοκεῖ οὖν μοι ἅπερ ὑμῖν, ἐκπορεύεσθαι εἰς τὴν 33
Ἑλλάδα, καὶ ἐάν τις μέντοι ἀπολιπὼν ληφθῇ πρὶν ἐν ἀσφαλεῖ
εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι αὐτὸν ὡς ἀδικοῦντα. καὶ
ὅτῳ δοκεῖ, ἔφη, ταῦτα, ἀράτω τὴν χεῖρα. ἀνέτειναν ἅπαντες.
ὁ δὲ Σιλανὸς ἐβόα, καὶ ἐπεχείρει λέγειν, ὡς δίκαιον εἴη ἀπιέναι 34
τὸν βουλόμενον. οἱ δὲ στρατιῶται οὐκ ἠνείχοντο, ἀλλ' ἠπείλουν
αὐτῷ, ὅτι, εἰ λήψονται ἀποδιδράσκοντα, τὴν δίκην ἐπιθήσοιεν.
ἐντεῦθεν ἐπεὶ ἔγνωσαν οἱ Ἡρακλεῶται, ὅτι ἐκπλεῖν δεδογμένον 35
εἴη καὶ Ξενοφῶν αὐτὸς ἐπεψηφικὼς εἴη, τὰ μὲν πλοῖα πέμπουσι,
τὰ δὲ χρήματα ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώρακι ἐψευσμένοι
ἦσαν [τῆς μισθοφορᾶς]. ἐνταῦθα δὲ ἐκπεπληγμένοι ἦσαν καὶ ἐδέ- 36
δισαν τὴν στρατιὰν οἱ τὴν μισθοφορὰν ὑπεσχημένοι. παρα-
λαβόντες οὖν οὗτοι καὶ τοὺς ἄλλους στρατηγοὺς οἷς ἀνεκεκοί-
νωντο ἃ πρόσθεν ἔπραττον, (πάντες δ' ἦσαν πλὴν Νέωνος τοῦ

das Verb als ein Verb der Bewegung: 'Wohin willst du?' — καὶ ὁπόσοι, im D. setze das ausgelassene πᾶσιν oder τούτοις hinzu.

§. 32. ὁμοῦ μὲν ὄντες conditional. — ἄν gehört zu beiden Infin. S. I, 3, 6 z. d. W. — ἔντιμοι, als Sieger. — τὰ ἐπιτήδ., s. I. 3, 20 zu τὴν δίκην. — ἐν γὰρ τῷ — ἡττόνων, ähnlich schon III, 2, 28. διασπασθέντες — καὶ γενομένης stehen parallel, s. I, 10. 6 zu δεξόμενοι. — οὐ χαίροντες, Litotes, die mildere Form drückt aus, dass einem etwas übel bekommen, nicht ungestraft hingehen werde. In gleichem Sinne findet sich auch das Verb. fin. οὐ χαιρήσει, κλαύσῃ, οἰμώξῃ mit oder ohne Partic. z. B. οὐ χαιρήσει ἰδών.

§. 33. ἐκπορεύεσθαι, epexegetischer Zusatz. — καὶ — μέντοι hebt das eingeschlossene ἐάν τις hervor. — τίς, Silanos ist gemeint. — ληφθῇ frei: betreffen, ertappen. — ἀράτω, Aor. s. III, 2, 28 z. λεξάτω. — ἀνέτειν., s. I, 3, 20 z. ἔδοξε u. III, 2, 9. z. d. W.

§. 34. ἐβόα, er sehnte sich nach Hause, weil er die dreitausend Dareiken, die ihm Kyros einst geschenkt, bisher gerettet hatte und nun in Sicherheit bringen wollte. — λέγειν = beweisen, ausführen. — λήψονται, im D. ein ander tempus und modus. — τὴν δίκην, s. I, 3, 20 z. d. W.

§. 35—37. Die getäuschten Gegner des Xenophon.

§. 35. ὑπέσχοντο, warum Aor.? — ψεύδεσθαι = 'treulos sein, sein Wort nicht halten'; χρήματα ist dazu Object. — τῆς μισθοφορᾶς, ähnliche Stellung des Attr. IV, 3, 1 z. Καρδ.

§. 36. οἱ τὴν μισθοφ. ὑπεσχημένοι, warum diese Umschreibung des Subjects? — ἀνεκεκοίνωντο, s. III, 1, 5. z. d. W. — ἃ πρόσθεν ἔπραττον, s. I, 2, 2 z.

1. der Besiegte. 2. intr. davon kommen. 3. ἀνεχ. sich mäßigen. 4. ἀπ. drohen. 5. beschreiben. 6. δείδω poet; pf. δέδια ich fürchte. 7. ἀνεκοινοῦντο sie hatten ... mitgeteilt.

Ἀσιναίου, ὃς Χειρισόφῳ ὑπεστρατήγει, Χειρίσοφος δὲ οὔπω παρῆν,) ἔρχονται πρὸς Ξενοφῶντα, καὶ λέγουσιν ὅτι μεταμέλοι αὐτοῖς, καὶ δοκοίη κράτιστον εἶναι πλεῖν εἰς Φᾶσιν, ἐπεὶ πλοῖα
37 ἔστι, καὶ κατασχεῖν τὴν Φασιανῶν χώραν. Αἰήτου δὲ υἱδοῦς ἐτύγχανε βασιλεύων αὐτῶν. Ξενοφῶν δὲ ἀπεκρίνατο, ὅτι οὐδὲν ἂν τούτων εἴποι εἰς τὴν στρατιάν· ὑμεῖς δὲ συλλέξαντες, ἔφη, εἰ βούλεσθε, λέγετε. ἐνταῦθα ἀποδείκνυται Τιμασίων ὁ Δαρδανεὺς γνώμην οὐκ ἐκκλησιάζειν, ἀλλὰ τοὺς αὐτοῦ ἕκαστον λοχαγοὺς πρῶτον πειρᾶσθαι πείθειν. καὶ ἀπελθόντες ταῦτ' ἐποίουν.

VII. Ταῦτα οὖν οἱ στρατιῶται ἀνεπύθοντο πραττόμενα. καὶ ὁ Νέων λέγει, ὡς Ξενοφῶν ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς διανοεῖται ἄγειν τοὺς στρατιώτας ἐξαπατήσας πάλιν εἰς
2 Φᾶσιν. ἀκούσαντες δ' οἱ στρατιῶται χαλεπῶς ἔφερον, καὶ σύλλογοι ἐγίγνοντο καὶ κύκλοι συνίσταντο, καὶ μάλα φοβεροὶ ἦσαν, μὴ ποιήσειαν, οἷα καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν καὶ τοὺς ἀγορανόμους· [ὅσοι γὰρ μὴ εἰς τὴν θάλατταν κατέφυγον
3 κατελεύσθησαν]. ἐπεὶ δὲ ᾔσθάνετο Ξενοφῶν, ἔδοξεν αὐτῷ ὡς τάχιστα συναγαγεῖν αὐτῶν ἀγοράν, καὶ μὴ ἐᾶσαι συλλεγῆναι
4 αὐτομάτους· καὶ ἐκέλευσε τὸν κήρυκα συλλέξαι ἀγοράν. οἱ δ'

ἐφ' ἃ ἐστρατ. — πάντες — παρῆν, eine Parenthese. — ἔστι, warum der Indicativ nach Optativ in der oratio obliqua? — Φᾶσιν, es ist der kolchische gemeint, der heutige Rion.

§. 37. Αἰήτου ist der einheimische Name mehrerer Könige von Kolchis. — Es ist dies eine historische Bemerkung des Xenoph. — εἴποι εἰς, s. oben §. 27. Optat. I, 6, 2 zu ἄν. — ὑμεῖς, Uebergang in or. dir. — συλλέξαντες, warum ohne Obj.? — γνώμην, s. I, 6, 9 z. d. W. und V, 2, 9. — οὐκ ἐκκλησιάζειν = 'se nolle convocare'. — μή = 'ne convocarent'. ἕκαστον, Zwischenstellung.

VII. Xenophon rechtfertigt sich.

§. 1—4. Neon verleumdet den Xenophon.

§. 1. πραττόμενα frei: 'beabsichtigt werden'. Warum kann das Partic. Imperf. hier so übersetzt werden? — ἐξαπατήσας, übersetze durch ein Adverb. — πάλιν steht, weil Xenophon wie schon IV, 6, 4 die beiden Phasis verwechselt.

§. 2. καὶ σύλλογ. — ποιήσειαν, das Polysyndeton in den kurzen Sätzen malt die Aufregung. — κύκλος, Kreis um einen Sprechenden, Gruppe von Leuten, die sich unterhalten. — φοβεροὶ ἦσαν, entweder impersonell oder frei: 'erregten die Besorgniss'. — καὶ τοὺς — ἀγορανόμους setzt Xen. als bereits bekannte Ereignisse mit dem Artikel, obwohl er sie erst im II. Theile seiner Rede erzählt [ähnlich ist Thuk. VII, 7, 3, wo eine Begebenheit, die erst im folgenden Cap. berichtet wird, als bekannt vorausgesetzt und als solche erwähnt wird]. Welche Stellung hat καὶ τ. ἀγορανόμ.? Ueber diese s. Exc. §. 51 Anm. 4, S. 42. — ἐποίησ., s. I, 1, 2, z. d. W. — ὅσοι μή s. II, 2, 14 z. οἳ μή.

ἐπεὶ τοῦ κήρυκος ἤκουσαν, συνέδραμον καὶ μάλα ἑτοίμως. ἐν-
ταῦθα Ξενοφῶν τῶν μὲν στρατηγῶν οὐ κατηγόρει, ὅτι ἦλθον
πρὸς αὐτόν, λέγει δὲ ὧδε.

Ἀκούω τινὰ διαβάλλειν, ὦ ἄνδρες, ἐμὲ ὡς ἐγὼ ἄρα ἐξα- 5
πατήσας ὑμᾶς μέλλω ἄγειν εἰς Φᾶσιν. ἀκούσατε οὖν μου πρὸς
θεῶν, καὶ ἐὰν μὲν ἐγὼ φαίνωμαι ἀδικεῖν, οὐ χρή με ἐνθένδε
ἀπελθεῖν πρὶν ἂν δῶ δίκην· ἂν δ' ὑμῖν φαίνωνται ἀδικεῖν οἱ
ἐμὲ διαβάλλοντες, οὕτως αὐτοῖς χρῆσθε ὥσπερ ἄξιον. ὑμεῖς δ', 6
ἔφη, ἴστε δήπου, ὅθεν ἥλιος ἀνίσχει καὶ ὅπου δύεται, καὶ ὅτι,
ἐὰν μέν τις εἰς τὴν Ἑλλάδα μέλλῃ ἰέναι, πρὸς ἑσπέραν δεῖ πο-
ρεύεσθαι· ἢν δέ τις βούληται εἰς τοὺς βαρβάρους, τοὔμπαλιν
πρὸς ἕω. ἔστιν οὖν ὅστις τοῦτο ἂν δύναιτο ὑμᾶς ἐξαπατῆσαι,
ὡς ἥλιος ἔνθεν μὲν ἀνίσχει, δύεται δὲ ἐνταῦθα, ἔνθα δὲ δύ-
εται, ἀνίσχει δ' ἐντεῦθεν; ἀλλὰ μὴν καὶ τοῦτό γε ἐπίστασθε, 7
ὅτι βορέας μὲν ἔξω τοῦ Πόντου εἰς τὴν Ἑλλάδα φέρει, νότος
δὲ εἴσω εἰς Φᾶσιν, καὶ λέγεται, ὅταν βορρᾶς πνέῃ, ὡς καλοὶ
πλοῖ εἰσὶν εἰς τὴν Ἑλλάδα. τοῦτ' οὖν ἔστιν ὅπως τις ἂν

§. 3. ἀγοράν = ἐκκλησίαν. Bei Homer ist ἀγορά öfter so gebraucht.

§. 4. ὅτι ἦλθον, zu welchem Zweck, wissen wir aus V, 6, 36.

§. 5—33. Xenophons Rede und zwar §. 5—11 Thl. I. Humoristische Widerlegung der Verleumdung.

§. 5. ἄρα erklärend = nämlich, deutet an, dass Xen. trotz seiner im c. 6, 31 gegebenen Erklärung vom neuen Gerüchte überrascht ist. — πρὸς θεῶν, s. II, 1, 17 z. d. W. — ἀκούσατε, kräftiger Eingang. — ἐγὼ — οἱ ἐμὲ διαβάλλοντες, Chiasmus, letzteres übersetze durch ein Hauptwort. — φαίνομαι c. Inf. = 'videor'. — πρὶν ἄν s. I, 1, 10 z. d. W. — οὕτως — ἄξιον, Euphemismus.

§. 6. ἔφη = 'fuhr fort'. — ὅθεν — δύεται, welche Hauptwörter umschreibt er und warum? Im Folgenden bezieht sich der erste Bedingungssatz auf δύεται, der zweite auf ἀνίσχει. Vgl. Hom. Od. 10, 190 sqq. — βούληται εἰς, s. V, 6, 31 z. d. W. — εἰς τοὺς βαρβάρους, Volk statt Land. — πρὸς ἕω, was ist aus dem Vorhergehenden als selbstverständlich ausgelassen? — ἔστιν οὖν ὅστις (s. I, 5, 7, z. ἦν — οὓς) = quis est, qui? dient hier zu einer rhetorischen Frage für: Niemand wird euch weissmachen. — τοῦτο, s. I, 3, 3 z. τά τε ἄλλα. — ἐξαπατῆσαι mit folgendem ὡς, 'durch die Angabe täuschen, dass'. — Optat. s. I, 6, 2. z. ἄν — δύεται δὲ ἐνταῦθα, man sollte μέν erwarten, nach dem Gebrauch, dass, wenn Vorder- und Nachsatz einem andern Vorder- und Nachsatz entgegengesetzt werden, der erste Vorder- und Nachsatz μέν haben (s. III, 1, 43 z. ὁπόσοι μέν); aber dieser Parallelismus wird oft vernachlässigt. — Ausserdem ist hier eine Attraction, indem das relative ἔνθα dem demonstrativen ἐνταῦθα und das relative ἔνθεν dem demonstrativen ἐντεῦθεν entspricht.

§. 7. ἀλλὰ μήν, s. I, 9, 18 z. d. W. — εἴσω, was ist zu ergänzen? — ὅταν — ὡς, im D. eine andre Satzstellung. S. auch I, 5, 3 z. ἄν τις — ἀνιστῇ. — πλοῖ vom Winde, nach der rhetorischen Wendung die Wirkung statt der Ursache zu setzen. — ἔστιν ὅπως s. I, 7, 2 z. πῶς ἄν.

1. κατηγ. = anklagen. 2. umgehen = [illegible]

ὑμᾶς ἐξαπατῆσαι, ὥστε ἐμβαίνειν, ὁπόταν νότος πνέῃ; ἀλλὰ
8 γὰρ ὁπόταν γαλήνη ᾖ, ἐμβιβῶ. οὐκοῦν ἐγὼ μὲν ἐν ἑνὶ πλοίῳ
πλεύσομαι, ὑμεῖς δὲ τοὐλάχιστον ἐν ἑκατόν. πῶς ἂν οὖν
ἐγὼ ἢ βιασαίμην ὑμᾶς σὺν ἐμοὶ πλεῖν μὴ βουλομένους ἢ ἐξα-
9 πατήσας ἄγοιμι; ποιῶ δ' ὑμᾶς ἐξαπατηθέντας καὶ γοητευ-
θέντας ὑπ' ἐμοῦ ἥκειν εἰς Φᾶσιν· καὶ δὴ ἀποβαίνομεν εἰς τὴν
χώραν· γνώσεσθε δήπου, ὅτι οὐκ ἐν τῇ Ἑλλάδι ἐστέ· καὶ ἐγὼ
μὲν ἔσομαι ὁ ἐξηπατηκὼς εἷς, ὑμεῖς δὲ οἱ ἐξηπατημένοι ἐγγὺς
μυρίων ἔχοντες ὅπλα. πῶς ἂν οὖν εἷς ἀνὴρ μᾶλλον δοίη δίκην
10 ἢ οὕτω περὶ αὑτοῦ τε καὶ ὑμῶν βουλευόμενος; ἀλλ' οὗτοί εἰσιν
οἱ λόγοι ἀνδρῶν καὶ ἠλιθίων κἀμοὶ φθονούντων, ὅτι ἐγὼ ὑφ'
ὑμῶν τιμῶμαι. καίτοι οὐ δικαίως γ' ἄν μοι φθονοῖεν· τίνα
γὰρ αὐτῶν ἐγὼ κωλύω ἢ λέγειν εἴ τίς τι ἀγαθὸν δύναται ἐν
ὑμῖν, ἢ μάχεσθαι εἴ τίς ἐθέλει ὑπὲρ ὑμῶν τε καὶ ἑαυτοῦ, ἢ
ἐγρηγορέναι περὶ τῆς ὑμετέρας ἀσφαλείας ἐπιμελόμενον; τί γάρ;
ἄρχοντας αἱρουμένων ὑμῶν ἐγώ τινι ἐμποδών εἰμι; παρίημι,
11 ἀρχέτω· μόνον ἀγαθόν τι ποιῶν ὑμᾶς φαινέσθω. ἀλλὰ γὰρ ἐμοὶ
μὲν ἀρκεῖ περὶ τούτων τὰ εἰρημένα· εἰ δέ τις ὑμῶν ἢ αὐτὸς
ἐξαπατηθῆναι ἂν οἴεται ταῦτα ἢ ἄλλον ἐξαπατῆσαι ταῦτα, λέγων
12 διδασκέτω. ὅταν δὲ τούτων ἅλις ἔχητε, μὴ ἀπέλθητε, πρὶν ἂν

§. 8. ἀλλὰ γάρ (s. III, 2, 25 z. d. W.). Doch ist der Gedanke hier; 'aber (könnte man einwenden) ich werde euch dennoch (ja) täuschen, denn' —. οὐκοῦν frei: 'gut, es sei so, dann fahre'. — πλοίῳ πλεύσομαι, Paronomasie. — μὴ βουλομένους frei = 'vobis invitis'.

§. 9. ποιῶ — καὶ δὴ ἀποβαίνομεν, Ind. hypotheticus in einem coordinierten Satze. Eigentlich verlangt ποιῶ = ich setze den Fall' dem ἥκειν entsprechend καὶ ἀποβαίνειν. Auf den Wechsel hat καὶ δή eingewirkt = 'und schon' oder 'und in der That', indem der Redner sich mit diesen Worten schon dahin versetzt. — ἐγγὺς μυρίων sc. ἔσεσθε. — Andern Casus s. IV, 2, 28 und VII, 8, 18. — ἔχοντες ὅπλα, steigernde Apposition. — οὕτω βουλευόμενος d. h. 'wenn einer so vielen gegenüber zum Betrug sich entschliesst.'

§. 10. κἀμοὶ φθονούντων durch einen Relativsatz, in welchem ὅτι — τιμῶμαι durch ein Substantiv als Object zu φθονεῖν übersetzt wird. — οὐ δικαίως, Litotes. — ἐμποδών εἰμι, der Satz schliesst zur Hervorhebung mit demselben Gedanken, mit dem er beginnt. — παρίημι, ἀρχέτω, effectvolles Asyndeton. — μόνον, wie unser 'nur' steht μόνον oft beim Imperat.

§. 11. ἀλλὰ γὰρ, 'aber ich breche hier ab, denn'. — ταῦτα — ταῦτα, spöttisch den Inhalt des Vorhergehenden zusammenfassend. Rehd.: 'mit dem Unsinn'. S. auch I, 3, 3 z. τά τε ἄλλα. — ἄλλον, Obj. zu ἐξαπατῆσαι, zu dem aus dem Vorhergehenden auch ἂν gehört. Vergl. I, 6, 2 z. ἄν. — λέγων διδασκέτω, nachdrückliche Fülle des Ausdrucks. S. I, 3, 2 z. ἑστώς. — Nach diesen Worten ist eine Pause zu denken. Erst als keiner sich zum Reden meldet, fährt Xenoph. fort.

§. 12—33. Theil II. der Rede.

ἀκούσητε, οἷον ὁρῶ ἐν τῇ στρατιᾷ ἀρχόμενον πρᾶγμα. ὃ εἰ ἔπεισι καὶ ἔσται οἷον ὑποδείκνυσιν, ὥρα ἡμῖν βουλεύεσθαι ὑπὲρ ἡμῶν αὐτῶν μὴ κάκιστοί τε καὶ αἴσχιστοι ἄνδρες ἀποφαινώμεθα καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, καὶ φίλων καὶ πολεμίων [καὶ καταφρονηθῶμεν]. ἀκούσαντες δὲ ταῦτα οἱ στρα- 13
τιῶται ἐθαύμασάν τε, ὅ, τι εἴη, καὶ λέγειν ἐκέλευον. ἐκ τούτου ἄρχεται πάλιν, Ἐπίστασθέ που, ὅτι χωρία ἦν ἐν τοῖς ὄρεσι βαρβαρικά, φίλια τοῖς Κερασουντίοις, ὅθεν κατιόντες τινὲς καὶ ἱερεῖα ἐπώλουν ἡμῖν καὶ ἄλλα ὧν εἶχον, δοκοῦσι δέ μοι καὶ ὑμῶν τινὲς εἰς τὸ ἐγγυτάτω χωρίον τούτων ἐλθόντες ἀγοράσαντές τι πάλιν ἀπελθεῖν. τοῦτο καταμαθὼν Κλεάρετος ὁ λοχαγὸς 14
ὅτι καὶ μικρὸν εἴη καὶ ἀφύλακτον διὰ τὸ φίλιον νομίζειν εἶναι, ἔρχεται ἐπ' αὐτοὺς τῆς νυκτὸς ὡς πορθήσων, οὐδενὶ ἡμῶν εἰπών. διενενόητο δέ, εἰ λάβοι τόδε τὸ χωρίον, εἰς μὲν τὸ στράτευμα 15
μηκέτι ἐλθεῖν, εἰσβὰς δὲ εἰς πλοῖον, ἐν ᾧ ἐτύγχανον οἱ σύσκηνοι αὐτοῦ παραπλέοντες, καὶ ἐνθέμενος εἴ τι λάβοι, ἀποπλέων οἴχεσθαι ἔξω τοῦ Πόντου. καὶ ταῦτα συνωμολόγησαν αὐτῷ οἱ ἐκ τοῦ πλοίου σύσκηνοι, ὡς ἐγὼ νῦν αἰσθάνομαι. παρακαλέσας 16
οὖν ὁπόσους ἔπειθεν ἦγεν ἐπὶ τὸ χωρίον. πορευόμενον δ' αὐτὸν φθάνει ἡμέρα γενομένη, καὶ συστάντες οἱ ἄνθρωποι ἀπὸ ἰσχυρῶν

Beispiel der schlechten Disciplin im Heere.

§. 12. *πρᾶγμα*, 'Geist'. — *οἷον* sc. *ἔσεσθαι*. — *ἔπεισι* hat Futurbedeutung = 'ingruet sc. in exercitum — *ὑποδείκνυσιν*, in *ὑπό* liegt das Allmähliche, das Wachsen aus einem geringen Anfange. — *πρὸς θεῶν*, s. I, 6, 6 z. d. W. — *καὶ φίλων καὶ πολεμ.*, Attribut zu *ἀνθρώπων*. — [*καὶ καταφρονηθῶμεν*, kräftiger Schluss der Einleitung, dessen Wirkung auf die Hörer sich sogleich im Folgenden zeigt].

§. 13. *ἐθαύμασαν*, s. I, 8, 16 z. d. W. u. I, 1, 9 z. *ἠγάσθη*. — *ἐκέλευον*, s. II, 3, 26 z. *ἔλεγον*. — *φίλια* durch einen Relativsatz. — *ἱερεῖα*, s. IV, 4, 9. z. d. W. — *ὧν*, Attraction. — ~~*δοκοῦσι* ist ohne Einfluss auf die Construction des Satzes, im D. mache einen Zwischensatz.~~ — *ἐλθόντ. ἀγοράσ.* s. I. 1, 7 z. *ὑπολ.*

§. 14. *τοῦτο* sc. *χωρίον*. Anticipation, s. I, 1, 5 z. *βαρβάρων*. — *διὰ τὸ νομίζειν* durch einen Causalsatz: zu *νομίζειν* setze im D. als Subj. 'die Bewohner'. — *φίλιον*, mit den Kerasuntiern verbündet und so vor einem Angriff gesichert. — *ἐπ' αὐτούς*, nach vorhergegangenem *τὸ χωρίον* im §. 13, Constr. ad synesin., s. V, 5, 3 zu *ὄντας*. — *τῆς νυκτός* d. h. Nachts vor dem V, 4, 1 erwähnten Abmarsche des Heeres am 23/24. März. — *ὡς πορθήσων*, s. I, 1, 3 zu *ἀπόκτεν*. — *οὐδενὶ — εἰπών*, s. I, 2, 22 zu *οὐδεν. κωλ.*

§. 15. *εἰ λάβοι — τὸ χωρίον* durch ein Hauptwort mit einer Präposition. — *ἐλθεῖν*, ohne Subj., s. I, 3, 1 z. *ἰέναι*. — *οἱ ἐκ τοῦ πλοίου*, s. I, 1, 5 zu *τῶν παρὰ βασιλ.* — *ἐκ*, weil seine Kameraden vom Schiffe aus verhandelten.

§. 16. *ἔπειθεν*, Imperf., weil er wiederholt zuredete. — *πορευόμενον* frei; 'auf dem Zuge'. — *ἡμέρα γενομένη*, *γενομέν.* durch

τόπων βάλλοντες καὶ παίοντες τόν τε Κλεάρετον ἀποκτείνουσι
καὶ τῶν ἄλλων συχνούς, οἱ δέ τινες καὶ εἰς Κερασοῦντα αὐτῶν
17 ἀποχωροῦσι. ταῦτα δ' ἦν ἐν τῇ ἡμέρᾳ, ᾗ ἡμεῖς δεῦρ' ἐξωρμῶ-
μεν πεζῇ· τῶν δὲ πλεόντων ἔτι τινὲς ἦσαν ἐν Κερασοῦντι, οὔπω
ἀνηγμένοι. μετὰ τοῦτο, ὡς οἱ Κερασούντιοι λέγουσιν, ἀφικνοῦν-
ται τῶν ἐκ τοῦ χωρίου τρεῖς ἄνδρες τῶν γεραιτέρων πρὸς τὸ
18 κοινὸν τὸ ἡμέτερον χρῄζοντες ἐλθεῖν. ἐπεὶ δ' ἡμᾶς οὐ κατέ-
λαβον, πρὸς τοὺς Κερασουντίους ἔλεγον, ὅτι θαυμάζοιεν, τί
ἡμῖν δόξειεν ἐλθεῖν ἐπ' αὐτούς. ἐπεὶ μέντοι σφεῖς λέγειν, ἔφα-
σαν, ὅτι οὐκ ἀπὸ κοινοῦ γένοιτο τὸ πρᾶγμα, ἥδεσθαί τε αὐτοὺς
καὶ μέλλειν ἐνθάδε πλεῖν, ὡς ἡμῖν λέξαι τὰ γενόμενα καὶ τοὺς
νεκροὺς κελεύειν αὐτοὺς θάπτειν λαβόντας [τοὺς τούτου δεομέ-
19 νους]. τῶν δ' ἀποφυγόντων τινὰς Ἑλλήνων τυχεῖν ἔτι ὄντας ἐν
Κερασοῦντι· αἰσθόμενοι δὲ τοὺς βαρβάρους ὅποι ἴοιεν αὐτοί τε
ἐτόλμησαν βάλλειν τοῖς λίθοις καὶ τοῖς ἄλλοις παρεκελεύοντο.
καὶ οἱ ἄνδρες ἀποθνῄσκουσι τρεῖς ὄντες οἱ πρέσβεις καταλευ-
20 σθέντες. ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἔρχονται πρὸς ἡμᾶς οἱ Κερα-
σούντιοι καὶ λέγουσι τὸ πρᾶγμα· καὶ ἡμεῖς οἱ στρατηγοὶ ἀκού-
σαντες ἠχθόμεθά τε τοῖς γεγενημένοις καὶ ἐβουλευόμεθα σύν

das Hauptwort 'Anbruch'. — ἀποκτείνουσι, Stellung? — οἱ δέ τινες, s. II, 3, 15 zu τὰς δέ τινας. — Beachte die Stellung von αὐτῶν.

§ 17. ἐν gehört auch zum folgenden Relativ, vor welchem ἐν nur selten wiederholt wird. — ἡμέρᾳ, ist der 24. März. — τῶν δὲ πλεόντων, s. I, 9, 15 z. θελόντ. Zur Sache s. V, 4, 1. — ἐκ τοῦ χωρίου, s. I, 1, 5 zu τῶν παρὰ βασιλ. — ἄνδρες ziehe im D. zu γεραιτέρ. — τὸ κοινόν, Exc. §. 21. — ἐλθεῖν kann im D. unübersetzt bleiben.

§ 18. πρός bei λέγειν, weil der Angeredete gegenüber steht. — τί ἡμῖν δόξειεν, 'weshalb wir beschlossen hätten', s. I, 3, 18 z. d. W. — σφεῖς λέγειν, ἔφασαν, Subj. zu Inf. und Verb. fin. sind die Kerasuntier. Beachte den Nom. c. Inf. nach ἐπεί, vergl. II, 2, 1 z. οὓς — ἀνασχ. — ἀπὸ κοινοῦ = nach gemeinsamem Beschlusse. — ὡς c. Inf. des Zwecks, s. I, 8, 10 z. d. W. — τοὺς νεκρούς betonte Stellung. — αὐτούς. Subj. 'wir selbst', beschränkende Apposition dazu ist τ. δεομένους. — Mit diesem Ausdrucke sind die Freunde, Zeltgenossen und Verwandten der Gebliebenen gemeint.

§. 19. τινὰς — τυχεῖν, Fortsetzung der orat. obl. in §. 18. τινάς, Stellung wie II, 5, 32 z. τινές. — τοὺς βαρβάρους, Anticipation, s. I, 1, 5 z. βαρβάρων. — Mit αἰσθόμενοι beginnt der Uebergang in orat. dir. — τοῖς λίθοις, der Artikel bezeichnet die gerade daliegenden. — παρεκελεύοντο, warum kann βάλλειν fehlen? Impf. s. II, 3, 21 z. ἔλεγον. — τρεῖς ὄντες οἱ πρέσβ., steigernde Apposition. — καταλευσθέντες nach I, 1, 6 zu ἐπιβουλ. 1. — Das an οἱ πρέσβεις gestellte Particip dient auch zur Steigerung, weil die Gesandten wie Verbrecher behandelt wurden.

§. 20. ἡμᾶς allgemein, obwohl die Strategen allein gemeint sind.

1. wirk... 2. ἀνάγεσθαι d. Anker lichten. 3. [illegible]. 4. wollen. 5. Als sie nun gesagt hätten, wie sie nur mitteilten, [illegible]

τοῖς Κερασουντίοις, ὅπως ἂν ταφείησαν οἱ τῶν Ἑλλήνων νεκροί.
συγκαθήμενοι δ' ἔξωθεν τῶν ὅπλων, ἐξαίφνης ἀκούομεν θορύβου 21
πολλοῦ, Παῖε, παῖε, βάλλε, βάλλε, καὶ τάχα δὴ ὁρῶμεν πολλοὺς
προσθέοντας λίθους ἔχοντας ἐν ταῖς χερσί, τοὺς δὲ καὶ ἀναιρουμένους.
καὶ οἱ μὲν Κερασούντιοι, ὡς ἂν καὶ ἑωρακότες τὸ παρ' 22
ἑαυτοῖς πρᾶγμα, δείσαντες ἀποχωροῦσι πρὸς τὰ πλοῖα. ἦσαν δὲ
νὴ Δία καὶ ἡμῶν οἳ ἔδεισαν. ἔγωγε μὴν ἦλθον πρὸς αὐτοὺς 23
καὶ ἠρώτων, ὅ,τι ἐστὶ τὸ πρᾶγμα. τῶν δὲ ἦσαν μὲν οἳ οὐδὲν
ᾔδεσαν, ὅμως δὲ λίθους εἶχον ἐν ταῖς χερσίν. ἐπεὶ δὲ εἰδότι
τινὶ ἐπέτυχον, λέγει μοι, ὅτι οἱ ἀγορανόμοι δεινότατα ποιοῦσι τὸ
στράτευμα. ἐν τούτῳ τις ὁρᾷ τὸν ἀγορανόμον Ζήλαρχον πρὸς 24
τὴν θάλατταν ἀποχωροῦντα, καὶ ἀνέκραγεν. οἱ δὲ ὡς ἤκουσαν,
ὥσπερ ἢ συὸς ἀγρίου ἢ ἐλάφου φανέντος, ἵενται ἐπ' αὐτόν. οἱ 25
δ' αὖ Κερασούντιοι ὡς εἶδον ὁρμῶντας καθ' αὐτούς, σαφῶς
νομίζοντες ἐπὶ σφᾶς ἵεσθαι, φεύγουσι δρόμῳ καὶ ἐμπίπτουσιν
εἰς τὴν θάλατταν. συνεισέπεσον δὲ καὶ ἡμῶν αὐτῶν τινές, καὶ
ἐπνίγετο ὅστις νεῖν μὴ ἐτύγχανεν ἐπιστάμενος. καὶ τούτους τί 26
δοκεῖτε; ἠδίκουν μὲν οὐδέν, ἔδεισαν δέ, μὴ λύττα τις ὥσπερ
κυσὶν ἡμῖν ἐμπεπτώκοι. εἰ οὖν ταῦτα τοιαῦτα ἔσται, θεάσεσθε,
οἵα ἡ κατάστασις ἡμῖν ἔσται τῆς στρατιᾶς. ὑμεῖς μὲν οἱ πάντες 27
οὐκ ἔσεσθε κύριοι οὔτε ἀνελέσθαι πόλεμον ᾧ ἂν βούλησθε οὔτε
καταλῦσαι, ἰδίᾳ δὲ ὁ βουλόμενος ἄξει στράτευμα ἐφ' ὅ,τι ἂν

— ταφείησαν, s. III, 4, 29 zu ἀποτμηθείησαν u. I, 7, 2 z. πῶς ἄν.

§. 21. ἔξωθεν τῶν ὅπλων, Exc. §. 46. — Im Folgenden ist die lebhafte Schilderung zu beachten.

§. 22. ὡς ἂν ἑωρακότες i. e. wie wohl Leute, die auch den Vorfall bei ihnen (die Steinigung) gesehen haben, sc. ἀποχωροῖεν. — ἦσαν — οἵ, der Relativsatz umschreibt das Subject.

§. 23. ἦσαν μέν, ihm entspricht ἐπεὶ δέ.

§. 24. ὥσπερ c. Gen. absol. s. I, 3, 16 z. d. W.

§. 25. καθ' αὑτούς, κατά, weil sie schon in der Nähe des Meeres sind. — ἐπνίγετο s. III, 4, 8 z. ἐλάμβαν. — ὅστις μή s. II, 2, 14 z. οἱ μή (und wer = und wenn einer). — ἐπιστάμενος = verstehen, im D. sagen wir zwar 'schwimmen können', aber der Gr. fasst es mehr als eine erlernte Kunst, nicht als physische Kraft.

§. 26. καὶ τούτους τί δοκεῖτε, ein elliptischer Accusativ c. Inf. = et hos quid putatis sc. fecisse? Im D. übersetze τούτους durch 'von diesen'. — ἠδίκουν übersetze nach I, 5, 11 z. d. W. — τοιαῦτα ἔσται, Sinn: wenn dergleichen fernerhin von den Soldaten ausgeübt wird. Wir gebrauchen dafür: 'so fortgehen'. — τῆς στρατιᾶς, s. I, 1, 10 z. τριῶν μηνῶν.

§. 27. ὑμεῖς μὲν, ihm entspricht durch Wechsel der Constr. ἰδίᾳ δέ. — οἱ πάντες, Apposit. s. I, 5, 16 z. ἄλλοι. — ἀνελέσθαι πόλεμον, 'den Krieg auf sich nehmen' und καταλῦσαι = 'beilegen', sind aus derselben metaphorischen

1. plötzlich. 2. rufen. 3. [illegible] 7* [illegible] 4. [illegible]
5. Zustand. 6. f. sich allein

θέλῃ. κἂν τινες πρὸς ὑμᾶς ἴωσι πρέσβεις ἢ εἰρήνης δεόμενοι ἢ ἄλλου τινός, κατακανόντες τούτους οἱ βουλόμενοι ποιήσουσιν
28 ὑμᾶς τῶν λόγων μὴ ἀκοῦσαι τῶν πρὸς ὑμᾶς ἰόντων. ἔπειτα δὲ οὓς μὲν ἂν ὑμεῖς ἅπαντες ἕλησθε ἄρχοντας, ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται, ὅστις δ' ἂν ἑαυτὸν ἕληται στρατηγὸν καὶ ἐθέλῃ λέγειν, Βάλλε, βάλλε, οὗτος ἔσται ἱκανὸς καὶ ἄρχοντα κατακανεῖν καὶ ἰδιώτην ὃν ἂν ὑμῶν ἐθέλῃ ἄκριτον, ἢν ὦσιν οἱ πεισόμενοι αὐτῷ,
29 ὥσπερ καὶ νῦν ἐγένετο. οἷα δὲ ὑμῖν καὶ διαπεπράχασιν οἱ αὐθαίρετοι οὗτοι στρατηγοὶ σκέψασθε. Ζήλαρχος μὲν ὁ ἀγορανόμος εἰ μὲν ἀδικεῖ ὑμᾶς, οἴχεται ἀποπλέων οὐ δοὺς ὑμῖν δίκην· εἰ δὲ μὴ ἀδικεῖ, φεύγει ἐκ τοῦ στρατεύματος δείσας, μὴ ἀδίκως
30 ἄκριτος ἀποθάνῃ. οἱ δὲ καταλεύσαντες τοὺς πρέσβεις διεπράξαντο ἡμῖν μόνοις μὲν τῶν Ἑλλήνων εἰς Κερασοῦντα μὴ ἀσφαλὲς εἶναι ἂν μὴ σὺν ἰσχύι ἀφικνεῖσθαι· τοὺς δὲ νεκρούς, οὓς πρόσθεν αὐτοὶ οἱ κατακανόντες ἐκέλευον θάπτειν, τούτους διεπράξαντο μηδὲ σὺν κηρυκείῳ ἔτι ἀσφαλὲς εἶναι ἀνελέσθαι. τίς γὰρ ἐθελήσει κῆρυξ ἰέναι κήρυκας ἀπεκτονώς; ἀλλ' ἡμεῖς Κερα-
31 σουντίων θάψαι αὐτοὺς ἐδεήθημεν. εἰ μὲν οὖν ταῦτα καλῶς ἔχει, δοξάτω ὑμῖν, ἵνα ὡς τοιούτων ἐσομένων καὶ φυλακὴν ἰδίᾳ

Auffassung zu erklären. — *πρέσβεις* ist Theil des Prädicats. — *οἱ βουλόμενοι*, s. I, 3, 9 z. d. W. — *κατακτείναντες τούτους* nach I. 1, 6 zu *ἐπιβουλ.* 1. — *τῶν λόγων*, s. II, 6, 11 z. *αὐτοῦ*. Vgl. I, 2, 5 z. *Τισσαφ.* — *τῶν* — *ἰόντων*, Umschreibung von *πρέσβεις*.

§. 28. *οὓς* — *ἄρχοντας* Voranstellung des Relativsatzes wie I, 1, 6 z. *ὅστις*. *ἄρχοντας* steht durch Attract. in diesem Satze. S. auch I, 3, 5. z. *ὅ, τι ἄν*. — *ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται*, s. V, 6, 13 = kein Ansehen haben. — *οὗτος* mit Nachdruck des Gegensatzes gesetzt, denn *ἔσονται* steht ohne grammatisches Subject. — *ἄκριτον*, indicta causa, es gehört zu *ἄρχοντα* u. *ἰδιώτην*. *ἰδιώτην*, s. III, 2, 32. z. d. W. — *ὦσιν οἱ πεισόμενοι*, Umschreibung des einfachen Verbs. Im D. ein Relativsatz.

§. 29. *καὶ διαπεπράχασιν*, welcher Gedanke ist wegen *καί* zu ergänzen? — *οὗτοι*, Stellung wie IV, 2, 6 zu *αὕτη*. Diese Stellung des *οὗτος* kann jedoch nur dann eintreten, wenn ein Attribut dabei ist. — *οἴχεται* c. Partic., s. I, 1, 2 zu *ἐτύγχανε*.

§. 30. *οἱ δὲ καταλεύσαντες* durch ein Hauptwort. — *ἀφικνεῖσθαι* mit *ἀσφαλὲς εἶναι* zu verbinden, gehört in andrer Form auch zu *ἂν* — *ἰσχύι*. — *τούτους* nimmt das zu *ἀνελέσθαι* gehörende, aber mit Nachdruck an die Spitze gestellte Obj. *τοὺς νεκρούς* wieder auf, s. I, 10, 19 z. *καὶ ταύτας*. — *ἀνελέσθαι*, stehender Ausdruck von der Aufnahme der Leichen zur Bestattung. — *κῆρυξ* — *κήρυκας*, sarkastische Paronomasie. — *ἀλλά* nach einer Frage wie IV, 6, 19. Sinn: 'da wir aber einsahen, dass niemand gehen würde, so'. — *ἡμεῖς*, Xenophon und die übrigen Strategen.

§. 31. *ταῦτα καλῶς ἔχει*, *ταῦτα* = diese Thaten eurer Kameraden. — *δοξάτω ὑμῖν* d. i. 'so sprecht dieses (eure Billigung) durch einen Beschluss aus'. — *ὡς* c. Gen. abs.

1. [illegible] 2. [illegible] 3. [illegible]

ποιήσῃ τις καὶ τὰ ἐρυμνὰ ὑπερδέξια πειρᾶται ἔχων σκηνοῦν. εἰ 32
μέντοι ὑμῖν δοκεῖ θηρίων, ἀλλὰ μὴ ἀνθρώπων εἶναι τὰ τοιαῦτα
ἔργα, σκοπεῖτε παῦλάν τινα αὐτῶν· εἰ δὲ μή, πρὸς Διὸς πῶς
ἢ θεοῖς θύσομεν ἡδέως ποιοῦντες ἔργα ἀσεβῆ, ἢ πολεμίοις πῶς
μαχούμεθα, ἢν ἀλλήλους κατακαίνωμεν; πόλις δὲ φιλία τίς ἡμᾶς 33
δέξεται, ἥτις ἂν ὁρᾷ τοσαύτην ἀνομίαν ἐν ἡμῖν; ἀγορὰν δὲ τίς
ἄξει θαρρῶν, ἢν περὶ τὰ μέγιστα τοιαῦτα ἐξαμαρτάνοντες φαι-
νώμεθα; οὗ δὲ δὴ πάντων οἰόμεθα τεύξεσθαι ἐπαίνου, τίς ἂν
ἡμᾶς τοιούτους ὄντας ἐπαινέσειεν; ἡμεῖς μὲν γὰρ οἶδ' ὅτι πονη-
ροὺς ἂν φαίημεν εἶναι τοὺς τὰ τοιαῦτα ποιοῦντας.

Ἐκ τούτου ἀνιστάμενοι πάντες ἔλεγον τοὺς μὲν τούτων 34
ἄρξαντας δοῦναι δίκην, τοῦ δὲ λοιποῦ μηκέτι ἐξεῖναι ἀνομίας
ἄρξαι· ἐὰν δέ τις ἄρξῃ, ἄγεσθαι αὐτοὺς ἐπὶ θανάτῳ· τοὺς δὲ
στρατηγοὺς εἰς δίκας πάντας καταστῆσαι· εἶναι δὲ δίκας καὶ
εἴ τι ἄλλο τις ἠδίκητο ἐξ οὗ Κῦρος ἀπέθανε· δικαστὰς δὲ τοὺς
λοχαγοὺς ἐποιήσαντο. παραινοῦντος δὲ Ξενοφῶντος καὶ τῶν 35
μάντεων συμβουλευόντων ἔδοξε καθῆραι τὸ στράτευμα. καὶ
ἐγένετο καθαρμός.

s. I, 1, 2. z. d. W. und übers. nach I, 1 6 z. ἐπιβουλ. 1 durch das Hauptw. 'Aussicht'.

§. 32. ἀλλὰ μή = und nicht. Der folgende Schwur und die Doppelfrage dienen zur Hervorhebung der Gegensätze und im gesteigerten Affect stehen πῶς und ἤ zweimal, aber in veränderter Reihenfolge. Aehnlich Hell. VI, 2, 26: τοῦτον δ' ἐφύλαττεν, ὡς ἢ πραξόμενος πάμπολλα χρήματα ἢ ὡς πωλήσων. — ποιοῦντες steht dem Conditionalsatze parallel.

§. 33. ἥτις, die Griechen haben auch da oft Relativsätze, wo wir Bedingungssätze gebrauchen. — θαρρῶν, auch hier gebrauchen wir Adverbia, vgl. I, 2, 25 z. προτέρα. — περὶ τὰ μέγιστα, durch die Ermordung der Gesandten und Misshandlung des Agoranomen haben sie gegen göttliches und menschliches Recht, gegen das Heiligste, gefrevelt. — οὗ, der Satz umschreibt das Hauptwort ἐν Ἑλλάδι. Andere fassen οὗ als Obj. z. τεύξεσθαι und construieren: τίς ἡμᾶς — ἐπαινέσειε τὸν ἔπαινον, οὗ οἰόμεθα πάντων τεύξεσθαι. — πάντων, Gen. auct. z. ἐπαίνου, wir: 'bei od. von allen'. Beachte auch den Wechsel des Modus in dieser Frage. — ἡμεῖς des Gegensatzes zu τίς wegen vorangestellt. Welches andre Wort ist auch durch Stellung beront?

§. 34—35. Das Heer beschliesst strenge Aenderung. Sühnung des Heeres.

§. 34. ἐκ τ. ἀνιστάμ. s. I, 3, 20 z. ἔδοξε, II, 4, 18 z. ἀκούσ. u. vergl. V, 5, 13. — ἔλεγον mit Inf., wie wenn ἐκέλευον stände. — τοὺς τούτ. ἄρξαντας, die Urheber, s. oben §. 16. — τοῦ λοιποῦ, Gen. der Zeit, s. II, 2, 5 z. d. W. — αὐτούς, s. I, 4, 8. z. d. W. — ἐπὶ θανάτῳ, s. I, 6, 10 z. d. W. — εἰς δίκας — καταστῆσαι = in ius vocare. — Welcher Unterschied der Auffassung? — ἐξ — ἀπέθανε durch ein Hauptwort, zu dem das griech. Subj. zum Attribut wird.

§. 35. παραινοῦντος — συμβουλευόντων, Chiasmus. — καθῆραι, und καθαρμός, betonte

VIII. Ἔδοξε δὲ καὶ τοὺς στρατηγοὺς δίκην ὑποσχεῖν τοῦ παρεληλυθότος χρόνου. καὶ διδόντων Φιλήσιος μὲν ὦφλε καὶ Ξανθικλῆς τῆς φυλακῆς τῶν γαυλιτικῶν χρημάτων τὸ μείωμα, εἴκοσι μνᾶς, Σοφαίνετος δέ, ὅτι αἱρεθεὶς κατημέλει, δέκα μνᾶς. Ξενοφῶντος δὲ κατηγόρησάν τινες φάσκοντες παίεσθαι
2 ὑπ᾽ αὐτοῦ καὶ ὡς ὑβρίζοντος τὴν κατηγορίαν ἐποιοῦντο. καὶ ὁ Ξενοφῶν ἐκέλευσεν εἰπεῖν τὸν πρῶτον λέξαντα, ποῦ καὶ ἐπλήγη. ὁ δὲ ἀποκρίνεται, Ὅπου καὶ ῥίγει ἀπωλλύμεθα καὶ
3 χιὼν πλείστη ἦν. ὁ δὲ εἶπεν, Ἀλλὰ μὴν χειμῶνός γε ὄντος οἵου λέγεις, σίτου δὲ ἐπιλελοιπότος, οἴνου δὲ μηδ᾽ ὀσφραίνεσθαι παρόν, ὑπὸ δὲ πόνων πολλῶν ἀπαγορευόντων, πολεμίων δὲ ἑπομένων, εἰ ἐν τοιούτῳ καιρῷ ὕβριζον, ὁμολογῶ καὶ τῶν ὄνων

Stellung. — Reinigungsgebräuche waren Bad, Waschen und Räuchern. Allen lag der Gedanke zum Grunde, dass die sittliche Befleckung auch eine äussere Verunreinigung zur Folge habe und dass mit dem Aufhören der letztern zugleich auch die erstere symbolisch hinweggenommen werde. — Hier hat wahrscheinlich die Reinigung durch (See-) Wasser stattgefunden, wovon II, 1, 314 zu lesen, vgl. Odyss. 22, 481.

VIII. Neue Anklage und Rechtfertigung Xenophons.

§. 1. Bestrafung dreier Strategen; Anklage Xenophons.

§. 1. δίκην ὑπέχειν ohne Personenobj. = 'sich vor Gericht stellen, Rechenschaft ablegen'. Wie ist die griechische Auffassung in ὑπέχειν? — διδόντων, Subj. u. Obj. ergeben sich aus dem Vorhergehenden. — ὦφλε prägnant mit dem Gen. der Schuld und Accus. der Strafe construiert. Im D. muss es entweder zweimal übersetzt werden ('schuldig befunden werden' u. 'zahlen'), oder der Genit. wird durch eine Präpos. mit ihrem Casus übersetzt. — τῆς φυλακῆς = „nachlässige Bewachung", s. 1, 6, 7 z. τὴν δύναμιν. — τῶν γαυλ. χρημάτων, das gemeinschaftliche Attribut im Gen. obj. steht in der Mitte. Zur Sache s. V, 1, 16. — τὸ μείωμα ist Appos. z. εἴκοσι μνᾶς. Im D. frei = 'den Ausfall, das Deficit', die Summe wird mit einer Präposition angeknüpft. — αἱρεθείς sc. ἐπιμελεῖσθαι aus dem folg. W. Zur Sache s. V, 3, 1. — κατημέλει intr.: 'nachlässig sein'. — παίεσθαι, Inf. imperf. des Pflegens. Vergl. auch I, 1, 6 z. ἦσαν. — ὡς ὑβρίζοντος, s. I, 1, 2 z. ὡς. — τ. κατηγ. ἐποιοῦντο. Umschreibung zur Hervorhebung des wiederholten Begriffs.

§. 2—26. Xenophons humoristische Vertheidigungsrede. §. 2—12. Thl. I. Factische Widerlegung des Anklägers.

§. 2. καί nach Fragewörtern dient zur Hervorhebung und entspricht oft unserm 'denn'. — Im Folgenden dienen die wiederholten Fragen zur anschaulichen Schilderung der Verhandlung, die so gleichsam in unserer Gegenwart vor sich geht. — ῥίγει, s. IV, 5, 7 sqq. — ἀπωλλύμεθα, Impf. s. III, 4, 8 z. ἐλάμβ.

§. 3. χειμῶνός γε ὄντος — ἑπομένων. Von diesen fünfgliedrigen Genit. abs. geben 1 und 5 die Ursachen, 2, 3 u. 4 die Folgen an. — οἵου statt τοιούτου οἵου, s. I, 1, 8 z. ἐκ — ὧν. — πολλῶν, Subject, ist mit ἀπαγορ. zu verbinden. — εἰ — ὕβριζον fasst mit Nachdruck den Inhalt der 5 Glieder zusammen. — ἐν τοιούτῳ, wo aller Uebermuth schwindet. —

ὑβριστότερος εἶναι, οἷς φασιν ὑπὸ τῆς ὕβρεως κόπον οὐκ ἐγ-
γίγνεσθαι. ὅμως δὲ καὶ λέξον, ἔφη, ἐκ τίνος ἐπλήγης. πότερον 4
ᾔτουν σέ τι καὶ ἐπεί μοι οὐκ ἐδίδους ἔπαιον; ἀλλ' ἀπῄτουν; ἀλλὰ
περὶ παιδικῶν μαχόμενος; ἀλλὰ μεθύων ἐπαρῴνησα; ἐπεὶ δὲ τού- 5
των οὐδὲν ἔφησεν, ἐπήρετο αὐτόν, εἰ ὁπλιτεύοι. οὐκ ἔφη. πάλιν, εἰ
πελτάζοι. οὐδὲ τοῦτ' ἔφη, ἀλλ' ἡμίονον ἐλαύνειν ταχθεὶς ὑπὸ τῶν
συσκήνων ἐλεύθερος ὤν. ἐνταῦθα δὴ ἀναγιγνώσκει αὐτὸν καὶ 6
ἤρετο, Ἦ σὺ εἶ ὁ τὸν κάμνοντα ἀγαγών; Ναὶ μὰ Δί', ἔφη· σὺ
γὰρ ἠνάγκαζες· τὰ δὲ τῶν ἐμῶν συσκήνων σκεύη διέρριψας.
Ἀλλ' ἡ μὲν διάρριψις, ἔφη ὁ Ξενοφῶν, τοιαύτη τις ἐγένετο. 7
διέδωκα ἄλλοις ἄγειν καὶ ἐκέλευσα πρὸς ἐμὲ ἀπαγαγεῖν, καὶ ἀπο-
λαβὼν ἅπαντα σᾶ ἀπέδωκά σοι, ἐπεὶ καὶ σὺ ἐμοὶ ἀπέδειξας τὸν
ἄνδρα. οἷον δὲ τὸ πρᾶγμα ἐγένετο ἀκούσατε, ἔφη· καὶ γὰρ
ἄξιον. ἀνὴρ κατελείπετο διὰ τὸ μηκέτι δύνασθαι πορεύεσθαι. 8
καὶ ἐγὼ τὸν μὲν ἄνδρα τοσοῦτον ἐγίγνωσκον, ὅτι εἷς ἡμῶν εἴη·
ἠνάγκασα δὲ σὲ τοῦτον ἄγειν, ὡς μὴ ἀπόλοιτο· καὶ γάρ, ὡς
ἐγὼ οἶμαι, πολέμιοι ἡμῖν ἐφείποντο. συνέφη τοῦτο ὁ ἄνθρωπος.
Οὐκοῦν, ἔφη ὁ Ξενοφῶν, ἐπεὶ προὔπεμψά σε, καταλαμβάνω 9
αὖθις σὺν τοῖς ὀπισθοφύλαξι προσιὼν βόθρον ὀρύττοντα ὡς

οἷς — ἐγγίγνεσθαι ist zur Erklärung hinzugesetzt, weil Xen. die sprichwörtliche Redensart τῶν ὄνων ὑβριστότερος nur darauf bezogen wissen will, dass der Mensch in Leiden nicht übermüthig sein kann.

§. 4. ἐκ causal, wofür διά sonst gebräuchlicher ist. — Nach jeder Frage hält Xenoph. kurze Zeit inne; erst wenn keine (verneinende) Antwort erfolgt ist, fährt er mit ἀλλά fort (s. II, 5, 18 z. d. W.) und fasst dann die Verneinungen, welche jeder Frage hätten folgen sollen, zusammen in ἐπεὶ τούτων κ. τ. λ. — ἀπῄτουν, ἀπό s. I, 1, 8. z. ἀπέπεμπε. — ἔπαιον ist bei den folgenden beiden Fragen auch zu denken. — μεθύων ist zugesetzt, weil παροινεῖν nicht seine eigentliche Bedeutung behalten hat. — ἐπαρῴνησα, beachte das doppelte Augment.

§. 5. οὐκ ἔφη hier = negare. — ἀλλ' sc. ἐπλήγην ἡμίονον κ. τ. λ.

§. 6. ἀναγιγνώσκει — ἤρετο, warum der Wechsel? ἀναγιγν. s. I, 6, 4, z. d. W. — τὸν κάμνοντα, Artikel, weil der Gefragte an ein bekanntes Ereigniss erinnert wird. — διέρριψας, διά = dis.

§. 7. διέδωκα mit Nachdruck am Anfang, im Gegensatz zu dem am Ende stehenden διέρριψας (Chiasmus). — τίς = ungefähr, etwa, s. I, 8, 8. z. d. W. — ἀπαγαγεῖν, ἀπολαβών, ἀπέδωκα und ἀπέδειξας, ἀπό Gegensatz von διά in διέδωκα s. I, 1, 8 z. ἀπέπεμπε. — σᾶ frei: 'richtig'.

§. 8. κατελείπ. auf dem Platze, auf dem er liegt, zurücklassen. Impf. s. III, 4, 8 z. ἐλάμβ. — τοσοῦτον, s. I, 3, 14 z. d. W. — συνέφη, Asyndeton, s. II, 1, 22 z. ἀπεκρίνατο. — ὁ ἄνθρωπος steht im verächtlichen Sinne.

§. 9. ὀρύττοντα ὡς κατορύξοντα, Parechese. — ὡς c. Partic. s. I, 1, 3 z. ὡς ἀποκτενῶν. — ἐπη-

10 κατορύξοντα τὸν ἄνθρωπον, καὶ ἐπιστὰς ἐπῄνουν σε. ἐπεὶ δὲ
παρεστηκότων ἡμῶν συνέκαμψε τὸ σκέλος ἁνήρ, ἀνέκραγον οἱ
παρόντες, ὅτι ζῇ ἁνήρ, σὺ δ' εἶπας, Ὁπόσα γε βούλεται· ὡς
ἔγωγε αὐτὸν οὐκ ἄξω. ἐνταῦθα ἔπαισά σε· ἀληθῆ λέγεις· ἔδο-
11 ξας γάρ μοι εἰδότι ἐοικέναι, ὅτι ἔζη. Τί οὖν; ἔφη, ἧττόν τι ἀπέ-
θανεν, ἐπεὶ ἐγώ σοι ἀπέδειξα αὐτόν; Καὶ γὰρ ἡμεῖς, ἔφη ὁ Ξενο-
φῶν, πάντες ἀποθανούμεθα· τούτου οὖν ἕνεκα ζῶντας ἡμᾶς
12 δεῖ κατορυχθῆναι; τοῦτον μὲν ἀνέκραγον ὡς ὀλίγας παίσειεν·
13 ἄλλους δ' ἐκέλευε λέγειν, διὰ τί ἕκαστος ἐπλήγη. ἐπεὶ δὲ οὐκ
ἀνίσταντο, αὐτὸς ἔλεγεν, Ἐγώ, ὦ ἄνδρες, ὁμολογῶ παῖσαι δὴ
ἄνδρας ἕνεκεν ἀταξίας ὅσοις σώζεσθαι μὲν ἤρκει δι' ὑμῶν, ἐν
τάξει τε ἰόντων καὶ μαχομένων ὅπου δέοι, αὐτοὶ δὲ λιπόντες
τὰς τάξεις προθέοντες ἁρπάζειν ἤθελον καὶ ἡμῶν πλεονεκτεῖν.
14 εἰ δὲ τοῦτο πάντες ἐποιοῦμεν, ἅπαντες ἂν ἀπωλόμεθα. ἤδη δὲ
καὶ μαλακιζόμενόν τινα καὶ οὐκ ἐθέλοντα ἀνίστασθαι, ἀλλὰ
προϊέμενον αὐτὸν τοῖς πολεμίοις, καὶ ἔπαισα καὶ ἐβιασάμην πο-

νουν, denn unbeerdigt zu bleiben galt für ein Unglück.

§. 10. *ἁνὴρ* — *ἁνήρ*, nachdrücklicher Gleichklang. Im D. brauche im letzten Fall den Hauptsatz in orat. dir. als Ausruf. — *ὁπόσα γε βούλεται* = 'so viel er Lust hat', mag er leben. Am besten entspricht unser 'meinetwegen'. — *ὡς ἔγωγε*, eigentlich ein Nebensatz, im D. setze einen Hauptsatz. — *ἀληθῆ λέγεις*, affectvolles Asyndeton. — *ἔδοξας — ἐοικέναι*, im D. genügt der Inf. des griech. Partic.

§. 11. *ἧττόν τι*, *τί* ebenso wie im §. 7 gebraucht, kann durch 'etwa' übersetzt werden. — *ἐγώ σοι* s. IV, 6, 16 z. *κἀγώ*. — *καὶ γάρ*, *γάρ* in Antworten begründet einen verschwiegenen Gedanken: 'freilich starb er, denn' etc. Im D. genügt: 'freilich, ja auch wir'.

§. 12. *τοῦτον* durch Stellung betont. — *ὀλίγας*, der Positiv hat hier mehr die Bedeutung des Comparativs, daher wir 'zu' hinzufügen. Da das Hauptwort fehlt (vgl. I, 2, 10 z. *τὰ Λύκ.* u. I, 3, 3 z. *τὰ τε*), so genügt im D. das Adverb. — *ἄλλους*, die nach § 1 als Ankläger aufgetreten waren. Da der Aufforderung nicht Folge geleistet wurde, so ist *οὐκ ἀνίστ.* = 'keiner'.

§. 13—21. Thl. II. Allgemeine Erörterung, wann er geschlagen.

§. 13. *ὅσοις* — *ἤρκει* frei: 'die es sich gefallen liessen'. Ironie. — *ἰόντων*, Gen. absol. in der Epexegese zum vorhergehenden Accusat. *αὐτοὶ δέ*, im D. subordiniere mit 'während sie selbst'. — *λιπόντες* s. II, 1, 8 z. *παραδόντ.* — *προθέοντες* mache zum Prädicat und für *ἁρπάζειν ἤθελον* genügt der Inf. des Zwecks. — *πάντες* — *ἅπαντες*, nachdrückliche Parechese.

§. 14. *καὶ μαλακιζ.* — *πολεμίοις*, dreigliedriges Obj. zum zweigliedrigen Prädicat. — Das dritte Glied fasst die beiden ersten mit Nachdruck zusammen. — *προϊέμενον αὐτόν*, s. I, 8, 29 z. *ἑαυτόν*. — Zur Sache IV, 5, 15. — *κατέμαθον* c. Partic. als Verb. sent. — Warum der Nominativ? s. II, 1, 13 z. *ἴσθι*. Aehnlich dem franz. savoir mit Inf. könnte man *κατέμαθ.* durch 'können' übersetzen.

ρεύεσθαι. ἐν γὰρ τῷ ἰσχυρῷ χειμῶνι καὶ αὐτός ποτε ἀναμένων
τινὰς συσκευαζομένους καθεζόμενος συχνὸν χρόνον κατέμαθον
ἀναστὰς μόλις καὶ τὰ σκέλη ἐκτείνας. ἐν ἐμαυτῷ οὖν πεῖραν 15
λαβὼν ἐκ τούτου καὶ ἄλλον, ὁπότε ἴδοιμι καθήμενον καὶ βλακεύ-
οντα, ἤλαυνον· τὸ γὰρ κινεῖσθαι καὶ ἀνδρίζεσθαι παρεῖχε θερ-
μασίαν τινὰ καὶ ὑγρότητα, τὸ δὲ καθῆσθαι καὶ ἡσυχίαν ἔχειν
ἑώρων ὑπουργὸν ὂν τῷ τε ἀποπήγνυσθαι τὸ αἷμα καὶ τῷ ἀπο-
σήπεσθαι τοὺς τῶν ποδῶν δακτύλους, ἅπερ πολλοὺς καὶ ὑμεῖς
ἴστε παθόντας. ἄλλον δέ γε ἴσως ἀπολειπόμενόν που διὰ ῥᾳ- 16
στώνην καὶ κωλύοντα καὶ ὑμᾶς τοὺς πρόσθεν καὶ ἡμᾶς τοὺς
ὄπισθεν πορεύεσθαι ἔπαισα πύξ, ὅπως μὴ λόγχῃ ὑπὸ τῶν πολε-
μίων παίοιτο. καὶ γὰρ οὖν νῦν ἔξεστιν αὐτοῖς σωθεῖσιν, εἴ τι ὑπ' 17
ἐμοῦ ἔπαθον παρὰ τὸ δίκαιον, δίκην λαβεῖν. εἰ δ' ἐπὶ τοῖς πολε-
μίοις ἐγένοντο, τί μέγα ἂν οὕτως ἔπαθον ὅτου δίκην ἂν ἠξίουν
λαμβάνειν; ἁπλοῦς μοι, ἔφη, ὁ λόγος· εἰ μὲν ἐπ' ἀγαθῷ ἐκόλασά 18
τινα, ἀξιῶ ὑπέχειν δίκην, οἵαν καὶ γονεῖς υἱοῖς καὶ διδάσκαλοι
παισί· καὶ γὰρ οἱ ἰατροὶ καίουσι καὶ τέμνουσιν ἐπ' ἀγαθῷ· εἰ 19
δὲ ὕβρει νομίζετέ με ταῦτα πράττειν, ἐνθυμήθητε, ὅτι νῦν ἐγὼ
θαρρῶ σὺν τοῖς θεοῖς μᾶλλον ἢ τότε καὶ θρασύτερός εἰμι νῦν

§. 15. *ἐκ τούτου* = 'darnach' verstärkt den Grund, der schon im Particip liegt. Vergl. I, 7, 3 z. *διὰ τοῦτο*. — *ὁπότε*, im D. ein Relativsatz. — *ἴδοιμι*, Optat. iterativ. — *τὸ γὰρ* — *τὸ δέ*, Epanaphora. *ἑώρων ὑπουργὸν ὄν*, im D. *ἑώρων* als Zwischensatz, *ὑπουργὸν ὄν* = beförderte. — *ἅπερ*, Accus. c. Inf. im Relativsatze mit betonter Stellung des *πολλούς*.

§. 16. *καὶ ὑμᾶς* — *ὄπισθεν*, Parallelismus mit Gleichklang. S. auch I, 5, 16 z. *ἄλλοι* u. vgl. IV, 6, 14. — *πύξ* — *λόγχῃ*, Chiasmus.

§. 17. *καὶ γὰρ οὖν*, Ironie. Sinn: 'Durch meine Strenge sind sie gerettet, denn'. — *δίκαιον*, *δίκην*, Parechese. — *ἐπί*, c. Dat., s. I, 1, 4 zu *ἐπί τινι εἶναι*. — *τί μέγα* — *λαμβάνειν*. Der Nachsatz: 'so würden sie auch für das grösste Unrecht Genugthuung zu erhalten nicht fordern können' ist in eine sarkastische Frage verwandelt. — Stellung des *οὕτως*?

§. 18. Im Folgenden beachte die Steigerung des Affects. *ἐπ' ἀγαθῷ* — *ἐπ' ἀγαθῷ*, Chiasmus, s. II, 3, 5 z. *ἄριστον*. — *ὑπέχειν δίκην* = 'mich einem Rechte oder Urtheile zu unterziehen'. — *οἵαν*, sc. *ὑπέχουσι*; mit diesem Satze will Xen. fein andeuten, dass er als Vater und Wohlthäter zu betrachten und sein Verhältniss zu den Soldaten ein Pietätsverhältniss sei. — *καὶ γάρ* bezieht sich auf den verschwiegenen Gedanken: Oft dient die Strenge zu unsrem Besten. In andrer Beziehung sagt ein lateinischer Dichter von sich: Fortiter et ferrum, saevos patiemur et ignes; sit modo libertas, quae velit ira, loqui.

§. 19. *πράττειν*, Inf. Impf. — *σὺν τ. θεοῖς*, die mich gerettet haben. — *θαρρῶ*, *θρασύτερ.*, *πίνω* geben die Veranlassung zur *ὕβρις* an. Sinn: Lust am Schlagen

1. κινέω bewegen. 2. sich anstrengen. 3. Geschmeidigkeit. 4. förderlich. 5. [illegible] 6. abfaulen. 7. wahrscheinlich. 8. Trägheit. 9. adv. mit der Faust. 10. wen müsste ich denn zur Rechenschaft fordern? 11. mutig

ἢ τότε καὶ οἶνον πλείω πίνω, ἀλλ' ὅμως οὐδένα παίω· ἐν εὐδίᾳ
20 γὰρ ὁρῶ ὑμᾶς. ὅταν δὲ χειμὼν ᾖ καὶ θάλαττα μεγάλη ἐπιφέρηται, οὐχ ὁρᾶτε, ὅτι καὶ νεύματος μόνου ἕνεκα χαλεπαίνει μὲν πρῳρεὺς τοῖς ἐν πρῴρᾳ, χαλεπαίνει δὲ κυβερνήτης τοῖς ἐν πρύμνῃ; ἱκανὰ γὰρ ἐν τῷ τοιούτῳ καὶ μικρὰ ἁμαρτηθέντα πάντα
21 συνεπιτρῖψαι. ὅτι δὲ δικαίως ἔπαιον αὐτοὺς καὶ ὑμεῖς κατεδικάσατε· ἔχοντες ξίφη, οὐ ψήφους, παρέστατε, καὶ ἐξῆν ὑμῖν ἐπικουρεῖν αὐτοῖς, εἰ ἐβούλεσθε· ἀλλὰ μὰ Δία οὔτε τούτοις
22 ἐπεκουρεῖτε οὔτε σὺν ἐμοὶ τὸν ἀτακτοῦντα ἐπαίετε. τοιγαροῦν ἐξουσίαν ἐποιήσατε τοῖς κακοῖς αὐτῶν ὑβρίζειν ἐῶντες αὐτούς. οἶμαι γάρ, εἰ ἐθέλετε σκοπεῖν, τοὺς αὐτοὺς εὑρήσετε καὶ τότε
23 κακίστους καὶ νῦν ὑβριστοτάτους. Βοΐσκος γοῦν ὁ πύκτης ὁ Θετταλὸς τότε μὲν διεμάχετο ὡς κάμνων ἀσπίδα μὴ φέρειν, νῦν
24 δ', ὡς ἀκούω, Κοτυωριτῶν πολλοὺς ἤδη ἀποδέδυκεν. ἢν οὖν σωφρονῆτε, τοῦτον τἀναντία ποιήσετε ἢ τοὺς κύνας ποιοῦσι· τοὺς μὲν γὰρ κύνας τοὺς χαλεποὺς τὰς μὲν ἡμέρας διδέασι, τὰς δὲ νύκτας ἀφιᾶσι, τοῦτον δέ, ἢν σωφρονῆτε, τὴν νύκτα μὲν
25 δήσετε, τὴν δὲ ἡμέραν ἀφήσετε. ἀλλὰ γάρ, ἔφη, θαυμάζω, ὅτι

ist nicht mein Charakter, das beweise ich jetzt u. s. w.'. — Beachte aber die verschiedene Stellung des *νῦν* zur Hebung des Gegensatzes und dass *νῦν ἢ τότε* beim dritten Gliede fehlt. — *ὁρῶ* ohne Particip stimmt in solchen Sätzen mit dem Deutschen. — *ἐν εὐδίᾳ* tropisch zum Uebergang zum folgenden Gedanken.

§. 20. *χειμὼν ᾖ* fasse im D. als Adverbialbestimmung zu *θάλαττα* — *ἐπιφέρηται*. — *μεγάλη* ist Theil des Prädicats *μεγάλ. ἐπιφέρηται* = 'geht hoch'. S. auch I, 2, 25 z. *προτέρα*. Schillers Tell: „ihr seht, wie hoch der See geht." Auch der Lat. nennt das stürmische Meer mare magnum. — *μόνου*, s. I, 3, 14 z. *τοσοῦτον*. — *χαλεπαίνει*, Anaphora, s. IV, 6, 10 z. *ὅπως ἐλάχιστα*. — *ἁμαρτηθέντα* im D. durch ein Hauptwort.

§. 21. *κατεδικάσατε*, *κατά* — gegen die Frevler. — *ἔχοντες*, erklärendes Asyndeton. — *οὐ ψήφ.* Sinn: 'es war auf dem Marsche, nicht in einer Versammlung'. — *σὺν ἐμοί*, Xen. erinnert damit an den III, 2, 21 gefassten Beschluss. — *τὸν ἀτακτοῦντα* bezeichnet als collectives Appellativum sämmtliche Individuen einer Gattung.

§. 22—26. Rüge der unzeitigen Nachsicht und der Undankbarkeit.

§. 22. *τοιγαροῦν ἐξουσίαν κ. τ. λ.* bezieht sich auf *οὔτε — ἐπαίετε*, *αὐτῶν* sc. *τῶν ἀτακτούντων*. — *οἶμαι γάρ* im D. ein Zwischensatz. Warum? — *καὶ τότε κακίστους*, statt der Beiordnung im D. ein Relativsatz.

§ 23. *τότε μὲν — νῦν δέ*, Anaphora mit Chiasmus gemischt. = *διεμάχετο*, kämpfte es durch, frei: 'weigerte sich'. — *μή*, s. I, 3, 2 z. d. W. — *ὡς κάμνων* = indem er vorgab, dass. Im D. gebrauche 'weil' c. Conj. — *ἀποδύω*, *ἀπό* = auskleiden i. e. der Kleider berauben. Verschwiegener Gedanke ist: und trägt deren Kleider.

§. 24. Anaphora der Wortstellung, aber Chiasmus der Satzstellung. — *ποιοῦσι*, im D. 'man'.

1. Windstille; hier = guter Zustand od. Lage. 2. Sturm. 3. Wink, Beifall. 4. unwillig sein. 5. Untersteuermann. 6. Vorderteil des Schiffes. 7. Hinterteil d. Sch. 8. zu Grunde richten. 9. Stimmtäfelchen. 10. helfen. 11. [illegible] sein. 12. Faustkämpfer. 13. doppelt binden.

εἰ μέν τινι ὑμῶν ἀπηχθόμην, μέμνησθε καὶ οὐ σιωπᾶτε, εἰ δέ
τῳ ἢ χειμῶνα ἐπεκούρησα ἢ πολέμιον ἀπήρυξα ἢ ἀσθενοῦντι
ἢ ἀποροῦντι συνεξεπόρισά τι, τούτων δὲ οὐδεὶς μέμνηται, οὐδ'
εἴ τινα καλῶς τι ποιοῦντα ἐπῄνεσα οὐδ' εἴ τιν' ἄνδρα ὄντα ἀγα-
θὸν ἐτίμησα ὡς ἐδυνάμην, οὐδὲ τούτων μέμνησθε. ἀλλὰ μὴν 26
καλόν γε καὶ δίκαιον καὶ ὅσιον καὶ ἥδιον, τῶν ἀγαθῶν μᾶλλον
ἢ τῶν κακῶν μεμνῆσθαι.

Ἐκ τούτου μὲν δὴ ἀνίσταντο καὶ ἀνεμίμνησκον. καὶ περιεγένετο ὥστε καλῶς ἔχειν.

[Ϛ.]

Ἐκ τούτου δὲ ἐν τῇ διατριβῇ οἱ μὲν ἀπὸ τῆς ἀγορᾶς ἔζων, I.
οἱ δὲ καὶ λῃζόμενοι ἐκ τῆς Παφλαγονίας. ἐκλώπευον δὲ καὶ οἱ
Παφλαγόνες εὖ μάλα τοὺς ἀποσκεδαννυμένους, καὶ τῆς νυκτὸς
τοὺς πρόσω σκηνοῦντας ἐπειρῶντο κακουργεῖν· καὶ πολεμικώ-
τατα πρὸς ἀλλήλους εἶχον ἐκ τούτων. ὁ δὲ Κορύλας, ὃς ἐτύγ- 2
χανε τότε Παφλαγονίας ἄρχων, πέμπει παρὰ τοὺς Ἕλληνας πρέσ-
βεις ἔχοντας ἵππους καὶ στολὰς καλάς, λέγοντας, ὅτι Κορύλας
ἕτοιμος εἴη τοὺς Ἕλληνας μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι. οἱ δὲ 3

§. 25. ἀλλὰ γάρ, doch eine andre Bemerkung will ich machen; ich wundere mich nämlich. In §. 25 u. 26 ist neben der Anaphora die Wiederholung von μεμνῆσθαι zu beachten, die durch den Wechsel der Form, obwohl die Rede denselben Personen gilt, verstärkt wird. Dazu kommen die kurzen Sätze mit gleichen Ausgängen und die Häufung der Negation, so wie die Zusammenfassung des Vorhergehenden durch τούτων. — οὐ σιωπᾶτε, ein durch Litotes verstärkter Pleonasmus. — χειμῶνα, Sachobj. zu ἐπεκούρησα = 'einen gegen etwas schützen'.

§. 26. ἀλλὰ μὴν κ. τ. λ. Der allgemeine Gedanke giebt der ganzen Rede einen kräftigen Schluss. — ἀνεμίμνησκον sc. der Dienste und Wohlthaten des Xenophon. — περιεγένετο, s. Lexikon.

I. Vertrag mit den Paphlagoniern und Seereise nach Harmene.

§. 1—14. Der Vertrag wird geschlossen. Waffentänze.

§. 1. ἀπὸ τῆς ἀγορᾶς und λῃζόμενοι stehen parallel, daher letzteres nach I, 1, 6 z. ἐπιβουλ. 1 zu übersetzen. — ἀγορᾶς, Excurs. §. 51. — ἐκλώπευον — ἐπειρῶντο, Chiasmus. — εὖ μάλα, μάλα nachgestellt. — ἐκ τούτων, s. I, 3, 11 z. d. W.

§. 2. ἔχοντας — καλάς, solche Geschenke sind noch jetzt Sitte. — μήτε ἀδικεῖν — ἀδικεῖσθαι, Umschreibung des Begriffs: 'Frieden schliessen', in der die Bedingungen genannt werden. ἀδικεῖ-

1. zu helfen. 2. ἀπερύκω abwehren. 3. verschaffen. 4. einen Ausgang nehmen.
Cap. VIII.
5. 7. [illegible] auffangen. 6. zu zerstreuen. 7. sich (näml. Korylas) Unrecht thun z. lassen (v. d. Hellenen.)

στρατηγοὶ ἀπεκρίναντο, ὅτι περὶ μὲν τούτων σὺν τῇ στρατιᾷ
βουλεύσοιντο, ἐπὶ ξένια δὲ ἐδέχοντο αὐτούς· παρεκάλεσαν δὲ
καὶ τῶν ἄλλων ἀνδρῶν οὓς ἐδόκουν δικαιοτάτους εἶναι. θύ-
4 σαντες δὲ βοῦς τῶν αἰχμαλώτων καὶ ἄλλα ἱερεῖα εὐωχίαν μὲν
ἀρκοῦσαν παρεῖχον, κατακείμενοι δὲ ἐν σκίμποσιν ἐδείπνουν,
καὶ ἔπινον ἐκ κερατίνων ποτηρίων, οἷς ἐνετύγχανον ἐν τῇ χώρᾳ.
5 ἐπεὶ δὲ σπονδαί τ' ἐγένοντο καὶ ἐπαιάνισαν, ἀνέστησαν πρῶτον
μὲν Θρᾷκες καὶ πρὸς αὐλὸν ὠρχήσαντο σὺν τοῖς ὅπλοις καὶ ἥλ-
λοντο ὑψηλά τε καὶ κούφως καὶ ταῖς μαχαίραις ἐχρῶντο· τέλος
δὲ ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς πᾶσιν ἐδόκει [πεπληγέναι τὸν
6 ἄνδρα]· ὁ δ' ἔπεσε τεχνικῶς πως. καὶ ἀνέκραγον οἱ Παφλα-
γόνες. καὶ ὁ μὲν σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου ἐξῄει ᾄδων τὸν
Σιτάλκαν· ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνη-

σθαι hängt nur durch ein Zeugma von ἕτοιμος ab — sich Unrecht gefallen lassen. Von wem? ergiebt die betonte Stellung von τοὺς Ἕλλην.

§. 3. ξένια ist hier nur von der 'gastlichen Bewirtung' zu verstehen. — δίκαιος mit zu ergänzendem Inf.: 'ich habe ein Recht, bin dazu berechtigt'. Das verbale Object ist aus παρεκάλεσαν zu ergänzen, s. I, 2, 15 zu ὡς νόμος. II, 3, 11 zu τὸν ἐπιτήδ.

§. 4. τῶν αἰχμαλώτων, Gen. partit. übersetze durch ein adjectivisches Attrib. — κατακείμενοι δὲ ἐν σκίμπ., die Sitte des Liegens ist in der historischen Zeit die herrschende. Dabei stützte man sich mit dem linken Arme auf das im Rücken liegende Kissen und hatte so den rechten Arm frei. — κερατίνων ποτηρίων, Trinkhörner hatten auch die alten Deutschen. Caes. b. G. VI, 28.

§. 5. ἐπεὶ δὲ σπονδαί, bei den Gastmählern war den Griechen das auf die Mahlzeit folgende Symposion die Hauptsache. Sobald die Speisen fortgetragen, die Tische weggehoben waren, wusch man sich die Hände, stimmte den Lobgesang an; dann wurde das Trinken, womit der Nachtisch verbunden war, der durch seine Näschereien die Lust am Trinken unterhalten sollte, mit den drei Spenden begonnen, deren erste den Göttern, die zweite den Heroen, die dritte dem rettenden Zeus dargebracht ward. Zugleich wurden diese Symposien durch anziehende Gespräche gewürzt, durch Musik, Tanz und andre Künste, durch Spiele und Scherz aller Art erheitert. So führen auch hier die Krieger mehrerer der im Griechenheere vertretenen Stämme nationale Waffentänze auf. — ἐγένοντο καὶ ἐπαιάνισαν, Wechsel des Subjects. — πρός zum Ausdruck der Begleitung: = 'zur'. S. Hell. V, I, 9: πρὸς τὴν σελήνην = zum (wir: beim) Mondenschein: — ὠρχήσαντο — ἥλλοντο — ἐχρῶντο, Wechsel der tempora: Aorist die Haupthandlung, Imperf. die Nebenhandlungen. — πρῶτον μέν, der entsprechende Gegensatz ist μετὰ τοῦτο im §. 7. Vergl. III, 1, 13. — ὑψηλά, s. I, 3, 3 z. τὰ ἄλλα ἐτίμησε u. I, 2, 10 zu τὰ Λύκ ἔθυσ. — ὡς ἐδόκει, Folgesatz. Wörtlich: 'wie es allen schien, den Mann geschlagen zu haben'.

§. 6. ἀνέκραγον, warum? — τὸν Σιτάλκαν, ein Kriegs- und Siegeslied zu Ehren des thrakischen Fürsten Sitalkas. Lieder nach den besungenen Helden zu benennen,

κότα· ἦν δὲ οὐδὲν πεπονθώς. μετὰ τοῦτο Αἰνιᾶνες καὶ Μάγνη- 7
τες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν καλουμένην ἐν τοῖς
ὅπλοις. ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν, ὁ μὲν παραθέμενος τὰ 8
ὅπλα σπείρει καὶ ζευγηλατεῖ πυκνὰ στρεφόμενος ὡς φοβού-
μενος, λῃστὴς δὲ προσέρχεται· ὁ δ' ἐπειδὰν προΐδηται, ἀπαντᾷ
ἁρπάσας τὰ ὅπλα καὶ μάχεται πρὸ τοῦ ζεύγους· καὶ οὗτοι ταῦτ'
ἐποίουν ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν· καὶ τέλος ὁ λῃστὴς δήσας
τὸν ἄνδρα [καὶ] τὸ ζεῦγος ἀπάγει· ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης
τὸν λῃστήν· εἶτα παρὰ τοὺς βοῦς ζεύξας ὀπίσω τὼ χεῖρε δεδε-
μένον ἐλαύνει. μετὰ τοῦτο Μυσὸς εἰσῆλθεν ἐν ἑκατέρᾳ τῇ χειρὶ 9
ἔχων πέλτην, καὶ τοτὲ μὲν ὡς δύο ἀντιταττομένων μιμούμενος
ὠρχεῖτο, τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις, τοτὲ δ' ἐδι-
νεῖτο καὶ ἐξεκυβίστα ἔχων τὰς πέλτας, ὥστε ὄψιν καλὴν φαίνεσθαι.
τέλος δὲ τὸ περσικὸν ὠρχεῖτο κρούων τὰς πέλτας, καὶ ὤκλαζε 10
καὶ ἐξανίστατο· καὶ ταῦτα πάντα ἐν ῥυθμῷ ἐποίει πρὸς τὸν
αὐλόν. ἐπὶ δὲ τούτῳ [ἐπιόντες] οἱ Μαντινεῖς καὶ ἄλλοι τινὲς τῶν 11

ist auch bei andern Völkern Sitte, z. B. Ludwigslied, Rolandslied, der alte Dessauer Marsch. — ἐξέφερον, 'efferre mortuum'. — ἦν πεπονθώς, s. II, 2, 13 zu ἦν δυναμ.

§. 7. τὴν καρπαίαν, ein thessalischer Waffentanz, wahrscheinlich von καρπός = Same, Frucht, also 'Fruchttanz'. — Αἰνιᾶνες, s. I, 2, 6. — Μάγνητες, Völkerschaft des südlichen Thessalien.

§. 8. πυκνά, s. §. 5 zu ὑψηλά. — λῃστὴς δέ, lebhafte Schilderung, auch im D. diese Kürze: Zu ihm kommt ein Räuber, d. i. einer, der einen Räuber vorstellt. — πρό, s. I, 4, 4 z. d. W. — καὶ οὗτοι, καί = auch, in Beziehung auf §. 5. — τὸν λῃστήν, das Prädicat ist das in δήσας liegende νικᾷ: das δήσας ἀπάγει wiederholt sich dann in ζεύξας — ἐλαύνει. — τὼ χεῖρε, Acc. beim Passiv, s. I, 3, 10 z. ἀδικεῖν. Merke auf den fast ausschliesslich so gebrauchten Artikel im Dual fürs Femininum.

§. 9. μετὰ τοῦτο, s. z. §. 5. πρῶτον μέν. — In der folgenden Schilderung beachte die Anaphora und die viermalige Wiederholung von πέλτη (die Antistrophe schildert anschaulich). — ὡς δύο ἀντιταττομ., Gen. absol. — μιμούμενος ὠρχεῖτο frei: 'gebehrdete sich beim Tanze', z. I, 2, 18 z. ἰδοῦσα. Dr. Livingstone beschreibt in seiner Schilderung der Aufnahme bei dem Häuptlinge Schinte (Missionsreisen in Süd-Afrika. Deutsche Ausg. Bd. I. p. 331) einen ähnlichen Tanz: 'Ein Mann steht auf und macht alle Kämpferstellungen nach; er stellt sich, als ob er einen Wurfspiess schleudre und einen andern mit dem Schilde auffinge, springt auf die Seite, als wollte er einem dritten ausweichen, läuft rückwärts und vorwärts u. s. w.' — ἐξεκυβίστα, ἐκ, aus dem zum Umdrehen bestimmten Platze heraus, s. Taf. 3 Fig. 48. Um die Kunstfertigkeit im Ueberschlagen grösser erscheinen zu lassen, verband er sie mit Gefährlichkeit. So hier, denn die πέλται hindern ihn nicht. Hom. Odyss. 4, 18 sq.

§. 10. τὸ περσικόν, Name vom Volke; so bei uns: die Polonaise, Française. — Polysyndeton in der Schilderung.

§. 11. In diesem §. tritt das Wesen des griechischen Tanzes hervor.

1. ἐω (ζεῦγος, ἐλαύνω) pflügen. 2. vermuten. 3. Gespann. 4. Pflüger. 5. acc d. Beziehung = an den H. 6. für Myser. 7. δίνεω sich umdrehen. 8. ἐκκυβιστάω sich kopfüber hinausstürzen. 9. d. pers. Tanz. 10. zusammenschlagen. 11. zu d. Knien beugen. 12. nach diesem (masc.)

Ἀρκάδων ἀναστάντες ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλλιστα ᾖσάν τε ἐν ῥυθμῷ, πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι, καὶ ἐπαιάνισαν καὶ ὠρχήσαντο ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις. ὁρῶντες δὲ οἱ Παφλαγόνες δεινὰ ἐποιοῦντο πάσας τὰς ὀρχήσεις
12 ἐν ὅπλοις εἶναι. ἐπὶ τούτοις ὁρῶν ὁ Μυσὸς ἐκπεπληγμένους αὐτούς, πείσας τῶν Ἀρκάδων τινὰ πεπαμένον ὀρχηστρίδα εἰσάγει σκευάσας ὡς ἐδύνατο κάλλιστα καὶ ἀσπίδα δοὺς κούφην αὐτῇ.
13 ἡ δὲ ὠρχήσατο πυρρίχην ἐλαφρῶς. ἐνταῦθα κρότος ἦν πολύς, καὶ οἱ Παφλαγόνες ἤροντο, εἰ καὶ γυναῖκες συνεμάχοντο αὐτοῖς. οἱ δ' ἔλεγον, ὅτι αὗται καὶ αἱ τρεψάμεναι εἶεν βασιλέα ἐκ τοῦ στρατοπέδου. τῇ μὲν [οὖν] νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο.

14 Τῇ δὲ ὑστεραίᾳ προσῆγον αὐτοὺς εἰς τὸ στράτευμα· καὶ ἔδοξε τοῖς στρατιώταις μήτε ἀδικεῖν Παφλαγόνας μήτε ἀδικεῖσθαι. μετὰ τοῦτο οἱ μὲν πρέσβεις ᾤχοντο· οἱ δὲ Ἕλληνες, ἐπειδὴ πλοῖα ἱκανὰ ἐδόκει παρεῖναι, ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ, ἐν ἀριστερᾷ ἔχοντες τὴν Παφλαγονίαν.
15 τῇ δ' ἄλλῃ ἀφικνοῦνται εἰς Σινώπην καὶ ὡρμίσαντο εἰς Ἁρμήνην τῆς Σινώπης. [25. Mai] Σινωπεῖς δὲ οἰκοῦσι μὲν ἐν

Derselbe soll jederzeit körperlicher Ausdruck einer innern Vorstellung sein und was die Poesie durch Worte, das soll der Tanz durch Bewegung bewirken; daher beide in genauem Zusammenhange stehen. — Μαντινεῖς, aus Mantinea in Arkadien. — πρὸς — αὐλούμενοι, erklärender Zusatz z. ἐν ῥυθμῷ. αὐλούμ. = während sie sich d. Fl. blasen liessen, ihnen auf der Flöte vorgespielt wurde'. — πρὸς τὸν ἐνόπλ. ῥυθμόν = 'nach einem dem Waffentanze entsprechenden Takte'. — Flötenspielerinnen befanden sich bei den Gelagen, weil der bakchische Charakter der Gelegenheit sie von selbst herbeizog. — προσόδοις, 'festliche Aufzüge, Processionen', — πρὸς τ. θεούς, Götter statt der Tempel, in denen sie wohnen, nach derselben Metonymie, wie man das Volk statt des Landes nennt. — δεινὰ ποιεῖσθαι = 'für etwas Ausserordentliches halten', s. I, 9, 7 z. ποιεῖσθαι.

§. 12. ἐπὶ τούτοις gehört z. ἐκπεπληγμ. — πείσας frei; 'mit Bewilligung'. — πυρρίχη, von der Pyrriche, die als mimisch-dramatischer Waffentanz zur Flöte aufgeführt wurde und ungemein schnelle und leichte Rhythmen hatte, sagt Plato (Leg. VIII, 815), dass sie alle Schutzwendungen durch Ausbeugung von Stoss und Wurf, Zurückweichen, Aufspringen und Zusammenkrümmen nachahme und ebenso die entgegengesetzten Bewegungen angreifender Art beim Bogenschuss und Lanzenwurf und jedes Stosses Nachahmung darstelle.

§. 13. αἱ τρεψάμεναι εἶεν, scherzhafte Uebertreibung des I. 10, 3 Erzählten. Zur Uebers. s. III, I, 42 z. ποιοῦσα.

§. 14—16. Abfahrt nech Harmene bei Sinope.

§. 14. προσῆγον, von der Einführung in die Versammlung. — αὐτούς, die Gesandten, s. o. §. 2.

§. 15. εἰς hier wie IV, 8, 22 ἐν von der Umgegend. — τῆς Σινώπης, s. II, 2, 6 z. Ἰωνίας. — Ἁρμήνη, Hafen im Gebiete der Stadt Sinope, der 50 Stadien (vgl. Exc. §. 24 Anm. 5) gegen Westen von

1. sich vollständig bewaffnen. 2. v. εἶμι 3. adj. 4. ein auf d. Flöte blas.; med. sich etw. vorspielen lassen. 5. πάομαι erwerben. 6. die Tänzerin. 7. putzen, schmücken. 8. ein Waffentanz. 9. v. κροτέω beifallklatschen. 10. πας med. in d. Schlacht schlagen. 11. ὁρμίζω in d. Ankerplatz einlaufen.

τῇ Παφλαγονικῇ, Μιλησίων δὲ ἄποικοί εἰσιν. οὗτοι δὲ ξένια πέμπουσι τοῖς Ἕλλησιν ἀλφίτων μὲν μεδίμνους τρισχιλίους, οἴνου δὲ κεράμια χίλια καὶ πεντακόσια. καὶ Χειρίσοφος ἐν- 16
ταῦθα ἦλθε τριήρη ἔχων. καὶ οἱ μὲν στρατιῶται προσεδόκων ἄγοντά τί σφισιν ἥκειν· ὁ δ᾽ ἦγε μὲν οὐδέν, ἀπήγγελλε δέ, ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ ναύαρχος καὶ οἱ ἄλλοι, καὶ ὅτι ὑπισχνεῖτο Ἀναξίβιος, εἰ ἀφικνοῖντο ἔξω τοῦ Πόντου, μισθοφορὰν αὐτοῖς ἔσεσθαι. καὶ ἐν ταύτῃ τῇ Ἁρμήνῃ ἔμειναν οἱ 17
στρατιῶται ἡμέρας πέντε. ὡς δὲ τῆς Ἑλλάδος ἐδόκουν ἐγγὺς γίγνεσθαι, ἤδη μᾶλλον ἢ πρόσθεν εἰσῄει αὐτούς, ὅπως ἂν καὶ ἔχοντές τι οἴκαδε ἀφίκωνται. ἡγήσαντο οὖν, εἰ ἕνα ἕλοιντο 18
ἄρχοντα, μᾶλλον ἂν ἢ πολυαρχίας οὔσης δύνασθαι τὸν ἕνα χρῆσθαι τῷ στρατεύματι καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἴ τι δέοι λανθάνειν, μᾶλλον ἂν κρύπτεσθαι, καὶ εἴ τι αὖ δέοι φθάνειν, ἧττον ἂν ὑστερίζειν· οὐ γὰρ ἂν λόγων δεῖν πρὸς ἀλλήλους, ἀλλὰ τὸ δόξαν τῷ ἑνὶ περαίνεσθαι ἄν· τὸν δ᾽ ἔμπροσθεν χρόνον ἐκ τῆς νικώσης ἔπραττον πάντα οἱ στρατηγοί. ὡς δὲ ταῦτα 19
διενοοῦντο, ἐτράποντο ἐπὶ τὸν Ξενοφῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον προσιόντες αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γιγνώσκει, καὶ εὔνοιαν ἐνδεικνύμενος ἕκαστος ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν. ὁ δὲ Ξενοφῶν τῇ μὲν ἐβούλετο ταῦτα, νομίζων καὶ τὴν 20

der Stadt entfernt liegt. — *μεδίμνους*, Exc. §. 51 Anm. 3. — *κεράμιον*, dieses Maass für Flüssigkeiten war an Inhalt dem attischen Metretes gleich. Dieser enthielt $34\frac{1}{2}$ Preuss. Quart = $39\frac{1}{2}$ l.

§. 16. *ἦλθε*, aber unverrichteter Sache. Seine Abreise s. V, 1, 4. — *ἄγοντα* — *ἥκειν* frei: 'etwas bringen'. — *ἀπήγγελλε*, frei kann es durch 'als die Nachricht' übersetzt werden. — *ἐπαινοίη* — *ὑπισχνεῖτο*, warum der Wechsel des Modus? Wegen des Sing. s. II, 4, 16 z. ἔπεμψε.

§. 17—33. Xenophon lehnt die Wahl zum Oberbefehlshaber ab, Cheirisophos nimmt sie an. — §. 17—19. Beweggründe der Soldaten.

§. 17. *εἰσῄει*, 'in mentem venire'. Welcher Unterschied ist zwischen beiden Redeweisen? Als Subj. z. εἰσῄει ist im D. aus dem Inhalte des abhängigen Satzes ein entsprechendes abstractum hinzuzusetzen. — *ὅπως*, ähnlich wie I, 1, 4 z. d. W. — *καί* = nicht blos zurückkehren, **sondern auch**. — *ἔχοντες ἀφίκωνται*, s. §. 16 z. *ἄγοντα*, oder übers. ἔχοντές τι durch ein Hauptw. mit e. Präpos.

§. 18. *πολυαρχίας οὔσης*, Gen. abs. steht parallel dem Conditionalsatze. *πολυαρχίας*, Abstract. pro concreto im collectiven Sinne. — *τὸ δόξαν τῷ ἑνί* = 'die Meinung des einen'. — *τὸν* — *οἱ στρατηγοί*, epexegetische Bemerkung des Xenophon. — *ἐκ τῆς νικώσης* i. e. γνώμης oder ψήφου, frei: 'nach Stimmenmehrheit'.

§. 19—24. Erwägungen des Xenophon.

§. 19. *ἔπειθεν*, Impf. des conatus, s. I, 3, 1. — *ὑποστῆναι*, warum ὑπό?

§. 20. *τῇ μέν*, statt τῇ δέ folgt §. 21 *ὁπότε δέ*. — *καὶ τὴν τιμ.*

1. Scheffel. 2. tausendfünfhundert. 3. erwarten, hoffen. 4. zu spät kommen. 5. suscipere.

τιμὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι καὶ πρὸς τοὺς φίλους καὶ
εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι αὐτοῦ, τυχὸν δὲ καὶ
21 ἀγαθοῦ τινος ἂν αἴτιος τῇ στρατιᾷ γενέσθαι. τὰ μὲν δὴ τοι-
αῦτα ἐνθυμήματα ἐπῇρεν αὐτὸν ἐπιθυμεῖν αὐτοκράτορα γενέ-
σθαι ἄρχοντα. ὁπότε δ' αὖ ἐνθυμοῖτο, ὅτι ἄδηλον μὲν παντὶ
ἀνθρώπῳ, ὅπῃ τὸ μέλλον ἕξει, διὰ τοῦτο δὲ καὶ κίνδυνος εἴη
22 καὶ τὴν προειργασμένην δόξαν ἀποβαλεῖν, ἠπορεῖτο. διαπο-
ρουμένῳ δὲ αὐτῷ διακρῖναι, ἔδοξε κράτιστον εἶναι τοῖς θεοῖς
ἀνακοινῶσαι· καὶ παραστησάμενος δύο ἱερεῖα ἐθύετο τῷ Διὶ
τῷ βασιλεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν· καὶ τὸ ὄναρ
δὴ ἀπὸ τούτου τοῦ θεοῦ ἐνόμιζεν ἑωρακέναι, ὃ εἶδεν, ὅτε
23 ἤρχετο ἐπὶ τὸ συνεπιμελεῖσθαι τῆς στρατιᾶς καθίστασθαι. καὶ
ὅτε ἐξ Ἐφέσου ὡρμᾶτο Κύρῳ συσταθησόμενος, ἀετὸν ἀνε-
μιμνήσκετο ἑαυτῷ δεξιὸν φθεγγόμενον, καθήμενον μέντοι, ὅν-
περ ὁ μάντις ὁ προπέμπων αὐτὸν ἔλεγεν ὅτι μέγας μὲν οἰω-
νὸς εἴη καὶ οὐκ ἰδιωτικὸς καὶ ἔνδοξος, ἐπίπονος μέντοι· τὰ γὰρ
ὄρνεα μάλιστα ἐπιτίθεσθαι τῷ ἀετῷ καθημένῳ· οὐ μέντοι χρη-
ματιστικὸν εἶναι τὸν οἰωνόν· τὸν γὰρ ἀετὸν πετόμενον μᾶλλον

— **καὶ πρὸς τ. φίλους** sind die verbundenen Sätze, **καὶ εἰς πόλιν** verbindet Satzglieder. Beachte die mit Chiasmus gemischte anaphorische Stellung und Trennung des *αὐτοῦ*. — **αἴτιος**, Nom. c. Inf. nach vorhergehendem Acc. c. Inf. — **τυχόν**, Acc. absol., frei: 'vielleicht'.

§. 21. **τὰ μὲν δή**, dieser Gedanke fasst den Inhalt des Vorhergehenden zusammen. — **ὁπότε** c. Opt. s. I, 5, 2 z. *ἐπεί*. — **τὴν προειργασμένην — ἀποβαλεῖν**, ante partam rei militaris laudem amittere. Caes. b. G. VI, 40. — **ἠπορεῖτο**. — **διαπορ.** s. II, 4, 9 z. *ἐπορ*.

§. 22. **διακρῖναι**, im D. ein Nebensatz. — **τ. θεοῖς ἀνακοινῶσαι**, s. III, 1, 5 z. d. W. — **δύο ἱερεῖα**, zwei, damit, wenn das erste nicht günstig war, sofort das zweite geopfert werden konnte. — **ὅσπερ αὐτῷ μαντευτὸς ἦν** = 'der ihm durch das Orakel bezeichnet war'. — Im D. kann man es auch mit Wiederholung des Zeitworts 'opfern' impersonell übersetzen. Zur Sache III, 1, 6. — **καὶ τὸ ὄναρ**, selbständiger Satz. Erzählt ist es III, 1, 11. — **ἀπό**, weil der Traum vom Gotte gesandt wird. — **συνεπιμελεῖσθαι**, **σύν** = 'mit den andern'. — **ἤρχετο — καθίστασθαι**, verstärkende Umschreibung.

§. 23. **συσταθησόμενος**, s. III, 1, 8, wo jedoch dieses Omens nicht gedacht ist. — **ὅτε**, Voranstellung, im D. wird's Zwischensatz. — **ἀνεμιμνήσκετο** c. Partic. s. I, 1, 7 zu *βουλευομένους*. — **ἀετόν**, Weissagevogel von künftiger Grösse auch beim Tarquinius Priscus. — **δεξιόν**, als sie ihn schreien hören, wendet sich der Seher gegen Norden und da sitzt der Vogel gegen Osten hin i. e. zur Rechten, was Glück verkündet. — **καθήμενον**, mit Nachdruck ans Ende gesetztes Attr. — **ὅνπερ** durch Antic. als Object z. *ἔλεγεν* vorangestellt, als solle ein Acc. c. Inf. im Relativs. und nicht ein Nebensatz mit *ὅτι* folgen. Im D.: „der, wie d. S. sagte, gr. w." — **οὐκ ἰδιωτικός**, weil er Herrschaft verkündigt. — **τὰ γὰρ ὄρνεα**,

λαμβάνειν τὰ ἐπιτήδεια.) οὕτω δὴ θυομένῳ αὐτῷ διαφανῶς ὁ 24
θεὸς σημαίνει μήτε προσδεῖσθαι τῆς ἀρχῆς μήτε, εἰ αἱροῖντο,
ἀποδέχεσθαι. τοῦτο μὲν δὴ οὕτως ἐγένετο. ἡ δὲ στρατιὰ 25
συνῆλθε, καὶ πάντες ἔλεγον ἕνα αἱρεῖσθαι· καὶ ἐπεὶ τοῦτο ἔδοξε,
προὐβάλλοντο αὐτόν. ἐπεὶ δὲ ἐδόκει δῆλον εἶναι, ὅτι αἱρήσονται αὐτόν, εἴ τις ἐπιψηφίζοι, ἀνέστη καὶ ἔλεξε τάδε.

Ἐγώ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑφ' ὑμῶν τιμώμενος, εἴπερ 26
ἄνθρωπός εἰμι, καὶ χάριν ἔχω καὶ εὔχομαι δοῦναί μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι· τὸ μέντοι ἐμὲ προκριθῆναι ὑφ' ὑμῶν ἄρχοντα Λακεδαιμονίου ἀνδρὸς παρόντος οὔτε ὑμῖν μοι δοκεῖ συμφέρον εἶναι, ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν, εἴ τι δέοισθε παρ' αὐτῶν· ἐμοί τε αὖ οὐ πάνυ τι νομίζω ἀσφαλὲς εἶναι τοῦτο. ὁρῶ γάρ, ὅτι καὶ τῇ πατρίδι μου 27
οὐ πρόσθεν ἐπαύσαντο πολεμοῦντες πρὶν ἐποίησαν πᾶσαν τὴν πόλιν ὁμολογεῖν Λακεδαιμονίους καὶ αὐτῶν ἡγεμόνας εἶναι.
ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, εὐθὺς ἐπαύσαντο πολεμοῦντες καὶ 28
οὐκέτι πέρα ἐπολιόρκησαν τὴν πόλιν. εἰ οὖν ταῦτα ὁρῶν ἐγὼ δοκοίην, ὅπου δυναίμην, ἐνταῦθ' ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, ἐκεῖνο ἐννοῶ, μὴ λίαν ἂν ταχὺ σωφρονισθείην· ὃ δὲ 29
ὑμεῖς ἐννοεῖτε, ὅτι ἧττον ἂν στάσις εἴη ἑνὸς ἄρχοντος ἢ πολλῶν,

Wechsel der Constr.: im D. gebr. einen Hauptsatz in or. obl.

§. 24. *οὕτω* frei: 'unter diesen Umständen'. Es nimmt das *ἐθύετο* im §. 22 wieder auf.

§. 25—29. Xenophon bittet in der Versammlung nicht ihn, sondern einen Lakedaimonier zu wählen.

§. 26. *εἴπερ*, steht hier causal. Frei übers. entspricht das D.: „so wahr". — *τὸ προκριθῆναι*, durch einen Nebensatz mit activischem Verb: 'dass ihr' u. s. w. — *Λακεδαιμονίου*, d. h. *Χειρισόφου*. — *οὔτε — ὑμῖν — ἐμοί τε* sind die zusammengehörenden Sätze, II, 2, 8 zu *μήτε*. — *ἀλλ' — τυγχάνειν*, Uebergang in die persönliche Construction. Was ist deshalb aus *δοκεῖ* zu ergänzen? — *παρ' αὐτῶν*, *Λακεδαιμονίων*. — *οὐ πάνυ*, Litotes, die durch *τι* gesteigert wird.

§. 27. *ὁρῶ*, probe scio. — *ἐπαύσαντο* c. Partic. s. II, 5, 13 z. d. W. — *πόλιν*, metonymisch für *πολίτας*, daher mit folgendem *αὐτῶν*. — *ὁμολογεῖν*, im Frieden, der 404 zur Beendigung des peloponnesischen Krieges geschlossen wurde und in dem die Athener versprachen, den spartanischen Oberfeldherren zu Wasser und zu Lande zu folgen, d. h. den Spartanern die Hegemonie zuerkannten.

§. 28. *ἐπεὶ δέ*, Wiederholung desselben Gedankens in chiastischer Wortfolge, so dass der *κύκλος* entsteht. S. II, 3, 5 z. *ἄριστον*. Vgl. I, 3, 10. VI, 4, 13. Wechsel des Subjects. — *ἐπολιόρκ. τὴν πόλιν* zusammengestellt, weil die ursprüngliche Deutung des Verbs abgeschwächt ist. — *ταῦτα ὁρῶν*, frei: 'trotz dieser Einsicht'. — *μή* s. III, 5, 3 z. d. W. und Opt. s. I, 3, 17 z. *ἃ δοίη*. — *σωφρονισθείην*, weil es eigentlich Nebensatz des Bedingungssatzes ist.

§. 29. *ὃ δέ*, s. V, 5, 20 z. d. W. — *ἑλόμενοι* übersetze parallel

εὖ ἴστε ὅτι ἄλλον μὲν ἑλόμενοι οὐχ εὑρήσετε ἐμὲ στασιάζοντα· νομίζω γάρ, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν· ἐὰν δὲ ἐμὲ ἕλησθε, οὐκ ἂν θαυμάσαιμι, εἴ τινα εὕροιτε καὶ ὑμῖν καὶ ἐμοὶ ἀχθόμενον.

30 Ἐπεὶ δὲ ταῦτα εἶπε, πολὺ πλείονες ἐξανίσταντο λέγοντες, ὡς δέοι αὐτὸν ἄρχειν. Ἀγασίας δὲ Στυμφάλιος εἶπεν, ὅτι γελοῖον εἴη, εἰ οὕτως ἔχοι· ἢ ὀργιοῦνται Λακεδαιμόνιοι καὶ ἐὰν σύνδειπνοι συνελθόντες μὴ Λακεδαιμόνιον συμποσίαρχον αἱρῶνται; ἐπεὶ εἰ οὕτω γε τοῦτο ἔχει, ἔφη, οὐδὲ λοχαγεῖν ἡμῖν ἔξεστιν, ὡς ἔοικεν, ὅτι Ἀρκάδες ἐσμέν. ἐνταῦθα δὴ ὡς εὖ εἰ-
31 πόντος τοῦ Ἀγασίου ἀνεθορύβησαν. καὶ ὁ Ξενοφῶν ἐπεὶ ἑώρα πλείονος ἐνδέον, παρελθὼν εἶπεν, Ἀλλ', ὦ ἄνδρες, ἔφη, ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας· ἦ μὴν ἐγώ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην, εἰ βέλτιον εἴη ὑμῖν, τε ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχήν, καὶ ἐμοὶ ὑποστῆναι· καί μοι οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν ὥστε καὶ ἰδιώτην ἂν γνῶναι, ὅτι τῆς μοναρχίας ἀπέχεσθαί με δεῖ. οὕτω
32 δὴ Χειρίσοφον αἱροῦνται. Χειρίσοφος δ' ἐπεὶ ᾑρέθη, παρελθὼν εἶπεν, Ἀλλ', ὦ ἄνδρες, τοῦτο μὲν ἴστε, ὅτι οὐδ' ἂν ἔγωγε

dem ἐὰν — ἕλησθε. — Beachte die Wiederholung des στασιάζειν, wo er von sich redet, während er im letzten Satze das mildere ἀχθόμενον gebraucht und auch das εὑρήσετε durch οὐκ ἂν θαυμάσαιμι, εἴ τινα εὕροιτε mildert. — τίνα Xen. meint den Cheirisophos.

§. 30. Entgegnung des Agasias.

§. 30. ἢ ὀργιοῦνται κ. τ. λ. Mit diesem Beispiele will Agasias die Wahl der Feldherrn als eine Privatangelegenheit hinstellen. Im folgenden Capitel werden wir lesen, dass gerade die Arkader das, was sie hier lächerlich finden, gegen Xenophon vorbringen. — συμποσίαρχον, 'magistrum bibendi, Kneipwart'. — Dieser Vorsteher der Symposien, auch ἄρχων τῆς πόσεως und βασιλεύς genannt, hatte einen bedeutenden Einfluss auf den ganzen Gang des Symposion. Er bestimmte das Verhältniss der Mischung und die Zahl der Becher, die ein jeder trinken sollte. — ἐπεὶ εἰ, Uebergang in die orat. dir.

§. 31. Xenophon begründet seine Ablehnung von neuem. — πλείονος d. h. triftigeren Grund. — ἀλλ', vergl. I, 7, 6 z. d. W. — ὡς πάνυ εἰδῆτε, Finalsatz zum ganzen folgenden Gedanken bis ἀπέχεσθαί με δεῖ. — ὀμνύω — πάσας, solche kräftige Betheuerungen gebrauchten die Redner nur selten im Eingange. — πάντας καὶ πάσας, weil θεός ein commune ist. — ἦ μὴν ἐγώ, Hauptsatz, wo wir einen Nebensatz zu ὀμνύω erwarten. — εἰ, s. IV, 1, 8 z. d. W. — βέλτιον, s. III, 3, 5 z. d. W. — ἐν, wir fassen es als Mittel. — ἰδιώτην, als Gegensatz von μάντις = Laie. — ἂν γνῶναι s. I, 3, 6 z. ἂν εἶναι.

§. 32—33. Cheirisophos nimmt die Wahl an und giebt Befehl zur Weiterfahrt.

§. 32. οὐδ', die Negation gehört zum Verbum, die Conjunction =

1. ἵζομαι [illegible]. 2. εἴκω [illegible]. 3. ἐνδέω [illegible]
4. [illegible]

ἐστασίαζον, εἰ ἄλλον εἵλεσθε· Ξενοφῶντα μέντοι, ἔφη, ὠνήσατε οὐχ ἑλόμενοι· ὡς καὶ νῦν Δέξιππος ἤδη διέβαλλεν αὐτὸν πρὸς Ἀναξίβιον ὅ, τι ἐδύνατο, καὶ μάλα ἐμοῦ αὐτὸν σιγάζοντος. ὁ δ' ἔφη νομίζειν αὐτὸν Τιμασίωνι μᾶλλον συνάρχειν ἐθελῆσαι Δαρδανεῖ ὄντι τοῦ Κλεάρχου στρατεύματος ἢ ἑαυτῷ Λάκωνι
ὄντι. ἐπεὶ μέντοι ἐμὲ εἵλεσθε, ἔφη, καὶ ἐγὼ πειράσομαι ὅ,τι ἂν 33
δύνωμαι ὑμᾶς ἀγαθὸν ποιεῖν. καὶ ὑμεῖς οὕτω παρασκευάζεσθε ὡς αὔριον, ἐὰν πλοῦς ᾖ, ἀναξόμενοι· ὁ δὲ πλοῦς ἔσται εἰς Ἡράκλειαν· ἅπαντας οὖν δεῖ ἐκεῖσε πειρᾶσθαι κατασχεῖν· τὰ δ' ἄλλα, ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα.

Ἐντεῦθεν τῇ ὑστεραίᾳ ἀναγόμενοι πνεύματι ἔπλεον καλῷ II.
ἡμέρας δύο παρὰ γῆν. καὶ [παραπλέοντες ἐθεώρουν τήν τε Ἰασονίαν ἀκτήν, ἔνθα ἡ Ἀργὼ λέγεται ὁρμίσασθαι, καὶ τῶν ποταμῶν τὰ στόματα, πρῶτον μὲν τοῦ Θερμώδοντος, ἔπειτα δὲ τοῦ Ἴριος, ἔπειτα δὲ τοῦ Ἅλυος, μετὰ δὲ τοῦτον τοῦ Παρθενίου· τοῦτον δὲ] παραπλεύσαντες ἀφίκοντο εἰς Ἡράκλειαν, [27. Mai
πόλιν Ἑλληνίδα, Μεγαρέων ἄποικον, οὖσαν δ' ἐν τῇ Μαριανδυνῶν χώρᾳ. καὶ ὡρμίσαντο παρὰ τῇ Ἀχερουσιάδι Χερρονήσῳ, 2

καί z. ἐγώ. — εἰ ἄλλον εἵλεσθε s. II, 1, 4 z. εἰ ἤλθετε. — ὠνήσατε frei: 'ihr habt euch verdient gemacht um'. — οὐχ ἑλόμενοι, s. III, 2, 22 zu διαβάντες. — καὶ μάλα c. Gen. abs. ist concessiv. — αὐτόν, Xenophon. — Τιμασίωνι, Zur Sache s. III, 1, 47 und III, 2, 37. — ἑαυτῷ, Cheirisophos, denn es ist in der orat. obl. auch Reflexiv der sprechenden Person. — Δαρδανεῖ — Λάκωνι, durch diese Gegenüberstellung will Dexippos den Xenophon einer Geringschätzung der Lakedaimonier beschuldigen.

§. 33. πλοῦς, s. V, 7, 7 z. d. W., das zweitemal ohne diese prägnante Bedeutung. — κατασχεῖν, dirigere naves, appellere. Warum κατά?

II. Fahrt nach Herakleia.

§. 1—3. Ankunft bei Herakleia und freundliche Aufnahme.

§. 1. ἔπλεον, warum Zwischenstellung? — παραπλέοντες nach I, 1, 6 z. ἐπιβουλ. 1. — ἡ Ἀργώ — ὁρμίσασθαι, was wisst ihr von dieser Fahrt? — τῶν ποταμ., in solchen Stellen entspricht unser 'folgender' dem Artikel. — πρῶτον μὲν τοῦ Θερμώδοντος, im D. muss jedesmal der Artikel des ausgelassenen Substantivs hinzugefügt werden. — Uebrigens ist hier ein Gedächtnissfehler des Xenophon, denn die iasonische Küste (die Gegend um das heutige Iassun Burun) und die Mündungen der Flüsse Thermodon (Termeh-Tschai), Iris (Jeschil-Irmak) und Halys (Kysyl-Irmak) liegen zwischen Kotyora und Sinope; nur an der Mündung des Parthenios (Filijas-Tschai) kamen sie auf dieser Fahrt vorüber. — Ἡράκλειαν, d. heut. Eregli an der Küste des alten Bithyniens, liegt hinter dem Vorgebirge Acherusia, das jetzt den Namen Baba-Burun führt; der dabei fliessende Lykos ist der heutige Kilidsch-Ssu. Die Mariandynen, die Bewohner der Küste um Herakleia, die man bald zu den Bithynern, bald zu den Paphlagoniern rechnet, wurden von den Herakleern unterworfen und gleich Heloten behandelt.

ἔνθα λέγεται ὁ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κύνα καταβῆναι, ᾗ νῦν τὰ σημεῖα δεικνύασι τῆς καταβάσεως, τὸ βάθος πλέον ἢ ἐπὶ δύο στάδια. ἐνταῦθα τοῖς Ἕλλησιν οἱ Ἡρακλεῶται ξένια πέμπουσιν ἀλφίτων μεδίμνους τρισχιλίους καὶ οἴνου κεράμια δισχίλια καὶ βοῦς εἴκοσι καὶ οἷς ἑκατόν. ἐνταῦθα διὰ τοῦ πεδίου ῥεῖ ποταμὸς Λύκος ὄνομα, εὖρος ὡς δύο πλέθρων.

4 Οἱ δὲ στρατιῶται συλλεγέντες ἐβουλεύοντο τὴν λοιπὴν πορείαν πότερον κατὰ γῆν ἢ κατὰ θάλατταν χρὴ πορευθῆναι ἐκ τοῦ Πόντου. ἀναστὰς δὲ Λύκων Ἀχαιὸς εἶπε, Θαυμάζω μέν, ὦ ἄνδρες, τῶν στρατηγῶν, ὅτι οὐ πειρῶνται ἡμῖν ἐκπορίζειν σιτηρέσιον· τὰ μὲν γὰρ ξένια οὐ μὴ γένηται τῇ στρατιᾷ τριῶν ἡμερῶν σιτία· ὁπόθεν δ' ἐπισιτισάμενοι πορευσόμεθα οὐκ ἔστιν, ἔφη. ἐμοὶ οὖν δοκεῖ αἰτεῖν τοὺς Ἡρακλεώτας μὴ ἔλαττον
5 ἢ τρισχιλίους κυζικηνούς· ἄλλος δ' εἶπε μὴ ἔλαττον ἢ μυρίους· καὶ ἑλομένους πρέσβεις αὐτίκα μάλα ἡμῶν καθημένων πέμπειν πρὸς τὴν πόλιν, καὶ εἰδέναι ὅ,τι ἂν ἀπαγγέλλωσι, καὶ πρὸς
6 ταῦτα βουλεύεσθαι. ἐντεῦθεν προὐβάλλοντο πρέσβεις πρῶτον μὲν Χειρίσοφον, ὅτι ἄρχων ᾕρητο· ἔστι δ' οἳ καὶ Ξενοφῶντα. οἱ δὲ ἰσχυρῶς ἀπεμάχοντο· ἀμφοῖν γὰρ ταὐτὰ ἐδόκει, μὴ ἀναγκάζειν πόλιν Ἑλληνίδα καὶ φιλίαν ὅ,τι μὴ αὐτοὶ ἐθέλοντες
7 διδοῖεν. ἐπεὶ δ' οὗτοι ἐδόκουν ἀπρόθυμοι εἶναι, πέμπουσι Λύ-

§. 2. ἐπί, s. II, 3, 8 z. d. W. — Der Ort, wo Herakles in den Hades hinabgestiegen sein soll, wird auch nach andern Gegenden verlegt.

§. 3. κεράμια, s. VI, 1, 15 z. d. W. — δύο πλέθρων, s. I, 2, 23 z. d. W.

§. 4—8. Die Herakleer verweigern die ungerechtfertigten Forderungen der Griechen.

§. 4. πότερον — Πόντου, epexegetischer Satz zum Objecte. — μέν = μήν, fürwahr, allerdings. θαυμάζω c. Gen. s. III, 1, 19 z. διαθεώμ. αὐτῶν. — σιτηρέσιον, Exc. §. 5. — οὐ μή, s. II, 2, 12 z. d. W. — ὁπόθεν, s. II, 4, 5 = eine Gegend, aus der. — ἐπισιτισάμενοι πορευσόμεθα, das Partic., welches hier den Hauptbegriff enthält, übersetze als Prädicat, das Prädicat durch ein Hauptwort mit der Präposition 'für' oder 'zu' und einem das Futur. andeutenden Attribute. — κυζικηνούς, Excurs. §. 5, Anm. 1.

§. 5. ἄλλος δ' εἶπε, Zwischenbemerkung des Xenophon; was ist aus dem vorhergehenden Satze hinzuzudenken? — ἡμῶν καθημένων, καθῆσθαι vom Sitzen in der Versammlung, daher hier frei: 'in dieser Versammlung'. Gen. absol. nach vorhergehendem Accus. s. II, 6, 3 z. ἔξω ὄντος. — εἰδέναι = 'davon Kenntniss nehmen'.

§. 6. ἔστι δ' οἵ, s. I, 5, 7 z. ἦν — οὕς. — ταὐτά, Pluralis in Beziehung auf einen Gedanken, s. III, 5, 5 z. ἅ. — μή ἀναγκάζειν, epexegetischer Zusatz, s. I, 1, 7 zu ἀποστῆναι. — ἀναγκάζειν, das Object 'zu etwas' fehlt, weil es aus dem folgenden ὅ,τι sich von selbst ergiebt. — καὶ φιλίαν, καί steigernd = und noch dazu.

κωνα Ἀχαιὸν καὶ Καλλίμαχον Παρράσιον καὶ Ἀγασίαν Στυμφάλιον. οὗτοι ἐλθόντες ἔλεγον τὰ δεδογμένα· τὸν δὲ Λύκωνα ἔφασαν καὶ ἐπαπειλεῖν, εἰ μὴ ποιήσοιεν ταῦτα. ἀκούσαντες δ' 8
οἱ Ἡρακλεῶται βουλεύσεσθαι ἔφασαν· καὶ εὐθὺς τά τε χρήματα ἐκ τῶν ἀγρῶν συνῆγον καὶ τὴν ἀγορὰν εἴσω ἀνεσκεύασαν, καὶ αἱ πύλαι ἐκέκλειντο καὶ ἐπὶ τῶν τειχῶν ὅπλα ἐφαίνετο.

Ἐκ τούτου οἱ ταράξαντες ταῦτα τοὺς στρατηγοὺς ᾐτιῶντο 9
διαφθείρειν τὴν πρᾶξιν· καὶ συνίσταντο οἱ Ἀρκάδες καὶ οἱ Ἀχαιοί· προειστήκει δὲ μάλιστα αὐτῶν Καλλίμαχός τε ὁ Παρράσιος καὶ Λύκων ὁ Ἀχαιός. οἱ δὲ λόγοι ἦσαν αὐτοῖς, ὡς αἰ- 10
σχρὸν εἴη ἄρχειν ἕνα Ἀθηναῖον Πελοποννησίων καὶ Λακεδαιμονίων, μηδεμίαν δύναμιν παρεχόμενον εἰς τὴν στρατιάν, καὶ τοὺς μὲν πόνους σφᾶς ἔχειν, τὰ δὲ κέρδη ἄλλους, καὶ ταῦτα τὴν σωτηρίαν σφῶν κατειργασμένων· εἶναι γὰρ τοὺς κατειργασμένους Ἀρκάδας καὶ Ἀχαιούς, τὸ δ' ἄλλο στράτευμα οὐδὲν εἶναι. (καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ὅλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί.) εἰ οὖν σωφρονοῖεν, αὐτοὶ συστάντες 11
καὶ στρατηγοὺς ἑλόμενοι ἑαυτῶν καθ' ἑαυτοὺς ἂν τὴν πορείαν

§. 7. *ἔφασαν*, Subj. die Mitgesandten. — *ποιήσοιεν*, die Herakleer.

§. 8. *εἴσω ἀνεσκεύασαν* prägnant = ἀνασκευάσαντες ἤνεγκον = 'verlegten den Markt hinein'. Aehnliche Prägnanz in Odyss. 7, 13: καὶ εἴσω δόρπον ἐκόσμει. — *ἀνά* = auf die Thiere und Wagen. Beachte das Polysyndeton in dieser Schilderung und den Wechsel der tempora: *συνῆγον* u. *ἀνεσκεύασαν* enthalten einfache Erzählung nach Haupt- und Nebenhandlung, Plusqpf. bez. die rasche Folge, die vor dem *ἐφαίνετο* eingetreten ist; s. auch V, 2, 25 z. *ἀναβεβ.* — *ἐφαίνετο*, dauernde Entfaltung der Bewaffneneten, denn *ὅπλα* wie II, 2, 4 z. d. W. und I, 7, 10 z. *ἀσπίς*.

§. 9—12. Die Arkader und Achaier trennen sich unter selbstgewählten Führern von den übrigen Griechen.

§. 9. *οἱ ταράξαντες ταῦτα* frei: 'die Urheber dieser Verwirrung'. Welcher Unterschied in der Uebersetzung? — *πρᾶξις*, 'Plan'. — *συνίσταντο*, in *σύν* ist das Meuterische angedeutet.

§. 10. *ἕνα Ἀθηναῖον*, Xenophon, der trotz des VI, 1, 32 Erzählten nach ihrer Ansicht das Ganze leitete. — *καὶ Λακεδαιμονίων*, *καί* steigernd = 'und selbst'. Es ist dies eine Zusammenstellung des Ganzen und des besonders zur Geltung kommenden Theiles. Homer: *Τρῶάς τε καὶ Ἕκτορα*. — *δύναμιν*, im D. ein Concretum. — $\pi\alpha\varrho\varepsilon\chi\acute{o}\mu\varepsilon\nu o\nu$, warum das Medium? — *ἔχειν* chiastisch zu *ἄρχειν*. — *καὶ ταῦτα*, s. I, 4, 12 z. d. W. — *καὶ ἦν — Ἀχαιοί*, Zwischenbemerkung des Xenophon: deshalb ein selbständiger Satz. — *ἦν*, trotz des folgenden *Ἀρκάδες*, weil es sich nach dem voran- und näherstehenden Subj. richtet.

§. 11. *εἰ οὖν σωφρονοῖεν*, während Xen. bis jetzt aus der Seele der Arkader die Reden wiedergab, wird in diesem Satze der Redner selbst redend in der orat. obliq. eingeführt, daher im Folgenden der Optativ statt des Infin. Vergl. IV, 6, 13 z. *μένοιεν* u. VII, 3, 13. — *ἑαυτῶν*, Genit. part. = 'aus ihrer Mitte'.

1. ἐπαπειλέω obendrein drohen. 2. Habseligkeiten. 3. Sold. 4. noch dazu, obgleich /. etc.

12 ποιοῖντο καὶ πειρῷντο ἀγαθόν τι λαμβάνειν. ταῦτ' ἔδοξε· καὶ
ἀπολιπόντες Χειρίσοφον εἴ τινες ἦσαν παρ' αὐτῷ Ἀρκάδες ἢ
Ἀχαιοὶ καὶ Ξενοφῶντα, συνέστησαν καὶ στρατηγοὺς αἱροῦνται
ἑαυτῶν δέκα· τούτους δὲ ἐψηφίσαντο ἐκ τῆς νικώσης ὅ,τι δο-
κοίη, τοῦτο ποιεῖν. ἡ μὲν οὖν τοῦ παντὸς ἀρχὴ Χειρισόφῳ ἐν-
ταῦθα κατελύθη ἡμέρᾳ ἕκτῃ ἢ ἑβδόμῃ ἀφ' ἧς ᾑρέθη.
13 Ξενοφῶν μέντοι ἐβούλετο κοινῇ μετ' αὐτῶν τὴν πορείαν
ποιεῖσθαι, νομίζων οὕτως ἀσφαλέστερον εἶναι ἢ ἰδίᾳ ἕκαστον
στέλλεσθαι· ἀλλὰ Νέων ἔπειθεν αὐτὸν καθ' αὑτὸν πορεύεσθαι,
ἀκούσας τοῦ Χειρισόφου, ὅτι Κλέανδρος ὁ ἐν Βυζαντίῳ ἁρμο-
14 στὴς φαίη τριήρεις ἔχων ἥξειν εἰς Κάλπης λιμένα· ὅπως οὖν
μηδεὶς μετάσχοι, ἀλλ' αὐτοὶ καὶ οἱ αὐτῶν στρατιῶται ἐκπλεύ-
σειαν ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευε. καὶ Χειρίσοφος,
ἅμα μὲν ἀθυμῶν τοῖς γεγενημένοις, ἅμα δὲ μισῶν ἐκ τούτου τὸ
15 στράτευμα, ἐπιτρέπει αὐτῷ ποιεῖν ὅ,τι βούλεται. Ξενοφῶν δὲ
ἔτι μὲν ἐπεχείρησεν, ἀπαλλαγεὶς τῆς στρατιᾶς, ἐκπλεῦσαι· θυο-
μένῳ δὲ αὐτῷ τῷ ἡγεμόνι Ἡρακλεῖ καὶ κοινουμένῳ, πότερα
λῷον καὶ ἄμεινον εἴη στρατεύεσθαι ἔχοντι τοὺς παραμείναντας

§. 12. *Χειρίσοφον*, beachte die Trennung der Objecte durch den das Subject umschreibenden Bedingungssatz (vergl. II, 5, 36 z. *εἴ τις*). — *ἐψηφίσαντο* mit Acc. c. Inf., denn *τούτους* ist Subject. — *ἐκ τῆς νικώσης*, s. VI, 1, 18 z. d. W. — *τοῦτο*, rückweisend. — *ἀφ' ἧς*, Attraction statt *ἀπὸ ταύτης ᾗ*, s. I, 3, 4 z. *ἀνθ' ὧν*.

§. 13—16. Die übrigen Griechen blieben zum Theil beim Cheirisophos, zum Theil beim Xenophon.

§. 13. *μετ' αὐτῶν*, mit Cheirisophos und seinen Soldaten; ähnlich *οἱ δέ* I, 10, 4 u. *αὐτοῖς* III, 1, 29. — *στέλλεσθαι*, im D. ein Conditionalsatz. — *ἔπειθεν*, Impf. des conatus, daher = 'zureden'. — *αὐτὸν καθ' αὑτόν*, Xenophon, den Neon in der §. 16 angegebenen Absicht vom Cheirosoph. trennen will. — *τοῦ Χειρισόφ.*, s. I, 1, 5 z. *Τισσαφ.* — *φαίη* = 'geäussert, versprochen habe'. — *Κάλπης λιμένα*, das heutige Kerpeh, wird c. 4, 1 näher beschrieben,

§. 14. *ὅπως*, Voranstellung des Nebensatzes. So geordnete Perioden heissen steigende. — *αὐτοί*, Neon und Cheirisophos. — *καὶ οἱ αὐτῶν στρατ.*, wir subordinieren durch die Präposition 'mit'. — *διὰ ταῦτα*, Plur. auf den Inhalt des Vorhergehenden, s. III, 5, 5 zu *ἅ*. — *ἅμα μὲν — ἅμα δέ*, Anaphora. — *αὐτῷ*, dem Xenophon.

§. 15. *ἔτι μέν*, Xenophon fasst also zunächst eine Zeit lang den Entschluss, das Heer ganz zu verlassen und allein heimzuschiffen, bis ihn die Opfer bewegen zu bleiben, dem Vorschlage des Neon zu folgen und getrennt von den andern (§. 16 *οὕτω γίγνεται — τρίχα* u. § 19), mit seiner Mannschaft den Weitermarsch anzutreten. — *ἐκπλεῦσαι*, *ἐκ*, aus dem Pontus. — *τῷ ἡγεμόνι*, s. IV, 8, 25 z. d. W. — *κοινουμένῳ*, die Conjunctio in der Stellung, weil erst das Thier geschlachtet wurde, ehe diese Mittheilung stattfand. Bedeutung s. III, I, 5 zu *ἀνακοινοῦσθαι*. — *λῷον καὶ ἄμεινον*, verstärkender Pleonasmus, s. I, 3, 19 zu *ἐὰν*

1. [illegible] 2. für sich. 3. [illegible] 4. [illegible] 5. [illegible], d. h. allein. 6. [illegible] c. dat. um Rat fragen.

τῶν στρατιωτῶν ἢ ἀπαλλάττεσθαι, ἐσήμηνεν ὁ θεὸς τοῖς ἱεροῖς συστρατεύεσθαι. οὕτω γίγνεται τὸ στράτευμα τρίχα, Ἀρκάδες 16
μὲν καὶ Ἀχαιοὶ πλείους ἢ τετρακισχίλιοι καὶ πεντακόσιοι, ὁπλῖται πάντες, Χειρισόφῳ δ' ὁπλῖται μὲν εἰς τετρακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς ἑπτακοσίους, οἱ Κλεάρχου Θρᾷκες, Ξενοφῶντι δὲ ὁπλῖται μὲν εἰς ἑπτακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς τριακοσίους· ἱππικὸν δὲ μόνος οὗτος εἶχεν, ἀμφὶ τετταράκοντα ἱππέας.

Καὶ οἱ μὲν Ἀρκάδες διαπραξάμενοι πλοῖα παρὰ τῶν Ἡρα- 17
κλεωτῶν πρῶτοι πλέουσιν, ὅπως ἐξαίφνης ἐπιπεσόντες τοῖς Βιθυνοῖς λάβοιεν ὅτι πλεῖστα· καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα κατὰ μέσον πως τῆς Θράκης. Χειρίσοφος δ' εὐθὺς ἀπὸ 18
τῆς πόλεως τῶν Ἡρακλεωτῶν ἀρξάμενος πεζῇ ἐπορεύετο διὰ τῆς χώρας· ἐπεὶ δὲ εἰς τὴν Θράκην ἐνέβαλε, παρὰ τὴν θάλαττταν ᾔει· καὶ γὰρ [ἤδη] ἠσθένει. Ξενοφῶν δὲ πλοῖα λαβὼν ἀπο- 19
βαίνει ἐπὶ τὰ ὅρια τῆς Θράκης καὶ τῆς Ἡρακλεώτιδος καὶ διὰ μεσογαίας ἐπορεύετο.

[Ὃν μὲν οὖν τρόπον ἥ τε Χειρισόφου ἀρχὴ τοῦ παντὸς III.
κατελύθη καὶ τῶν Ἑλλήνων τὸ στράτευμα ἐσχίσθη ἐν τοῖς ἐπάνω εἴρηται.] Ἔπραξαν δ' αὐτῶν ἕκαστοι τάδε. οἱ μὲν Ἀρ- 2
κάδες ὡς ἀπέβησαν νυκτὸς εἰς Κάλπης λιμένα, πορεύονται εἰς

μείζων und I, 7, 3 zu *ἀμείνονας*. — Diese Zusammenstellung findet sich als solenne Formel, wo von der Erforschung der Zukunft durch Befragung der Götter die Rede ist.

§. 16. Wie verhalten sich die hier angegebenen Zahlen zu V, 3, 3 u. IV, 8, 15? — *πλείους*, im D. Adverb, welches auch der Grieche bei solchen Zahl- und Massbestimmungen oft hat. — *Χειρισόφῳ*, hierzu gehört in anderm Numerus auch *γίγνεσθαι*. — *οἱ Κλεάρχου Θρᾷκες*, die I, 2, 9 genannten. — *εἰς* und *ἀμφί* bei Zahlen, s. I, 1, 10 z. d. W.

§. 17—19. Abreise der drei Abtheilungen.

§. 17. *πρῶτοι*, Adjectiv, wo wir Adverb haben. — *ἐξαίφνης ἐπιπεσόντες* frei: 'durch plötzlichen Einfall'. — *τῆς Θρᾴκης*, hier für Bithynien, dessen Bewohner thrakischen Stammes waren.

§. 18. *εὐθὺς* s. I, 9, 4 und IV, 7, 2 z. d. W. — *καὶ γὰρ — ἠσθένει*, vermied also Beschwerden des Weges und Gefechte, da er auf seinem Wege nicht mit den Bewohnern zusammenstiess. S. unten c. 3, 10.

§. 19. *πλοῖα λαβὼν ἀποβαίν.* frei: 'fuhr zur See und'. — *τὰ ὅρια*, wahrscheinlich an der Mündung des Sangarios d. h. Ssakárija-Tschai.

III. Schicksale der drei Abtheilungen bis zu ihrer Wiedervereinigung bei Kalpe.

§. 1—9. Die Arkader und Achaier greifen von Kalpe aus die Dörfer an und werden selbst belagert.

§. 1. *ἀρχή* zwischen seine Attribute gestellt wegen der verschiedenen Beziehung.

§. 2. *αὐτῶν*, die drei Heerhau-

1. Einfall machen. 2. d. Grenze. 3. Binnenland. 4. landen.

τὰς πρώτας κώμας, στάδια ἀπὸ θαλάττης ὡς τριάκοντα. ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν ἕκαστος ὁ στρατηγὸς τὸν αὑτοῦ λόχον ἐπὶ
3 κώμην· ὁποία δὲ μείζων ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατηγοί. συνεβάλοντο δὲ καὶ λόφον, εἰς ὃν δέοι πάντας ἁλίζεσθαι· καὶ ἅτε ἐξαίφνης ἐπιπεσόντες ἀνδράποδά τε πολλὰ ἔλαβον καὶ πρόβατα πολλὰ περιεβαλόντο. οἱ δὲ Θρᾷκες ἠθροί-
4 ζοντο οἱ διαφεύγοντες· πολλοὶ δὲ διέφευγον πελτασταὶ ὄντες ὁπλίτας ἐξ αὐτῶν τῶν χειρῶν. ἐπεὶ δὲ συνελέγησαν, πρῶτον μὲν τῷ Σμίκρητος λόχῳ ἑνὸς τῶν Ἀρκάδων στρατηγῶν ἀπιόντι ἤδη εἰς τὸ συγκείμενον καὶ πολλὰ χρήματα ἄγοντι ἐπιτίθενται.
5 καὶ τέως μὲν ἐμάχοντο ἅμα πορευόμενοι οἱ Ἕλληνες, ἐπὶ δὲ διαβάσει χαράδρας τρέπονται αὐτούς, καὶ αὐτόν τε τὸν Σμίκρητα ἀποκτιννύασι καὶ τοὺς ἄλλους πάντας· ἄλλου δὲ λόχου τῶν δέκα στρατηγῶν τοῦ Ἡγησάνδρου ὀκτὼ μόνους κατέλιπον·
6 καὶ αὐτὸς Ἡγήσανδρος ἐσώθη. καὶ οἱ ἄλλοι δὲ λοχαγοὶ συνῆλθον οἱ μὲν σὺν πράγμασιν οἱ δὲ ἄνευ πραγμάτων· οἱ δὲ Θρᾷκες ἐπεὶ εὐτύχησαν τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλήλους καὶ συνελέγοντο ἐρρωμένως τῆς νυκτός. καὶ ἅμα ἡμέρᾳ κύκλῳ περὶ τὸν λόφον, ἔνθα οἱ Ἕλληνες ἐστρατοπεδεύοντο, ἐτάττοντο, καὶ ἱππεῖς πολλοὶ καὶ πελτασταί, καὶ ἀεὶ πλείονες συνέρρεον.

fen. — **στάδια**, im D. gebrauche einen Satz. — **ἐπεὶ δὲ φῶς ἐγένετο**, s. I, 3, 4 zu ἐπειδή: prima luce, Caesar, — **λόχον** bezeichnet hier den Trupp jedes der 10 Führer. Zur Sache s. VI, 2, 11 sqq. — **ὁποία**, im D. kann ein Conditionalsatz stehen. — **ἦγον**, sc. ἐπὶ ταύτην. Warum kann es fehlen?

§. 3. **συνεβάλοντο** — 'verabreden'. — **εἰς ὅν**, wir sagen 'wo', der Grieche drückt die Bewegung aus. — **ἅτε**, s. IV, 2, 13 z. d. W. — **περιβάλλεσθαι** = sich bemächtigen, oft vom Erbeuten des Viehes; warum περί? — **οἱ δὲ Θρᾷκες**, die Bewohner der Dörfer, s. VI, 2, 17. — **οἱ διαφεύγ.**, erklärende Apposition im Part. Impf. der Wiederholung. Warum διά?

§. 4. **πολλοὶ — χειρῶν**, Zwischenbemerkung des Xenophon. — **πελτασταὶ ὄντες** causal. Xen. hist. Gr. III, 2, 4: ῥαδίως ἀπέφευγον πελτασταὶ ὁπλίτας. — **ἐπεὶ δὲ συνελέγ.**, griechische Anschaulichkeit. — **συγκείμενον** Perf. Pass. z. συντίθεσθαι.

§. 5. **τέως μέν** s. VI, 2, 12 z. d. W. — **ἅμα πορευόμεν**: 'während des M.' s. II, 4, 5 z. ἅμα. — **τρέπονται**. Wechsel des Subjects. Warum Medium? — **ἀποκτιννύασι**, die Conjunctio. — **ἄλλου δὲ λόχ.**, Gen. part. z. ὀκτώ. — **τοῦ Ἡγησάνδρ.**, erklärende Apposition z. ἄλλ. δὲ λόχ., die im D. durch Hinzufügung des bestimmten Artikels 'dem' übersetzt wird.

§. 6 **πράγμασιν**, s. IV, I, 17. Im D. wird in dieser Anaphora mit Parechese das Hauptwort im ersten Gliede ausgelassen. — **ἐπεὶ — εὐτύχημα**, s. I, 3, 4 z. ἐπειδή. εὐτύχησ. τοῦτο τὸ εὐτύχημα: figura etymologica, s. I, 2, 10 z. τὰ Λύκ. u. vergl. I, 3, 15 z. στρατηγ. — **συνεβόων**, σύν durch gegenseitiges Geschrei. — **καὶ ἱππεῖς — πελτασταί**, erläuternde Apposition

καὶ προσέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς· οἱ μὲν γὰρ 7
Ἕλληνες οὔτε τοξότην εἶχον οὔτε ἀκοντιστὴν οὔτε ἱππέα· οἱ δὲ προσθέοντες καὶ προσελαύνοντες ἠκόντιζον· ὁπότε δὲ αὐτοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον· ἄλλοι δὲ ἄλλῃ ἐπετίθεντο. καὶ 8
τῶν μὲν πολλοὶ ἐτιτρώσκοντο, τῶν δὲ οὐδείς· ὥστε κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου, ἀλλὰ τελευτῶντες καὶ ἀπὸ τοῦ ὕδατος εἶργον αὐτοὺς οἱ Θρᾷκες. ἐπεὶ δὲ ἀπορία 9
πολλὴ ἦν, διελέγοντο περὶ σπονδῶν· καὶ τὰ μὲν ἄλλα ὡμολόγητο αὐτοῖς, ὁμήρους δὲ οὐκ ἐδίδοσαν οἱ Θρᾷκες αἰτούντων τῶν Ἑλλήνων, ἀλλ' ἐν τούτῳ ἴσχετο. τὰ μὲν δὴ τῶν Ἀρκάδων οὕτως εἶχε.

Χειρίσοφος δὲ ἀσφαλῶς πορευόμενος παρὰ θάλατταν ἀφι- 10
κνεῖται εἰς Κάλπης λιμένα. Ξενοφῶντι δὲ διὰ τῆς μεσογαίας πορευομένῳ οἱ ἱππεῖς καταθέοντες ἐντυγχάνουσι πρεσβύταις πορευομένοις ποι. καὶ ἐπεὶ ἤχθησαν παρὰ Ξενοφῶντα, ἐρωτᾷ αὐτούς, εἴ που ᾔσθηνται ἄλλου στρατεύματος, ὄντος Ἑλληνικοῦ.
οἱ δὲ ἔλεγον πάντα τὰ γεγενημένα, καὶ νῦν ὅτι πολιορκοῦνται 11
ἐπὶ λόφου, οἱ δὲ Θρᾷκες πάντες περικεκυκλωμένοι εἶεν αὐτούς. ἐνταῦθα τοὺς μὲν ἀνθρώπους τούτους ἐφύλαττεν ἰσχυρῶς, ὅπως ἡγεμόνες εἶεν ὅποι δέοι· σκοποὺς δὲ καταστήσας συνέλεξε τοὺς στρατιώτας καὶ ἔλεξεν, Ἄνδρες στρατιῶται, τῶν Ἀρ- 12
κάδων οἱ μὲν τεθνᾶσιν, οἱ δὲ λοιποὶ ἐπὶ λόφου τινὸς πολιορκοῦνται. νομίζω δ' ἔγωγε, εἰ ἐκεῖνοι ἀπολοῦνται, οὐδ' ἡμῖν εἶναι οὐδεμίαν σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων πολεμίων,

zu dem im Verbum liegenden Subject.

§. 7. οἱ δέ die Thraker; ähnlich schon οἱ δέ beim Wechsel des Subj. III, 4, 4. — προσθέοντες καὶ προσελ. frei: 'bei ihren Angriffen zu Fuss und zu Pferde'. — ἐπίοιεν, die Griechen. Optat. s. I, 5, 2 z. ἐπεί.

§. 8. τῶν μέν, die Griechen. — τῶν δέ, die Thraker. — τελευτῶντες, s. II, 5, 37 z. φυλαττόμ., vergl. IV, 5, 16.

§. 9. ὡμολόγητο — ἐδίδοσ. Welcher Wechsel? — ἐδίδοσαν nach I, 3, 1 z. ἐβιάζ. mit 'wollen'. — ἴσχετο, 'stiess sich, gerieth ins Stocken'. — εἶχε frei: 'so stand'.

§. 10—18. Xenophon ermuntert die Seinigen zur Hülfsleistung.

§. 10. πορευομένῳ hängt von προκαταθέοντες ab. — Im D. durch einen Hauptsatz. — καταθέοντ., Excurs §. 28 und 33. — ἄλλου στρατ., Gen. der Sache z. ᾔσθηντ., übers. mit zugefügtem 'etwas' wie den Gen. d. Pers. s. I, 2, 5 z. Τισσαφ. — ὄντος Ἑλληνικοῦ, erklärende Apposition.

§. 11. νῦν betont. — ὅτι, Wechsel der Constr. nach ἔλεγον, weil aus dem Allgemeinen ein besondrer Fall hervorgehoben wird. — Wechsel des Modus. — ἐφύλαττεν, s. I, 1, 3 zu συλλαμβ. — ὅποι δέοι, das ἡγεμόνας εἶναι versteht sich von selbst; im D. brauche 'nöthigenfalls'. — σκοποί, Exc. §. 28.

§. 12. οὕτω μὲν — οὕτω δέ,

1. ἐῶ vertreiben. 2. εἴργω abhalten. 3. Pfand. 4. ἴσχω abhalten, hindern.
5. vorauseilen. 6. irgendwohin. 7. Greis. 8. wo u. wohin.
7. die einen hier – die andern da.

13 οὕτω δὲ τεθαρρηκότων. κράτιστον οὖν ἡμῖν ὡς τάχιστα βοηθεῖν τοῖς ἀνδράσιν, ὅπως, εἰ ἔτι εἰσὶ σῷ, σὺν ἐκείνοις μαχώ-
14 μεθα καὶ μὴ μόνοι λειφθέντες μόνοι καὶ κινδυνεύωμεν. νῦν μὲν οὖν στρατοπεδευσώμεθα προελθόντες ὅσον ἂν δοκῇ καιρὸς εἶναι εἰς τὸ δειπνοποιεῖσθαι· ἕως δ' ἂν πορευώμεθα, Τιμασίων ἔχων τοὺς ἱππέας προελαυνέτω ἐφορῶν ἡμᾶς καὶ σκο-
15 πείτω τὰ ἔμπροσθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ. (παρέπεμψε δὲ καὶ τῶν γυμνήτων ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ εἰς τὰ ἄκρα, ὅπως εἴ πού τί ποθεν καθορῷεν, σημαίνοιεν· ἐκέλευε
16 δὲ καίειν ἅπαντα ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ·) ἡμεῖς γὰρ ἀποδραίημεν ἂν οὐδαμοῖ ἐνθένδε· πολλὴ μὲν γάρ, ἔφη, εἰς Ἡράκλειαν πάλιν ἀπιέναι, πολλὴ δὲ εἰς Χρυσόπολιν διελθεῖν. οἱ δὲ πολέμιοι πλησίον· εἰς Κάλπης δὲ λιμένα, ἔνθα Χειρίσοφον εἰκάζομεν εἶναι, εἰ σέσωσται, ἐλαχίστη ὁδός. ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖα ἔστιν, οἷς ἀποπλευσόμεθα, μένουσι δὲ αὐτοῦ οὐδὲ
17 μιᾶς ἡμέρας ἔστι τὰ ἐπιτήδεια. τῶν δὲ πολιορκουμένων ἀπολομένων σὺν τοῖς Χειρισόφου μόνοις κάκιόν ἐστι διακινδυνεύειν ἢ τῶνδε σωθέντων πάντας εἰς ταὐτὸν ἐλθόντας κοινῇ τῆς σωτηρίας ἔχεσθαι. ἀλλὰ χρὴ παρασκευασαμένους τὴν γνώ-

Anaphora wie I, 9, 10 zu ἔτι. — **τεθαρρηκότων**, im D. ein Adject., oder einen Nebensatz, der die Sachlage schärfer bezeichnet.

§ 13. **μόνοι — μόνοι**, kräftige Wiederholung.

§. 14. **νῦν μέν** ohne folgendes δέ schon I, 2, 1. Der Gegensatz wäre: Mit Anbruch des Tages aber. — **ὅσον**, der Infinitiv ist aus προελθόντες zu ergänzen, s. I, 2, 15 z. ὡς νόμ. — **καιρός**, Sinn: 'wie weit es zweckmässig erscheine', εἰς 'in Rücksicht auf', d. h. so weit, bis wir um zu essen halten müssen. — **ἐφορῶν**, doch so, dass er uns im Auge behalte; Zweck, dass sie bei einem Ueberfall im Rücken auf seine Hülfe rechnen können.

§. 15. Dieser Paragraph enthält in einer Art Parenthese eine in die Rede eingeschobene Zwischenbemerkung des Xenophon. Zur Sache s. Excurs §. 28 u. 33. — **ποθέν**, im D. der terminus in quo. — **ὅτῳ** als Collectiv auf ἅπαντα bezogen; doch ist im D. das in den Relativs. gezogene καυσίμῳ zu ἅπαντα zu ziehen. Der Zweck dieser Massregel erhellt aus §§. 19 und 25.

§. 16. **ἡμεῖς γάρ**, γάρ knüpft an §. 13 u. **ἀποδραίημεν** ist eigentlich ein Nachsatz zu dem aus §. 13 zu ergänzenden, hier verschwiegenen Bedingungssatze. — **πολλὴ μὲν — πολλὴ δέ** (ὁδός) Anaphora. — **πολλή** mit Inf. s. I, 9, 1 z. ἄξιος. — **Χρυσόπολιν** d. h. Scutari in Asien. — **εἰ σέσωσται**, steht in Rücksicht auf VI, 2, 18 = hergestellt ist, von s. Krankheit gerettet ist. — **ἀποπλευσόμεθα** im D. mit 'können'. — **οὔτε — μένουσι δέ**, Uebergang in die adversative Verbindung. — **μένουσι** so. ἡμῖν. — **τὰ ἐπιτήδ.**, s. I, 3, 20 z. τὴν δίκην.

§. 17. **εἰς ταὐτὸν ἐλθόντας** frei: 'sich vereinigen'. — **ἔχεσθαί τινος**, sich an etwas halten d. h. auf etwas bedacht sein, aliquid persequi'. — **παρασκευασαμένους** (sc. ἡμᾶς) τ. γνώμην, 'sich

μην πορεύεσθαι, ὡς νῦν ἢ εὐκλεῶς τελευτῆσαι ἔστιν ἢ κάλλι-
στον ἔργον ἐργάσασθαι Ἕλληνας τοσούτους σώσαντας. καὶ ὁ 18
θεὸς ἴσως ἄγει οὕτως, ὃς τοὺς μεγαληγορήσαντας ὡς πλέον
φρονοῦντας ταπεινῶσαι βούλεται, ἡμᾶς δὲ τοὺς ἀπὸ τῶν θεῶν
ἀρχομένους ἐντιμοτέρους ἐκείνων καταστῆσαι. ἀλλ' ἕπεσθαι
χρὴ καὶ προσέχειν τὸν νοῦν, ὡς ἂν τὸ παραγγελλόμενον δύ-
νησθε ποιεῖν.

Ταῦτ' εἰπὼν ἡγεῖτο. οἱ δ' ἱππεῖς σπειρόμενοι ἐφ' ὅσον 19
καλῶς εἶχεν ἔκαιον [ᾗ ἐβάδιζον], καὶ οἱ πελτασταὶ ἐπιπαριόντες
κατὰ τὰ ἄκρα ἔκαιον πάντα ὅσα καύσιμα ἑώρων, καὶ ἡ στρατιὰ
δέ, εἴ τινι παραλειπομένῳ ἐντυγχάνοιεν· ὥστε πᾶσα ἡ χώρα
αἴθεσθαι ἐδόκει καὶ τὸ στράτευμα πολὺ εἶναι. ἐπεὶ δὲ ὥρα ἦν, 20
κατεστρατοπεδεύσαντο ἐπὶ λόφον ἐκβάντες, καὶ τά τε τῶν πολε-
μίων πυρὰ ἑώρων, ἀπεῖχον δὲ ὡς τετταράκοντα σταδίους, καὶ
αὐτοὶ ὡς ἐδύναντο πλεῖστα πυρὰ ἔκαιον. ἐπεὶ δὲ ἐδείπνησαν 21
τάχιστα, παρηγγέλθη τὰ πυρὰ κατασβεννύναι πάντα. καὶ τὴν
μὲν νύκτα φυλακὰς ποιησάμενοι ἐκάθευδον· ἅμα δὲ τῇ ἡμέρᾳ
προσευξάμενοι τοῖς θεοῖς, συνταξάμενοι ὡς εἰς μάχην ἐπορεύ-
οντο ᾗ ἐδύναντο τάχιστα. Τιμασίων δὲ καὶ οἱ ἱππεῖς ἔχοντες 22
τοὺς ἡγεμόνας καὶ προελαύνοντες ἐλάνθανον αὐτοὺς ἐπὶ τῷ
λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ Ἕλληνες. καὶ οὐχ

die Ueberzeugung aneignen', übersetze wie das lat. ita comparatis animis. — νῦν ἔστιν frei: 'dass es jetzt gilt' od.: 'möglich ist'. — ἔργον ἐργάσ. s. oben §. 6 u. I, 2, 10 z. τὰ Λύκ. — σώσαντας, dadurch dass; s. III, 2, 22 z. διαβάντες.

§. 18. ἄγει, 'fügt'. — ὡς πλέον φρονοῦντας gehört zu μεγαληγορήσ. — πλέον φρονεῖν, 'klüger sein'; μεῖζον φρονεῖν, stolzer sein. — ὡς πλέον φρον. 'mit ihrer vermeintlichen höheren Einsicht', Rehd. — ἀπὸ τῶν θεῶν ἀρχομ., wir: 'mit den Göttern beginnen'. Wörtlich: von den Göttern her d. i. aus ihren Tempeln heimkehrend.

§. 19—23. Xenophon zieht sengend und brennend weiter und schreckt die Feinde.

§. 19. ἐφ' ὅσον, das Demonstrativ und der Inf. des vorhergehenden Zeitworts sind hinzuzudenken. — ἐβάδιζον von der Reiterei selten gebraucht. — ἐπιπαριόντες, s. III, 4, 30 z. d. W. — πάντα ὅσα gehört auch zum ersten ἔκαιον. — καί — δέ, itemque. — ἡ στρατιά d. h. die Hopliten unter Xenophon = das Hauptheer. — ἐντυγχάνοιεν, warum nach στρατιά erlaubt? Optat. s. I, 5, 2 z. ἐπεί.

§. 20. ὥρα zum Essen, s. §. 14. — ἐκβάντες, warum ἐκ? — ἀπεῖχον δέ erklärend.

§. 21. καί entspricht in dieser Verbindung unserm 'darauf', so dass ποιησάμενοι Hauptsatz wird. — ὡς εἰς, s. I, 8, 1 z. d. W.

§. 22. ἔχοντες nach I, 1, 2 z. λαβών, καί also unübersetzt. — ἐλάνθανον αὐτούς, γενόμ., s. I, 1, 2 z. παρὼν ἐτύγχ., oder frei = 'ohne es zu merken', 'zu wissen'. — ἔνθα, s. I, 2, 8 z. ὅθεν. — ἐπολιορκοῦντο, s. I, 1, 6 zu ἦσαν,

1. ἕω prahlen. 2. klüger f. 3. der Befohlene. 4. über — hin. 5 αἴθω = uro
paso = ardeo. 6. ansteigen. 7. auslöschen transit.

ὁρῶσιν οὔτε φίλιον στράτευμα οὔτε πολέμιον, — καὶ ταῦτα ἀπαγ-
γέλλουσι πρὸς τὸν Ξενοφῶντα καὶ τὸ στράτευμα, — γράδια δὲ
καὶ γερόντια καὶ πρόβατα ὀλίγα καὶ βοῦς καταλελειμμένους.
23 καὶ τὸ μὲν πρῶτον θαῦμα ἦν, τί εἴη τὸ γεγενημένον, ἔπειτα
δὲ καὶ τῶν καταλελειμμένων ἐπυνθάνοντο, ὅτι οἱ μὲν Θρᾷκες
εὐθὺς ἀφ' ἑσπέρας ᾤχοντο ἀπιόντες, ἕωθεν δὲ καὶ τοὺς Ἕλλη-
νας ἔφασαν οἴχεσθαι· ὅπου δέ, οὐκ εἰδέναι.
24 Ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ ἠρίστησαν,
συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι ὡς τάχιστα συμμῖξαι
τοῖς ἄλλοις εἰς Κάλπης λιμένα. καὶ πορευόμενοι ἑώρων τὸν
στίβον τῶν Ἀρκάδων καὶ Ἀχαιῶν κατὰ τὴν [ἐπὶ Κάλπης] ὁδόν.
ἐπεὶ δὲ ἀφίκοντο εἰς τὸ αὐτό, ἄσμενοί τε εἶδον ἀλλήλους καὶ
25 ἠσπάζοντο ὥσπερ ἀδελφούς. καὶ ἐπυνθάνοντο οἱ Ἀρκάδες τῶν
περὶ Ξενοφῶντα, τί τὰ πυρὰ κατασβέσειαν· ἡμεῖς μὲν γάρ, ἔφα-
σαν, ᾠόμεθα ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ πυρὰ οὐχ ἑωρῶμεν,
τῆς νυκτὸς ἥξειν ἐπὶ τοὺς πολεμίους· καὶ οἱ πολέμιοι δέ, ὥς γε
ἡμῖν ἐδόκουν, τοῦτο δείσαντες ἀπῆλθον· σχεδὸν γὰρ ἀμφὶ τοῦ-
26 τον τὸν χρόνον ἀπῆσαν. ἐπεὶ δὲ οὐκ ἀφίκεσθε, ὁ δὲ χρόνος
ἐξῆκεν, ᾠόμεθα ὑμᾶς πυθομένους τὰ παρ' ἡμῖν φοβηθέντας
οἴχεσθαι ἀποδράντας ἐπὶ θάλατταν· καὶ ἐδόκει ἡμῖν μὴ ἀπολεί-
πεσθαι ὑμῶν. οὕτως οὖν καὶ ἡμεῖς δεῦρο ἐπορεύθημεν.

hier zu der Zeit, als Xenophon es hörte. — **καὶ ταῦτα — στράτευμα** ist parenthetisch eingefügt. Die folgenden Object. gehören zu **ὁρῶσιν**. — **καταλελειμμένους** gehört zu allen Objecten, sowie **ὀλίγα** zu **βοῦς**, vergl. IV, 7, 14.

§. 23. **θαῦμα ἦν**, Umschreibung des Verbs. — **τί** für **ὅ,τι**, s. auch I, 8, 16 z. **θαυμάζ.** — **τῶν καταλελ.** s. I, 2, 5 z. **Τισσαφ.** — **ἀφ' ἑσπέρας**, **ἀπό** entspricht unserm „seit", also hier „seit" d. h. mit Anbruch. — **ἕωθεν** = prima luce, s. IV, 4, 8 z. d. W. — **ἔφασαν**, Wechsel des Subjects. — **ὅπου**, dieselbe Kürze im D. statt des vollständigen: ‘wohin sie gezogen und wo sie seien’.

§. 24—26. Vereinigung der drei Abtheilungen bei Kalpe.

§. 24. **οἱ ἀμφὶ Ξεν.**, s. II, 4, 2 z. **οἱ περί**. — **ἐπεὶ ἠρίστησαν**, s. I, 3, 4 z. **ἐπειδή**. — **βουλόμενοι** causal. — **εἰς Κ. λιμένα**, **εἰς** weil das Verb. der Ruhe (**συμμῖξαι**) den Begriff der vorausgegangenen Bewegung in sich schliesst. — Xenoph. vermuthet, dass sie nach Kalpe sich gewandt und fügt zur Bestätigung **καὶ πορευόμ. κ. τ. λ.** hinzu: „und wirklich". — **ἄσμενοι** fasse als Prädicat, zu dem **εἶδον** Object im Inf. wird.

§. 25. **ἐπυνθάνοντο**, ‘erkundigten sich’. Was für ein Impf.? — **γάρ** = ‘nämlich’; sie geben zu, dass ihre Vermuthung darüber falsch gewesen. — **ὑμᾶς** betont. — **ἐδόκουν**, s. I, 4, 7 z. d. W., hier als Zwischensatz z. **δείσαντες**. — **σχεδόν — ἀπῆσαν** verstärkte Wiederholung des **ἀπῆλθον** zur genauen Zeitbestimmung, s. auch IV, 8, 15 z. **σχεδόν**.

§. 26. **ἐξῆκεν**, in der Bedeutung des Plqpf. — **τὰ παρ' ἡμῖν** = ‘das bei uns Geschehene = unser

Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τοῦ IV.
αἰγιαλοῦ πρὸς τῷ λιμένι. τὸ δὲ χωρίον τοῦτο, ὃ καλεῖται Κάλπης λιμήν, ἔστι μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν τῇ Ἀσίᾳ· ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρι Ἡρακλείας ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσπλέοντι. καὶ τριήρει μέν 2
ἐστιν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας [μάλα] μακρᾶς πλοῦς· ἐν δὲ τῷ μέσῳ ἄλλη μὲν πόλις οὐδεμία οὔτε φιλία οὔτε Ἑλληνίς, ἀλλὰ Θρᾷκες Βιθυνοί· καὶ οὓς ἂν λάβωσι τῶν Ἑλλήνων, ἐκπίπτοντας ἢ ἄλλως πως, δεινὰ ὑβρίζειν λέγονται τοὺς Ἕλληνας. ὁ δὲ Κάλπης λιμὴν ἐν μέσῳ μὲν κεῖται ἑκατέρωθεν πλε- 3
όντων ἐξ Ἡρακλείας καὶ Βυζαντίου, ἔστι δ' ἐν τῇ θαλάττῃ προκείμενον χωρίον, τὸ μὲν εἰς τὴν θάλατταν καθῆκον αὐτοῦ πέτρα ἀπορρώξ, ὕψος ὅπῃ ἐλάχιστον οὐ μεῖον εἴκοσιν ὀργυιῶν, ὁ δὲ αὐχὴν ὁ εἰς τὴν γῆν ἀνήκων τοῦ χωρίου μάλιστα τεττάρων πλέθρων τὸ εὖρος· τὸ δ' ἐντὸς τοῦ αὐχένος χωρίον ἱκανὸν

Schicksal', vergl. I, 3, 9 z. τὰ μέν u. III, 1, 15 z. ἐν οἵοις. — πυθομένους u. φοβηθέντας nach I, 1, 6 z. ἐπιβουλ. 1. — οἴχεσθαι ἀποδράντας, s. I, 1, 2 z. ἐτύγχ.

IV. Aufenthalt bei Kalpe.

§. 1—6. Beschaffenheit der Gegend.

§. 1. ἐπὶ τοῦ αἰγιαλοῦ, s. II, 2, 1 z. παρὰ Ἀριαίῳ. D. h. Vorgebirge Kirpeh. — ἀρξαμένη gehört z. ἀπὸ τ. στόματος. — ἐστί = 'pertinet'. — στόμα τ. Πόντου, die heutige Strasse von Konstantinopel. — Ἡρακλείας, der Name der Stadt umfasst das Gebiet mit. — εἰσπλέοντι, Dat. des Part. III, 1, 38 z. ὡς συνελόντι.

§. 2. τριήρει, geographische Entfernungen zur See werden von den alten Griechen nach der Zahl der Tag- und Nachtschiffahrten oder nach Stadien bestimmt. Beide Bestimmungen hat Herod. IV, 86 mit der Angabe, dass ein Schiff am Tage 700, in der Nacht 600 Stadien zurücklegt. — Arrian P. E. sagt, dass Byzanz von Herakleia 800 Stadien entfernt sei. — Vergl. Caes. b. G. 6, 25: silvae latitudo novem dierum iter expedito patet. — Wie viel nach unsern Bestimmungen? — εἰς Ἡράκλειαν, im D. steht es nach. — κώπαις, attrib. Dat. instrum. z. τριήρει: 'eine mit Rudern getriebene'. — ἀλλά, s. I, 4, 18 z., d. W. — καὶ οὓς — τοὺς Ἕλλην. im D. nimm λέγονται τ. Ἕ. vorauf. — ἐκπίπτοντας steht in passivischem Sinne von Schiffbruchleidenden. — Noch im October 1854 haben die Bewohner dieser Küste sich arger Misshandlung von Schiffbrüchigen schuldig gemacht. — λάβωσι ἐκπίπτ. frei: 'durch Schiffbruch in die Hände fallen'. — δεινά, s. I, 3, 3 zu τὰ ἄλλα ἐτίμησε, vergl. III, 1, 18 ἔσχατα. — Ἕλληνας, das Hauptwort statt eines Pronomens hebt nachdrücklich hervor, dass nur Griechen misshandelt wurden. S. I, 4, 12 z. Κῦρον u. II, 6, 8 z. Κλέαρχ.

§. 3. πλεόντων, Gen. abs. ohne Subj., s. I, 1, 7 z. βουλευομ.; Andere machen den Gen. von ἐν μέσῳ abhängig. — ἔστι δέ an die Spitze gestellt gehört als selbständiges Begriffswort z. allen folgend. Subj. — προκείμενον = προτεῖνον. — τὸ μὲν — ὁ δὲ — τὸ δ' ἐντός geben die nähere Beschreibung. Beachte die mit Chiasmus gemischte Anaphora. — μάλιστα, s. V, 4, 12 z. d. W. — τὸ δ' ἐντὸς — χωρίον ist dasselbe Terrain, welches kurz vorher προκείμενον χωρίον heisst.

1. sich verweilen. 2. ὅς (ἀῤῥήγνυμι ἅλς) Küste. 3. πη Ruder. 4. [illegible] 5. v. beiden Seiten. 6. v. ἀπορρήγνυμι abzül. = abschüssig. 7. Klafter = 6 Fß. 8. [illegible] 9. höchstens. 10. = 100 Fß. 11. sich erstrecken. (n. Landenge

4 μυρίοις ἀνθρώποις οἰκῆσαι. λιμὴν δ' ὑπ' αὐτῇ τῇ πέτρᾳ τὸ
πρὸς ἑσπέραν αἰγιαλὸν ἔχων. κρήνη δὲ ἡδέος ὕδατος καὶ ἄφ-
θονος ῥέουσα ἐπ' αὐτῇ τῇ θαλάττῃ ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ
χωρίου. ξύλα δὲ πολλὰ μὲν καὶ ἄλλα, πάνυ δὲ πολλὰ καὶ καλὰ
5 ναυπηγήσιμα ἐπ' αὐτῇ τῇ θαλάττῃ. τὸ δὲ ὄρος εἰς μεσόγαιαν
μὲν ἀνήκει ὅσον ἐπὶ εἴκοσι σταδίους, καὶ τοῦτο γεῶδες καὶ
ἄλιθον· τὸ δὲ παρὰ θάλατταν πλέον ἢ ἐπὶ εἴκοσι σταδίους δασὺ
6 πολλοῖς καὶ παντοδαποῖς καὶ μεγάλοις ξύλοις. ἡ δὲ ἄλλη χώρα
καλὴ καὶ πολλή, καὶ κῶμαι ἐν αὐτῇ εἰσὶ πολλαὶ καὶ εὖ οἰκού-
μεναι· φέρει γὰρ ἡ γῆ καὶ κριθὰς καὶ πυροὺς καὶ ὄσπρια
πάντα καὶ μελίνας καὶ σήσαμα καὶ σῦκα ἀρκοῦντα καὶ ἀμπέλους
7 πολλὰς καὶ ἡδυοίνους καὶ τἆλλα πάντα πλὴν ἐλαιῶν. ἡ μὲν
χώρα ἦν τοιαύτη. ἐσκήνουν δὲ ἐν τῷ αἰγιαλῷ πρὸς τῇ θαλάττῃ.
εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύ-
εσθαι, ἀλλὰ ἐδόκει καὶ τὸ ἐλθεῖν ἐνταῦθα ἐξ ἐπιβουλῆς εἶναι,
8 βουλομένων τινῶν κατοικίσαι πόλιν. τῶν γὰρ στρατιωτῶν οἱ
πλεῖστοι ἦσαν οὐ σπάνει βίου ἐκπεπλευκότες ἐπὶ ταύτην τὴν
μισθοφοράν, ἀλλὰ τὴν Κύρου ἀρετὴν ἀκούοντες, οἱ μὲν καὶ ἄν-

— Die Beschreibung Xenophons ist bis jetzt noch von keinem Reisenden an Ort und Stelle verglichen. — *ἱκανὸν οἰκῆσαι* frei: 'bietet Raum für'.

§. 4. *αὐτῇ*, s. III, 4, 41 z. d. W. — *τὸ πρὸς ἑσπέραν*, Acc. der Beziehung. Wir: 'gegen Westen, an der Westseite'. — *ἄφθονος*, Adj. statt des Adverbs, s. I, 2, 25 z. *προτέρα*. Zu beachten, dass ein Partic. und ein Gen. qualit. einander beigeordnet sind. — *πολλὰ καὶ ἄλλα*, 'in Menge und von mehreren Arten'; *πολλὰ καὶ καλά*, s. II, 3, 18 zu *πολλά*. Beachte in dieser Beschreibung die meist ohne Copula gebildeten, an Attributen reichen kurzen Hauptsätze.

§. 5. *δασύ* diese üppige Waldvegetation findet sich noch jetzt, daher die Halbinsel den Namen Aghatsch-Denis d. i. Waldmeer führt.

§. 6. *κριθὰς — καὶ σήσαμα*, s. I, 2, 22 z. d. W.

§. 7—8. Die Söldner sehnen sich nach Hause.

§. 7. *ἡ μέν*, Asyndeton der Zusammenfassung. — *εἰς τὸ πόλισμα* ist gebraucht in Beziehung auf *τὸ δ' ἐντὸς — οἰκῆσαι*. — *ἂν γενόμενον* durch einen Relativsatz mit können, in welchem *πόλισμα* = Ansiedlung wiederholt wird. *ἄν* beim Partic., weil ein Bedingungssatz: „wenn man“ oder „wenn die Soldaten sich hier hätten ansiedeln wollen“ zu ergänzen ist, s. I, 1, 10 z. d. W. — *εἰς* weil *στρατοπεδεύεσθαι* prägnant steht = in locum se conferre ibique castra ponere. — *τὸ ἐλθεῖν ἐνταῦθα* durch ein Hauptw. — *ἐξ ἐπιβουλῆς εἶναι* frei: 'schien die Folge eines vorher angelegten Plans'. — *βουλομένων* causal.

§. 8. *γάρ* begründet das *οὐκ ἐβούλοντο*, das nach der längeren Auseinandersetzung am Schlusse mit *τοιοῦτοι — ἐπόθουν* wiederholt wird, so dass sich *γάρ* auch darauf bezieht. — *ἦσαν ἐκπεπλευκότες*, s. II, 2, 13 z. *ἦν*. — *οὐ σπάνει — ἀλλὰ — ἀκούοντες* sind coordiniert, wie VI, 1, 1. — Isocra-

δρας ἄγοντες, οἱ δὲ καὶ προσανηλωκότες χρήματα, καὶ τούτων ἕτεροι ἀποδεδρακότες πατέρας καὶ μητέρας, οἱ δὲ καὶ τέκνα καταλιπόντες, ὡς χρήματ' αὐτοῖς κτησάμενοι ἥξοντες πάλιν, ἀκούοντες καὶ τοὺς ἄλλους τοὺς παρὰ Κύρῳ πολλὰ κἀγαθὰ πράττειν. τοιοῦτοι οὖν ὄντες ἐπόθουν εἰς τὴν Ἑλλάδα σώζεσθαι.

Ἐπειδὴ δὲ ὑστέρα ἡμέρα ἐγένετο τῆς εἰς ταὐτὸν συνόδου, 9
ἐπ' ἐξόδῳ ἐθύετο Ξενοφῶν· ἀνάγκη γὰρ ἦν ἐπὶ τὰ ἐπιτήδεια ἐξάγειν· ἐπενόει δὲ καὶ τοὺς νεκροὺς θάπτειν. ἐπεὶ δὲ τὰ ἱερὰ [καλὰ] ἐγένετο, εἵποντο καὶ οἱ Ἀρκάδες, καὶ τοὺς μὲν νεκροὺς τοὺς πλείστους ἔνθαπερ ἔπεσον ἑκάστους ἔθαψαν. ἤδη γὰρ ἦσαν πεμπταῖοι καὶ οὐχ οἷόν τε ἀναιρεῖν ἔτι ἦν· ἐνίους δὲ τοὺς ἐκ τῶν ὁδῶν συνενεγκόντες ἔθαψαν ἐκ τῶν ὑπαρχόντων ὡς ἐδύναντο κάλλιστα· οὓς δὲ μὴ εὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίησαν μέγα, καὶ στεφάνους ἐπέθεσαν. ταῦτα δὲ ποιήσαντες 10
ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον. καὶ τότε μὲν δειπνήσαντες ἐκοιμήθησαν· τῇ δὲ ὑστεραίᾳ συνῆλθον οἱ στρατιῶται πάντες·

tes sagt im Panegyricus c. 40 von diesen Söldnern: *οὐκ ἀριστίνδην μὲν ἐπιλελεγμένους, ἀλλ' οἳ διὰ φαυλότητα ἐν ταῖς ἑαυτῶν πόλεσιν οὐχ οἷοί τ' ἦσαν ζῆν.* — **ἀρετήν**, s. I, 4, 8 z. d. W. — **καί** vor *ἄνδρας* = auch. Was ist also in Gedanken hinzuzufügen? — **ἄνδρ.** die sie im Auftrage des Kyros und mit dessen Gelde zusammengebracht hatten. — Im Folgenden stehen immer je 2 Partic. chiastisch. — **προσανηλωκότες**, von ihrem Vermögen durch Anwerbung von Söldnern. — **τούτων ἕτεροι** Gegensatz z. *οἱ πλεῖστοι*; *τούτων* Gen. wegen des in *ἕτερ.* liegenden Compar. — **πολλά**, s. II, 3, 18 z. d. W. — **ἀγαθὰ πράττειν** = 'Vermögen erwerben'.

§. 9. Streifzug und Bestattung der gefallenen Arkader.

§. 9. **ἐπειδὴ — ἐγένετο**, s. I, 3, 4 z. *ἐπειδή*. — **τῆς συνόδου**, weil *ὑστέρα* Comparativ ist. — **ἐπ' ἐξόδῳ**, s. III, 5, 18 z. *ἐπὶ τούτ.* — **ἐξάγειν** intr. — **τὰ ἱερὰ — ἐγένετο**, stehender Ausdruck von günstigen Opfern, *καλά* steht nur hier und einmal in der Kyropaid. dabei. — **καὶ οἱ Ἀρκάδ.**, ohne das scheinen sie Furcht vor den Thrakern gehabt zu haben. — **τοὺς μέν**, ihm entspricht in Folge der veränderten Satzstellung **οὓς δέ μή**. — **πεμπταῖοι**, s. I, 2, 25 z. *προτέρα*. — **ἦσαν** frei: 'lagen'. — Bestimme nach c. 3, 5 sqq. die 5 Tage. — **ἀναιρεῖν**, s. V, 7, 30 z. d. W. — **ἐνίους δὲ τούς**, hier wird *ἔνιος* durch den Artikel näher bestimmt, während es an andern Stellen zur Beschränkung dient. Es ist Gegensatz zu *τοὺς πλείστους*, *δέ* steht also ohne vorhergegangenes *μέν*. — **ἐκ τῶν ὁδῶν**, s. I, 1, 5 z. *παρὰ βασιλ.* — **κενοτάφιον**, Exc. §. 54. — **αὐτοῖς**, auch hier fordert die Deutlichkeit bei der verschiedenen Construct. im Relativ- und Hauptsatze die Wiederaufnahme des Pronom. s. I, 9, 29 z. *αὐτόν*. — **ἐκ τῶν ὑπαρχ.**, „vorhandenen Mitteln"; vergl. IV, 2, 23: *ἐκ τῶν δυνατῶν*. — **οὓς μή** s. II, 2, 14 z. *οἳ μή*. — **στεφάνους**, um sie als heilige Orte zu bezeichnen.

§. 10—16. Beschluss, sich nicht wieder zu trennen; die Opfer sind gegen den Abmarsch.

§. 10. **ταῦτα δὲ ποιήσ.** s. I,

1. [illegible] · 2. Am nächsten Tage nach der Wiedervereinigung · 3. in bezug auf · 4. stehender Ausdruck f. d. Aufnahme der Leichen z. Zweck der Bestattung · 5. κοιμᾶν schlafen.

*συνῆγε δὲ μάλιστα Ἀγασίας τε Στυμφάλιος λοχαγὸς καὶ Ἱερώ-
νυμος Ἠλεῖος λοχαγὸς καὶ ἄλλοι οἱ πρεσβύτατοι τῶν Ἀρκάδων.
11 καὶ δόγμα ἐποιήσαντο, ἐάν τις τοῦ λοιποῦ μνησθῇ δίχα τὸ
στράτευμα ποιεῖν, θανάτῳ αὐτὸν ζημιοῦσθαι, καὶ κατὰ χώραν
ἀπιέναι, ἧπερ πρόσθεν εἶχε, τὸ στράτευμα καὶ ἄρχειν τοὺς πρό-
σθεν στρατηγούς. καὶ Χειρίσοφος μὲν ἤδη ἐτετελευτήκει φάρ-
μακον πιὼν πυρέττων· τὰ δ' ἐκείνου Νέων Ἀσιναῖος παρέλαβε.
12 Μετὰ δὲ ταῦτα ἀναστὰς εἶπε Ξενοφῶν, Ὦ ἄνδρες στρα-
τιῶται, τὴν μὲν πορείαν, ὡς ἔοικε, [δῆλον ὅτι] πεζῇ ποιητέον.
οὐ γάρ ἐστι πλοῖα· ἀνάγκη δὲ πορεύεσθαι ἤδη. οὐ γάρ ἐστι
μένουσι τὰ ἐπιτήδεια. ἡμεῖς οὖν, ἔφη, θυσόμεθα· ὑμᾶς δὲ δεῖ
παρασκευάζεσθαι ὡς μαχουμένους εἴ ποτε καὶ ἄλλοτε· οἱ γὰρ
13 πολέμιοι ἀνατεθαρρήκασιν. ἐκ τούτου ἐθύοντο οἱ στρατηγοί,
μάντις δὲ παρῆν Ἀρηξίων Ἀρκάς· ὁ δὲ Σιλανὸς ὁ Ἀμβρακιώτης
ἤδη ἀπεδεδράκει πλοῖον μισθωσάμενος ἐξ Ἡρακλείας. θυομένοις
14 δὲ ἐπὶ τῇ ἀφόδῳ οὐκ ἐγίγνετο τὰ ἱερά. ταύτην μὲν οὖν τὴν
ἡμέραν ἐπαύσαντο, καί τινες ἐτόλμων λέγειν, ὡς ὁ Ξενοφῶν
βουλόμενος τὸ χωρίον οἰκίσαι πέπεικε τὸν μάντιν λέγειν, ὡς
15 τὰ ἱερὰ οὐ γίγνεται ἐπὶ ἀφόδῳ. ἐντεῦθεν κηρύξας τῇ αὔριον
παρεῖναι ἐπὶ τὴν θυσίαν τὸν βουλόμενον, καί, μάντις εἴ τις
εἴη, παραγγείλας παρεῖναι ὡς συνθεασόμενον τὰ ἱερά, ἔθυε.*

3, 13 z. *ταῦτα εἰπών*. — *συνῆγε*, wahrscheinlich durch Beredung. Warum der Singul.?

§. 11. *δόγμα ἐποιήσ.*, s. I, 1, 6 z. *ποιεῖσθαι*. — *ἐάν τις* kann im D. ein Relativsatz werden. — *τοῦ λοιποῦ* s. II, 2, 5 z. d. W. — *μνησθῇ* c. Inf. s. III, 2, 39 z. d. W. — *κατὰ χώραν* „nach dem früheren Platze“. — *ἧπερ εἶχε*, s. II, 2, 21 z. d. W. — *τὸ στράτευμα* gehört auch z. *ἀπιέναι*. — *πιών* concessiv. — *τὰ δ' ἐκείνου*, ‘seine Geschäfte’ = seine Stelle. Vergl. V, 6, 36 u. VI, 2, 18.

§. 12. *τὴν πορείαν* warum voran? — *ἤδη* mit Nachdruck am Ende = ‘gerade jetzt, sofort’. — *μένουσι*, s. VI, 3, 16 z. d. W. — *εἴ ποτε καὶ ἄλλοτε* frei: ‘mehr als jemals’. — Was hat dieser Vorschlag sprachlich Charakteristisches?

§. 13. *στρατηγοί, μάντις*, sowie die Eigennamen stehen chiastisch. — *πλοῖον μισθωσάμ* frei: ‘auf einem gemietheten Schiffe’ — *θυομένοις* bleibt unübersetzt. Vergleiche diese Wortstellung mit der im §. 14. — *ἀποδεδράκει*, weil er gegen den V, 6, 33 gefassten Beschluss fortgeschifft war.

§. 14. *βουλόμενος*, in der Absicht. — *πέπεικε*, warum der Indic. Perf.? — *ὡς τὰ — ἀφόδῳ* bildet mit dem vorhergehenden (§. 13) *ἐπὶ τῇ ἀφόδῳ κ. τ. λ.* einen auf Sätze ausgedehnten *κύκλος*, s. II, 3, 5 z. *ἄριστον*.

§. 15. *τῇ αὔριον*, warum kann das Hauptwort fehlen? — *παρεῖναι ἐπὶ τ. θ.* prägnant, s. I, 2, 2 zu *παρῆσαν*. — *τὸν βουλόμ.*, s. I, 3, 9 z. d. W. — *μάντις εἴ τις εἴη* vertritt den Subjectsaccusativ zum folgenden *παρεῖναι*, *μάντις* gestellt wie *φίλους* I, 9, 20. — *ὡς συνθεασόμενον*, Accus. zum Subjecte. — *ὡς*, s. I, 1, 3 z. *ὡς*.

καὶ ἐνταῦθα παρῆσαν πολλοί. θυομένῳ δὲ πάλιν εἰς τρὶς ἐπὶ 16
τῇ ἀφόδῳ οὐκ ἐγίγνετο τὰ ἱερά. ἐκ τούτου χαλεπῶς εἶχον οἱ
στρατιῶται. καὶ γὰρ τὰ ἐπιτήδεια ἐπέλιπεν, ἃ ἔχοντες ἦλθον,
καὶ ἀγορὰ οὐδεμία παρῆν.
Ἐκ τούτου συνελθόντων εἶπε πάλιν Ξενοφῶν, Ὦ ἄνδρες, 17
ἐπὶ μὲν τῇ πορείᾳ, ὡς ὁρᾶτε, τὰ ἱερὰ οὔπω γίγνεται. τῶν δ᾽
ἐπιτηδείων ὁρῶ ὑμᾶς δεομένους· ἀνάγκη οὖν μοι δοκεῖ εἶναι
θύεσθαι περὶ αὐτοῦ τούτου. ἀναστάς τις εἶπε, Καὶ εἰκότως 18
ἄρα ἡμῖν οὐ γίγνεται τὰ ἱερά· ὡς γὰρ ἐγὼ ἀπὸ τοῦ αὐτομάτου
χθὲς ἥκοντος πλοίου ἤκουσά τινος ὅτι Κλέανδρος ὁ ἐκ Βυζαν-
τίου ἁρμοστὴς μέλλει ἥξειν πλοῖα καὶ τριήρεις ἔχων. ἐκ τούτου 19
δὲ ἀναμένειν μὲν πᾶσιν ἐδόκει· ἐπὶ δὲ τὰ ἐπιτήδεια ἀνάγκη ἦν
ἐξιέναι. καὶ ἐπὶ τούτῳ πάλιν ἐθύετο εἰς τρίς, καὶ οὐκ ἐγίγνετο
τὰ ἱερά. καὶ ἤδη καὶ ἐπὶ σκηνὴν ἰόντες τὴν Ξενοφῶντος ἔλε-
γον, ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια. ὁ δ᾽ οὐκ ἂν ἔφη ἐξαγαγεῖν μὴ
γιγνομένων τῶν ἱερῶν.
Καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο, καὶ σχεδόν τι πᾶσα ἡ 20
στρατιὰ διὰ τὸ μέλειν ἅπασιν ἐκυκλοῦντο περὶ τὰ ἱερά· τὰ δὲ
θύματα ἐπιλελοίπει. οἱ δὲ στρατηγοὶ ἐξῆγον μὲν οὔ, συνεκά-
λεσαν δέ. εἶπεν οὖν Ξενοφῶν, Ἴσως οἱ πολέμιοι συνειλεγμένοι 21
εἰσὶ καὶ ἀνάγκη μάχεσθαι· εἰ οὖν καταλιπόντες τὰ σκεύη ἐν
τῷ ἐρυμνῷ χωρίῳ ὡς εἰς μάχην παρεσκευασμένοι ἴοιμεν, ἴσως
ἂν τὰ ἱερὰ προχωροίη ἡμῖν. ἀκούσαντες δ᾽ οἱ στρατιῶται ἀνέ- 22

§. 16. εἰς τρίς, im D. bleibt εἰς unübersetzt. Wie heisst's wörtlich? ἐπέλιπεν, im D. ein andres Tpus., s. §. 20. — ἃ ἔχοντες ἦλθον, 'die sie mitgebracht hatten', oder nach I, 2, 18 z. ἰδοῦσα.

§. 17—22. Auch gegen einen Streifzug sind die Opfer.

§. 17. συνελθόντων, warum ohne Subj.? Wechsel zwischen ἐπί und περί.

§. 18. ἀναστάς, s. I, 3, 20 z. ἔδοξε. — ἄρα = natürlich nämlich d. h. 'wie ich merke, errathe wohl'. — ἀπὸ τ. αὐτομάτου = 'zufällig'. — ἥκοντος πλοίου, Gen. absol. — ὅτι, als wenn nicht ὡς γάρ, sondern ἐγὼ γὰρ ηκουσα vorherginge. — ἐκ Βυζ., ἐκ s. I, 1, 5 z. παρὰ βασιλ.

§. 19. ἐθύετο, man. — καὶ οὐκ ἐγίγ., wir subordinieren durch 'ohne dass'. — καὶ ἐπὶ σκην., welcher Gedanke ist verschwiegen? — οὐκ ἔφη, s. I, 3, 1 z. d. W. — μὴ γιγν., conditional oder „so lange". S. I, 9, 13 z. μηδέν.

§. 20. σχεδόν τι, τι mildernd, s. I, 8, 8 z. d. W. — διὰ τὸ μέλ., Causalsatz. — ἐκυκλοῦντο, warum der Plural erlaubt? — οὔ nachgestellt betont den vorhergehenden Begriff und ist selbst betont. — συνεκάλεσαν — 'beriefen eine Versammlung'.

§. 21. καταλιπόντες nach I, 1, 6 z. ἐπιβουλ. 2. — ἐν τῷ ἐρυμνῷ, der §. 3 τὸ δ᾽ ἐντός genannte Ort. — ὡς εἰς μάχ., s. I, 8, 1 z. d. W. — προχωροίη = 'von Statten gehen'.

κραγον, ὡς οὐδὲν δέον εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύεσθαι ὡς τάχιστα. καὶ πρόβατα μὲν οὐκέτι ἦν, βοῦς δὲ ὑφ' ἁμάξης πριάμενοι ἐθύοντο· καὶ Ξενοφῶν Κλεάνορος ἐδεήθη τοῦ Ἀρκάδος προθυμεῖσθαι, εἴ τι ἐν τούτῳ εἴη. ἀλλ' οὐδ' ὧς ἐγένετο.

23 Νέων δὲ ἦν μὲν στρατηγὸς κατὰ τὸ Χειρισόφου μέρος, ἐπεὶ δὲ ἑώρα τοὺς ἀνθρώπους ὡς εἶχον δεινῶς τῇ ἐνδείᾳ, βουλόμενος αὐτοῖς χαρίζεσθαι, εὑρών τινα ἄνθρωπον Ἡρακλεώτην, ὃς ἔφη κώμας ἐγγὺς εἰδέναι, ὅθεν εἴη λαβεῖν τὰ ἐπιτήδεια, ἐκήρυξε τὸν βουλόμενον ἰέναι ἐπὶ τὰ ἐπιτήδεια, ὡς ἡγεμόνος ἐσομένου. ἐξέρχονται δὴ σὺν δορατίοις καὶ ἀσκοῖς καὶ θυλάκοις
24 καὶ ἄλλοις ἀγγείοις εἰς δισχιλίους ἀνθρώπους. ἐπειδὴ δὲ ἦσαν ἐν ταῖς κώμαις καὶ διεσπείροντο ὡς ἐπὶ τὸ λαμβάνειν, ἐπιπίπτουσιν αὐτοῖς οἱ Φαρναβάζου ἱππεῖς πρῶτοι· βεβοηθηκότες γὰρ ἦσαν τοῖς Βιθυνοῖς, βουλόμενοι σὺν τοῖς Βιθυνοῖς, εἰ δύναιντο, ἀποκωλῦσαι τοὺς Ἕλληνας μὴ ἐλθεῖν εἰς τὴν Φρυγίαν· οὗτοι οἱ ἱππεῖς ἀποκτείνουσι τῶν ἀνδρῶν οὐ μεῖον πεντακο-
25 σίους· οἱ δὲ λοιποὶ ἐπὶ τὸ ὄρος ἀνέφυγον. ἐκ τούτου ἀπαγγέλλει τις ταῦτα τῶν ἀποφυγόντων εἰς τὸ στρατόπεδον. καὶ ὁ Ξενοφῶν, ἐπεὶ οὐκ ἐγεγένητο τὰ ἱερὰ ταύτῃ τῇ ἡμέρᾳ, λαβὼν βοῦν ὑπὸ ἁμάξης, οὐ γὰρ ἦν ἄλλα ἱερεῖα, σφαγιασάμενος ἐβοή-
26 θει καὶ οἱ ἄλλοι οἱ μέχρι τριάκοντα ἐτῶν ἅπαντες. καὶ ἀναλα-

§. 22. ὡς οὐδὲν δέον = als ob es nicht nöthig sei; δέον s. II, 5, 22 zu ἐξόν u. ὡς b. Partic. I, 1, 6. — ὑφ' ἁμάξης, totum pro parte; denn unter dem Joche weg werden sie genommen. — προθυμεῖσθαι, 'sich der Sache anzunehmen'. — εἴ d. h. um zu versuchen, ob s. II, 5, 2 z. d. W. — τι ἐν τούτῳ εἴη, 'daran liege' d. h. ob er günstigere Zeichen erhalte, als Xenoph. — οὐδ' ὥς, s. I, 8, 21 z. d. W.

§. 23—27. Neon unternimmt einen unglücklichen Streifzug, Xenophon eilt zur Hülfe. — Ueberfall des Lagers.

§. 23. Νέων δέ. Neuer Anfang, als wenn §. 11 am Schluss der Name des Führers nicht stände. — τοὺς ἀνθρώπους, Anticipation, s. I, 1, 5 z. βαρβάρ. — βουλόμενος mache zum Nachsatze, εὑρών zum Vordersatze, dem ἐπεὶ ἑώρα coordiniert. — ὡς mit Gen. absol. s. I, 1, 2 z. d. W. — ἡγεμόνος, nämlich der Herakleote. — ἐξέρχονται, Excurs §. 51. — εἰς δισχιλ. ἀνθρώπ., ähnlich brauchen wir 'an 2000' als Subject. — Hier ist es eigentlich erklärender Zusatz.

§. 24. ὡς ἐπί s. I, 2, 1 z. d. W. — Φαρναβάζου, des Satrapen von Klein-Phrygien am Hellespont u. Bithynien, s. VII, 8, 25. — πρῶτοι, Adj. statt des Adverbs. Der Gegensatz folgt in anderer Wendung im §. 26. — βεβοηθηκότες ἦσαν, s. II, 2, 13 z. ἦν δυναμένη. — μὴ ἐλθεῖν, s. I, 3, 2 z. μή. — μεῖον ohne folgendes ἤ ist nicht selten. — ἐπὶ τὸ ὄρος, s. oben §. 5.

§. 25. τις ταῦτα, beachte die Zwischenstellung. — οὐ γάρ, Parenthese. — σφαγιασάμενος coordiniere dem ἐβοήθει, vor dem aber 'dann' hinzuzufügen ist. — καὶ οἱ ἄλλοι, wir subordinieren durch 'mit'.

1. [illegible] 2. in derselben Stellung, [illegible] 3. [illegible] 4. [illegible] 5. [illegible] 6. [illegible] 7. [illegible]

βόντες τοὺς λοιποὺς ἄνδρας εἰς τὸ στρατόπεδον ἀφικνοῦνται. καὶ ἤδη μὲν ἀμφὶ ἡλίου δυσμὰς ἦν καὶ οἱ Ἕλληνες μάλ' ἀθύμως ἔχοντες ἐδειπνοποιοῦντο, καὶ ἐξαπίνης διὰ τῶν λασίων τῶν Βιθυνῶν τινες ἐπιγενόμενοι τοῖς προφύλαξι τοὺς μὲν κατέκανον τοὺς δὲ ἐδίωξαν μέχρι εἰς τὸ στρατόπεδον. καὶ κραυγῆς γενο- 27
μένης εἰς τὰ ὅπλα πάντες ἔδραμον οἱ Ἕλληνες· καὶ διώκειν μὲν καὶ κινεῖν τὸ στρατόπεδον νυκτὸς οὐκ ἀσφαλὲς ἐδόκει εἶναι· δασέα γὰρ ἦν τὰ χωρία· ἐν δὲ τοῖς ὅπλοις ἐνυκτέρευον φυλαττόμενοι ἱκανοῖς φύλαξι.

Τὴν μὲν νύκτα οὕτω διήγαγον· ἅμα δὲ τῇ ἡμέρᾳ οἱ στρα- V.
τηγοὶ εἰς τὸ ἐρυμνὸν χωρίον ἡγοῦντο· οἱ δὲ εἵποντο ἀναλαβόντες τὰ ὅπλα καὶ τὰ σκεύη. πρὶν δὲ ἀρίστου ὥραν εἶναι 2
ἀπετάφρευσαν ᾗ ἡ εἴσοδος ἦν εἰς τὸ χωρίον, καὶ ἀπεσταύρωσαν ἅπαν, καταλιπόντες τρεῖς πύλας. καὶ πλοῖον ἐξ Ἡρακλείας ἧκεν ἄλφιτα ἄγον καὶ ἱερεῖα καὶ οἶνον. πρῲ δ' ἀναστὰς Ξενοφῶν ἐθύετο ἐπ' ἐξόδῳ, καὶ γίγνεται τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου. καὶ ἤδη τέλος ἐχόντων τῶν ἱερῶν ὁρᾷ ἀετὸν αἴσιον ὁ μάντις Ἀρηξίων Παρράσιος, καὶ ἡγεῖσθαι κελεύει τὸν Ξενοφῶντα. καὶ 3
διαβάντες τὴν τάφρον τὰ ὅπλα τίθενται, καὶ ἐκήρυξαν ἀριστήσαντας ἐξιέναι τοὺς στρατιώτας σὺν τοῖς ὅπλοις, τὸν δὲ ὄχλον καὶ τὰ ἀνδράποδα αὐτοῦ καταλιπεῖν. οἱ μὲν δὴ ἄλλοι πάντες 4
ἐξῇσαν, Νέων δὲ οὔ· ἐδόκει γὰρ κάλλιστον εἶναι τοῦτον φύλακα

§. 26. *ἀναλαβόντες*, Xenophon und seine Leute. — *τοὺς λοιπούς* d. h. caede relictos. — *καὶ ἤδη — καί*, wir subordinieren, s. I, 8, 1 z. d. W. — *μάλ' ἀθύμως ἔχοντες*, 'in grosser Niedergeschlagenheit über die neue Niederlage und über Mangel'. — *διὰ τῶν λασίων* = 'durch das Buschwerk'.

§. 27. *καὶ — μέν*, allein. — *κινεῖν τὸ στρατόπεδον*, Excurs §. 25. — *ἱκανοῖς φύλαξι*. Dat. instrum., der von Personen namentlich in militärischen Ausdrücken gebraucht wird. So der lat. Abl. ohne cum: omnibus copiis proficisci. — *φυλαττόμ. ἱκαν. φύλ.* frei: 'hinreichend starke Vorposten ausstellen'.

V. Was die Griechen weiter bei Kalpe erlebten.

§. 1—6. Günstige Opfer; sie unternehmen einen Streifzug und begraben die früher Gebliebenen.

§. 1. *οἱ δὲ εἵποντο*, die Furcht überwindet die c. 4 geäusserten Bedenklichkeiten. — *ἀναλαβόντες*, warum *ἀνά*? Uebersetze nach I, 1, 2 z. *λαβών*. — *τὰ ὅπλα καὶ τὰ σκεύη*, wir: mit Sack und Pack.

§. 2. *καταλιπόντες* beschränkt *ἅπαν*, daher *τρεῖς* nach I, 3, 14 z. *τοσοῦτον*. Zur Sache Excurs §. 46. — *ἱερεῖα*, s. IV, 4, 9 z. d. W. — *τέλος ἐχόντων*, Umschreibung. — *ὁ μάντις* betont durch Stellung.

§. 3. *τὰ ὅπλα τίθενται*, Exc. §. 25 Anm. 3, 4. — *ἐξιέναι — καταλιπεῖν*, welche Stellung? — *τὸν ὄχλον*, Exc. §. 41 sqq.

§. 4. *Νέων δὲ οὔ*, s. IV, 6, 2 z. *ἔδησε*. — *ἐπὶ στρατοπέδου*, *ἐπί* c. Gen. steht in partitiver Be-

1. [illegible] 2. castra movere. 3. [illegible] 4. [illegible] 5. [illegible] 6. [illegible] 7. früh. 8. τ. ἔχειν [illegible] 9. [illegible] 10. Halt machen. 11. der Troß.

καταλιπεῖν τῶν ἐπὶ στρατοπέδου. ἐπεὶ δ' οἱ λοχαγοὶ καὶ οἱ στρατιῶται ἀπέλιπον αὐτούς, αἰσχυνόμενοι μὴ ἐφέπεσθαι τῶν ἄλλων ἐξιόντων, κατέλιπον αὐτοῦ τοὺς ὑπὲρ πέντε καὶ τετταράκοντα ἔτη. καὶ οὗτοι μὲν ἔμενον, οἱ δ' ἄλλοι ἐπορεύοντο.
5 πρὶν δὲ πεντεκαίδεκα στάδια διεληλυθέναι, ἐνέτυχον ἤδη νεκροῖς. καὶ τὴν οὐρὰν τοῦ κέρατος ποιησάμενοι κατὰ τοὺς πρώτους φανέντας νεκροὺς ἔθαπτον πάντας, ὁπόσους ἐπελάμβανε
6 τὸ κέρας. ἐπεὶ δὲ τοὺς πρώτους ἔθαψαν, προαγαγόντες καὶ τὴν οὐρὰν αὖθις ποιησάμενοι κατὰ τοὺς πρώτους τῶν ἀτάφων ἔθαπτον τὸν αὐτὸν τρόπον ὁπόσους ἐπελάμβανεν ἡ στρατιά. ἐπεὶ δὲ εἰς τὴν ὁδὸν ἧκον τὴν ἐκ τῶν κωμῶν, ἔνθα ἔκειντο ἀθρόοι, συνενεγκόντες αὐτοὺς ἔθαψαν.

7 Ἤδη δὲ πέρα μεσούσης τῆς ἡμέρας προαγαγόντες τὸ στράτευμα ἔξω τῶν κωμῶν ἐλάμβανον τὰ ἐπιτήδεια, ὅ,τι τις ὁρῴη ἐντὸς τῆς φάλαγγος, καὶ ἐξαίφνης ὁρῶσι τοὺς πολεμίους ὑπερβάλλοντας κατὰ λόφους τινὰς ἐκ τοῦ ἐναντίου, τεταγμένους ἐπὶ φάλαγγος, ἱππέας τε πολλοὺς καὶ πεζούς· καὶ γὰρ Σπιθριδάτης καὶ Ῥαθίνης ἧκον παρὰ Φαρναβάζου ἔχοντες τὴν δύναμιν.
8 ἐπεὶ δὲ κατεῖδον τοὺς Ἕλληνας οἱ πολέμιοι, ἔστησαν ἀπέχοντες αὐτῶν ὅσον πεντεκαίδεκα σταδίους. ἐκ τούτου εὐθὺς Ἀρηξίων [ὁ μάντις τῶν Ἑλλήνων] σφαγιάζεται, καὶ ἐγένετο ἐπὶ τοῦ πρώ-

deutung. — ἀπέλιπον αὐτούς, Sinn: Die Lochagen und Soldaten des Neon wollen nicht bleiben, verlassen also die andern im Lager Bleibenden. — κατέλιπον, Subj. die übrigen Anführer der Griechen. — τοὺς ὑπέρ, im D. ein Relativsatz. — οἱ δ' ἄλλοι, von Neons Abtheilung und dann alle Griechen.

§ 5. τὴν οὐράν u. τοῦ κέρατος, Exc. §. 28 u. 33. — ποιησάμενοι κατὰ τ. πρώτους, das Heer zog im Reihenmarsch zwischen den Gebliebenen weiter, bis die Queue an die Todten kam, und begrub dann die, welche längs der Linie lagen. — ποιήσασθαι, sich aufstellen lassen.

§. 6. τοὺς πρώτους bedeutet hier das erstemal gleichsam die ganze erste Abtheilung der Todten, κατὰ τοὺς πρώτους sc. φανέντας diejenigen, an die man beim Weiterrücken zuerst kam. — συνενεγκόντες — ἔθαψαν frei: 'begruben sie dieselben haufenweise', d. h. mehrere in ein Grab, während vorher, wie es scheint, immer nur einer ein Grab erhielt.

§. 7—11. Die Feinde erscheinen; die Griechen ordnen die Schlachtlinie mit einer Reserve.

§. 7. ἤδη δὲ — καὶ ἐξαίφν. s. I, 8, 1 z. καὶ ἤδη. Vergl. VI, 4, 26. — ὅ,τι — ὁρῴη, s. I, 1, 5 z. ὅστις — ἀφικν. — ἐντός, s. I, 10, 3 z. d. W. — φάλαγγος, Exc. §. 33. — τις nach ἐλάμβανον, weil hervorgehoben werden soll, dass jeder einzelne das ihm Nächste nimmt. — ὑπερβ. κατά, über die Hügel (κατά) herab. — ἐκ τ. ἐναντίου durch ein Adjectiv. — ἱππέας erklärende Apposition. — τὴν δύναμ. s. I, 1, 2 z. τῶν Ἑλλήν.

§. 8. ὅσον, s. I, 1, 10 z. εἰς. — σφαγιάζεται — καὶ ἐγένετο,

1. [illegible] 2. [illegible] 3. in der Mitte [illegible] 4. [illegible] 5. überschritten

του καλὰ τὰ σφάγια. ἔνθα δὴ Ξενοφῶν λέγει, Δοκεῖ μοι, ὦ 9
ἄνδρες στρατηγοί, ἐπιτάξασθαι τῇ φάλαγγι λόχους φύλακας, ἵν', ἄν που δέῃ, ὦσιν οἱ ἐπιβοηθήσοντες τῇ φάλαγγι καὶ οἱ πολέμιοι τεταραγμένοι ἐμπίπτωσιν εἰς τεταγμένους καὶ ἀκεραίους. συνεδόκει ταῦτα πᾶσιν. Ὑμεῖς μὲν τοίνυν, ἔφη, προηγεῖσθε τὴν πρὸς 10
τοὺς ἐναντίους, ὡς μὴ ἑστήκωμεν, ἐπεὶ ὤφθημεν καὶ εἴδομεν τοὺς πολεμίους· ἐγὼ δὲ ἥξω τοὺς τελευταίους λόχους καταχωρίσας ᾗπερ ὑμῖν δοκεῖ. ἐκ τούτου οἱ μὲν ἥσυχοι προῆγον, ὁ δὲ τρεῖς ἀφε- 11
λὼν τὰς τελευταίας τάξεις ἀνὰ διακοσίους ἄνδρας τὴν μὲν ἐπὶ τὸ δεξιὸν ἐπέτρεψεν ἐφέπεσθαι ἀπολιπόντας ὡς πλέθρον· Σαμόλας Ἀχαιὸς ταύτης ἦρχε τῆς τάξεως· τὴν δ' ἐπὶ τῷ μέσῳ ἐχώρισεν ἕπεσθαι. Πυρρίας Ἀρκὰς ταύτης ἦρχε· τὴν δὲ μίαν ἐπὶ τῷ εὐωνύμῳ· Φρασίας Ἀθηναῖος ταύτῃ ἐφειστήκει. προϊ- 12
όντες δέ, ἐπεὶ ἐγένοντο οἱ ἡγούμενοι ἐπὶ νάπει μεγάλῳ καὶ δυσπόρῳ, ἔστησαν ἀγνοοῦντες, εἰ διαβατέον εἴη τὸ νάπος. καὶ παρεγγυῶσι στρατηγοὺς καὶ λοχαγοὺς παριέναι ἐπὶ τὸ ἡγούμενον. καὶ ὁ Ξενοφῶν θαυμάσας, ὅ,τι τὸ ἴσχον εἴη τὴν πορείαν, 13
καὶ ταχὺ ἀκούων τὴν παρεγγύην ἐλαύνει ᾗ τάχιστα. ἐπεὶ δὲ συνῆλθον, λέγει Σοφαίνετος πρεσβύτατος ὢν τῶν στρατηγῶν, ὅτι βουλῆς οὐκ ἄξιον εἴη, εἰ διαβατέον ἐστὶ τοιοῦτον νάπος. καὶ ὁ Ξενοφῶν σπουδῇ ὑπολαβὼν ἔλεξεν, Ἀλλ' ἴστε μέν με, ὦ 14

Chiasmus. — ἐπὶ τοῦ πρώτου, oben §. 2 steht das Hauptwort dabei.

§. 9. ἐπιτάξασθαι, ἐπί im Rücken. — λόχους φύλακας, §. 10 τελευταίους genannt, s. Exc. §. 52 c. — οἱ ἐπιβοηθήσον., s. II, 3, 5 z. τολμήσ. — τεταραγμένοι scheint verderbt, denn in Verwirrung gebrachte Feinde fliehen wohl, rücken aber nicht gegen eine geordnete Reserve vor. — συνεδόκει s. I, 3, 20 z. ἔδοξε.

§. 10. τὴν πρὸς τ. ἐναντ., in Gedanken liegt ὁδόν. — ὤφθημεν καὶ εἴδομεν, nachdrückliche Fülle.

§. 11. ἥσυχοι, wir ein Adverb. — τάξεις, s. Exc. §. 12. — ἐπὶ τὸ δεξιόν = 'nach dem rechten Flügel hin'. — ἀπολιπόντας = ἀπέχοντας. Pluralis nicht allein wegen des collectiven τάξις, sondern auch in Beziehung auf διακοσίους. — In den 3 folgenden Gliedern beachte das Asyndeton, die Anaphora, den Wechsel des Ausdrucks beim dritten und die quantitative Minderung des äussern Umfangs.

§. 12—21. Xenophon ermuthigt mit seinem Humor die bedenklichen Griechen zum Vorrücken.

§ 12. οἱ ἡγούμενοι und τὸ ἡγούμενον. Exc. §. 28. — παρεγγυῶσι, Exc. §. 15. — τὸ νάπος, nachdrücklicher als das Pronomen, der Artikel hat noch demonstrative Kraft, fast = τοιοῦτον.

§. 13. θαυμάσας, er war noch bei der Reserve. — ταχὺ — τάχιστα durch Stellung betont. — βουλῆς ἄξιον frei: 'dass man sich nicht zu berathen brauche', sc. da es von selbst klar sei, dass ein Uebergang unthunlich; die weitere Ausführung dieser Unthunlichkei unterbricht und hindert Xenophon

1. adj. 2 Bedg. von früher Kraft. 2. aufstellen. 3. aufstellen 4. die Spitze des Zuges. 5. anführen. 6. ἴσχω hindern 7. Zuruf. 8. das Wort nehmen. 9. ja. 10. τάξις = 2 Lochen.

*ἄνδρες, οὐδένα πω κίνδυνον προξενήσαντα ὑμῖν ἐθελούσιον·
οὐ γὰρ δόξης ὁρῶ δεομένους ὑμᾶς εἰς ἀνδρειότητα, ἀλλὰ σωτη-*
15 *ρίας. νῦν δὲ οὕτως ἔχει· ἀμαχεὶ μὲν ἐνθένδε οὐκ ἔστιν ἀπελ-
θεῖν· ἢν γὰρ μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν,*
16 *ὁπόταν ἀπίωμεν, ἕψονται καὶ ἐπιπεσοῦνται. ὁρᾶτε δή, πότερον
κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας προβαλλομένους τὰ ὅπλα ἢ
μεταβαλλομένους ὄπισθεν ἡμῶν ἐπιόντας τοὺς πολεμίους θεᾶ-*
17 *σθαι. ἴστε μέντοι, ὅτι τὸ μὲν ἀπιέναι ἀπὸ πολεμίων οὐδενὶ
καλῷ ἔοικε, τὸ δὲ ἐφέπεσθαι καὶ τοῖς κακίοσι θάρρος ἐμποιεῖ.
ἐγὼ γοῦν ἥδιον ἂν σὺν ἡμίσεσιν ἐποίμην ἢ σὺν διπλασίοις
ἀποχωροίην. καὶ τούτους οἶδ᾽ ὅτι ἐπιόντων μὲν ἡμῶν οὐδ᾽
ὑμεῖς ἐλπίζετε αὐτοὺς δέξασθαι ἡμᾶς, ἀπιόντων δὲ πάντες ἐπι-*
18 *στάμεθα, ὅτι τολμήσουσιν ἐφέπεσθαι. τὸ δὲ διαβάντας ὄπισθεν
νάπος χαλεπὸν ποιήσασθαι μέλλοντας μάχεσθαι ἆρ᾽ οὐχὶ καὶ
ἁρπάσαι ἄξιον; τοῖς μὲν γὰρ πολεμίοις ἐγὼ βουλοίμην ἂν εὔπορα
πάντα φαίνεσθαι ὥστε ἀποχωρεῖν· ἡμᾶς δὲ καὶ ἀπὸ τοῦ χωρίου*
19 *δεῖ διδάσκεσθαι, ὅτι οὐκ ἔστι μὴ νικῶσι σωτηρία. θαυμάζω δ᾽
ἔγωγε καὶ τὸ νάπος τοῦτο εἴ τις μᾶλλον φοβερὸν νομίζει εἶναι
τῶν ἄλλων ὧν διαπεπορεύμεθα χωρίων. πῶς γὰρ διαβατὸν τὸ*

§. 14. **προξενεῖν τινί τι**, 'einem etwas empfehlen, befürworten'. — Der πρόξενος hatte in seiner Heimat für das Wohl der Bewohner des fremden Staats, dessen πρόξενος er war, zu sorgen; daher die Bedeutung des Verbums. — **ἐθελούσιον**, s. I, 2, 25 z. προτέρα. — **δόξης εἰς ἀνδρειότητα** (εἰς = in Betreff) = gloriae bellicae fortitudinis.

§. 16. **ἰέναι — θεᾶσθαι**, Chiasmus. — **τοὺς ἄνδρας**, s. III, 1, 23 z. d. W. — **προβαλλομ.**, Exc. §. 53, 2. — Das Gegentheil ist **μεταβαλλομένους**, die Schilde zum Schutze auf den Rücken werfen.

§. 17. **τὸ μὲν — τὸ δέ**, Anaphora. — **ἀπιέναι** und **ἐφέπεσθαι** durch einen Conditionalsatz. = **καλῷ** ist substantiviertes Neutrum = ehrenvolle That; frei: 'ist nicht ehrenvoll'. — **ἂν** gehört auch z. **ἀποχωροίην**. — **ἡμίσεσιν** u. **διπλασίοις**, im D. gebrauche abstracte Hauptw. — **τούτους οἶδ᾽**, Anticipation, s. I, 1, 5 z. βαρβάρ. — **ἐπιόντων — ἡμῶν** s. II, 6, 3 z. ἔξω ὄντος u. III, 2, 29. — **αὐτοὺς** nimmt τούτους wieder auf. — **δέξασθαι**, Exc. 53, 2.

§. 18. **ἆρ᾽ οὐχὶ — ἄξιον** = 'ist es nicht der Mühe werth' = 'müssen nicht?' — **μέλλοντας** appositiv z. dem beim Inf. ἁρπάσαι verschwiegenen Subj.: 'man' oder genauer 'ἡμᾶς'. — **καὶ** 'sogar'. — **ἁρπάσαι** = 'die Gelegenheit ergreifen' (mit Hast). Obj. z. ἁρπάσ. ist ὄπισθεν — ποιήσασθαι. — **διαβάντας**, eigentlich temporal z. ποιήσ. 'nachdem'; schärfer gefasst causal 'dadurch, dass'. — **τοῖς μὲν** des Gegensatzes wegen voran. — **ὥστε ἀποχωρεῖν** durch Hauptw. mit Präpos. — **μὴ νικῶσι** = 'den nicht Siegenden' d. h. für uns, 'wenn wir nicht', 'so lange wir nicht'. S. 1, 9, 13 z. μηδέν.

§. 19. **τὸ νάπος τοῦτο** durch Stellung betont, s. I, 9, 20 z. φίλους. — **μᾶλλον φοβερόν**, Umschreibung. — **ὧν διαπεπορ.**, Attract. des Relativs mit Versetzung

1. freiwillig. 2. plötzlich angreifen. 3. müssen wir nicht, da wir im begriffe st zu kämpfen, sogar d. Gelegenheit ergreifen dadurch, daß wir die schwerpassierbare Schlucht durchschreiten u. sie so hinter uns schaffen. 4. sich zurückziehen.

πεδίον, εἰ μὴ νικήσομεν τοὺς ἱππέας; πῶς δὲ ἃ διεληλύθαμεν
ὄρη, ἢν πελτασταὶ τοσοίδε ἐφέπωνται; ἢν δὲ δὴ καὶ σωθῶμεν 20
ἐπὶ θάλατταν, πόσον τι νάπος ὁ Πόντος; ἔνθα οὔτε πλοῖα ἔστι
τὰ ἀπάξοντα οὔτε σῖτος, ᾧ θρεψόμεθα μένοντες, δεήσει δέ, ἢν
θᾶττον ἐκεῖ γενώμεθα, θᾶττον πάλιν ἐξιέναι ἐπὶ τὰ ἐπιτήδεια.
οὐκοῦν νῦν κρεῖττον ἠριστηκότας μάχεσθαι ἢ αὔριον ἀναρί- 21
στους. ἄνδρες, τά τε ἱερὰ ἡμῖν καλὰ οἵ τε οἰωνοὶ αἴσιοι τά τε
σφάγια κάλλιστα· ἴωμεν ἐπὶ τοὺς ἄνδρας. οὐ δεῖ ἔτι τούτους,
ἐπεὶ ἡμᾶς πάντως εἶδον, ἡδέως δειπνῆσαι οὐδ᾽ ὅπου ἂν ἐθέλωσι
σκηνῆσαι.

Ἐντεῦθεν οἱ λοχαγοὶ ἡγεῖσθαι ἐκέλευον, καὶ οὐδεὶς 22
ἀντέλεγε. καὶ ὃς ἡγεῖτο, παραγγείλας διαβαίνειν ᾗ ἕκαστος
ἐτύγχανε τοῦ νάπους ὤν· θᾶττον γὰρ ἀθρόον ἐδόκει ἂν οὕτω
πέραν γενέσθαι τὸ στράτευμα ἢ εἰ κατὰ τὴν γέφυραν, ἣ ἐπὶ τῷ
νάπει ἦν, ἐξεμηρύοντο. ἐπεὶ δὲ διέβησαν, παριὼν παρὰ τὴν 23
φάλαγγα ἔλεγεν, Ἄνδρες, ἀναμιμνήσκεσθε ὅσας δὴ μάχας σὺν
τοῖς θεοῖς ὁμόσε ἰόντες νενικήκατε καὶ οἷα πάσχουσιν οἱ πολε-
μίους φεύγοντες, καὶ τοῦτο ἐννοήσατε, ὅτι ἐπὶ ταῖς θύραις
τῆς Ἑλλάδος ἐσμέν. ἀλλ᾽ ἕπεσθε ἡγεμόνι τῷ Ἡρακλεῖ καὶ ἀλ- 24
λήλους παρακαλεῖτε ὀνομαστί. ἡδύ τοι ἀνδρεῖόν τι καὶ καλὸν
νῦν εἰπόντα καὶ ποιήσαντα μνήμην ἐν οἷς ἐθέλει παρέχειν ἑαυ-

des Hauptworts in den Nebensatz. Zwischenstellung des Verbs. — πῶς — πῶς δέ, s. III, 1, 23 z. ἔχομεν. — πῶς δέ, was ist aus dem ersten Gliede hinzuzudenken? Doch ist solche Auslassung auch im D.

§. 20. σωθῶμεν prägnant = 'wohlbehalten gelangen'. — πόσον τι, τι 'wohl' verstärkt, s. I, 8, 8 z. d. W. — τὰ ἀπάξοντα u. ᾧ θρεψόμεθα stehen parallel. S. auch I, 9, 15 z. τῶν ἐθελόντ. — ἢν θᾶττον — θᾶττον = 'je — desto'; θᾶττον sc. als es nöthig ist, wenn wir vorrücken. Im D. kann man auch 'sobald' — 'alsbald' gebrauchen.

§. 21. Zum Schluss eine kräftige, der Aufgeregtheit des Sprechenden angemessene, deshalb asyndetisch angefügte Aufforderung (III, 1, 24), der 3 ἰσοκῶλα mit anaphorischer Wortstellung voraufgehen, wobei das Polysyndeton und das Auslassen der Copula von grosser Kraft ist. — ἱερὰ — σφάγια, s. I, 8, 15 z. d. W.

§. 22—32. Vorrücken und Sieg der Griechen.

§ 22. ἡγεῖσθαι, nämlich Xenophon. — καὶ ὅς, I, 8, 16 z. d. W. — τοῦ νάπους, Genit. partit. z. ᾗ. — θᾶττον κ. τ. λ., beachte die Wortstellung. — ἐξεμηρύοντο, Exc. § 36.

§. 23. ὅσας μάχας, s. I, 2, 10 z. τὰ Λύκ. ἔθυσ. u. II, 1, 5. z. μάχην. — ἐπὶ τ. θύραις, s. II, 4, 4 z. d. W., doch mit dem Unterschiede, dass es hier vom Lande gesagt ist. Siehe auch VI, 6, 12 εἰσὶ μὲν γὰρ ἤδη ἐγγὺς κ. τ. λ.

§. 24. ἕπεσθε — παρακαλ., Stellung? — ἡγεμόνι ist Prädicat, εἰπόντα Subj. z. παρέχειν. — ἐθέλει, Subj. ist das im Partic. liegende τις. — ἐν οἷς, das Demonstr. ἐν τούτοις fehlt, wie oft.

25 τοῦ. ταῦτα παρελαύνων ἔλεγε καὶ ἅμα ὑφηγεῖτο ἐπὶ φάλαγγος, καὶ τοὺς πελταστὰς ἑκατέρωθεν ποιησάμενοι ἐπορεύοντο ἐπὶ τοὺς πολεμίους. παρήγγελτο δὲ τὰ μὲν δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ἔχειν, ἕως σημαίνοι τῇ σάλπιγγι· ἔπειτα δὲ εἰς προβολὴν καθέντας ἕπεσθαι βάδην καὶ μηδένα δρόμῳ διώκειν. Ἐκ τούτου σύνθημα παρῄει Ζεὺς σωτήρ, Ἡρακλῆς ἡγεμών. οἱ δὲ πολέμιοι
26 ὑπέμενον, νομίζοντες καλὸν ἔχειν τὸ χωρίον. ἐπεὶ δ' ἐπλησίαζον, ἀλαλάξαντες οἱ Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους πρίν τινα κελεύειν· οἱ δὲ πολέμιοι ἀντίοι ὥρμησαν, οἵ θ' ἱππεῖς
27 καὶ τὸ στῖφος τῶν Βιθυνῶν· καὶ τρέπονται τοὺς πελταστάς. ἀλλ' ἐπεὶ ὑπηντίαζεν ἡ φάλαγξ τῶν ὁπλιτῶν ταχὺ πορευομένη καὶ ἅμα ἡ σάλπιγξ ἐφθέγξατο καὶ ἐπαιάνιζον καὶ μετὰ ταῦτα ἠλάλαζον καὶ ἅμα τὰ δόρατα καθίεσαν, ἐνταῦθα οὐκέτι ἐδέξαντο
28 οἱ πολέμιοι, ἀλλὰ ἔφευγον. καὶ Τιμασίων μὲν ἔχων τοὺς ἱππέας ἐφείπετο, καὶ ἀπεκτίννυσαν ὅσουσπερ ἐδύναντο ὡς ὀλίγοι ὄντες. τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον εὐθὺς διεσπάρη, καθ' ὃ οἱ Ἕλληνες ἱππεῖς ἦσαν, τὸ δὲ δεξιόν, ἅτε οὐ σφόδρα διωκόμενον,
29 ἐπὶ λόφου συνέστη. ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες ὑπομένοντας αὐτούς, ἐδόκει ῥᾷστόν τε καὶ ἀκινδυνότατον εἶναι ἰέναι ἤδη ἐπ' αὐτούς. παιανίσαντες οὖν εὐθὺς ἐπέκειντο· οἱ δ' οὐχ ὑπέμειναν. καὶ ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον μέχρι τὸ δεξιὸν αὖ διεσπάρη· ἀπέθανον δὲ ὀλίγοι· τὸ γὰρ ἱππικὸν φόβον παρεῖχε τὸ τῶν
30 πολεμίων πολὺ ὄν. ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες τό τε Φαρναβάζου ἱππικὸν ἔτι συνεστηκὸς καὶ τοὺς Βιθυνοὺς ἱππέας πρὸς τοῦτο συναθροιζομένους καὶ ἀπὸ λόφου τινὸς καταθεωμένους τὰ γι-

§. 25. Zur Sache s. Exc. §. 53. ἐπὶ τὸν δεξιόν prägnant, s. I, 1, 5. z. τῶν παρά. — καλόν, eigentlich prädicativ, fassen wir im D. als Attribut = 'vortheilhafte Stellung'.

§ 26. ἐπλησίαζον, im D. nimm das Subj. aus dem Hauptsatze. — Ἕλληνες ist Adjectiv. — οἵ θ' ἱππεῖς, erklärende und dadurch einschränkende Apposition.

§. 27. Beachte das Polysyndeton in der lebhaften Schilderung, Chiasmus; Wechsel des Numerus. — ἔφευγον u. ἐφείπετο, inchoativ. Impf., dessen Erfolg und Wirkung der folgende Aor. ἀπεκτίν. ausdrückt.

§. 28. ἀπεκτίννυσαν, das Subj. liegt im vorhergehenden Objecte. — ὡς, s. IV, 3, 31 z. d. W. — ὀλίγοι, nach VI, 2, 16 waren es 40 Mann. — τῶν δὲ πολ. — συνέστη, verschiedene Stellung der Nebensätze. — καθ' ὅ = 'an welchem hinab'; wir: 'welchem gegenüber'. — ἅτε, s. IV, 2, 13 z. d. W.

§. 29. ἰέναι ist eigentlich Subject. — ἤδη, am Ende = 'sofort'. — αὖ = 'ebenso, wie vorher' der linke Flügel. — ἀπέθανον chiastisch zu allen vorhergehenden Prädic. — παρεῖχε, nämlich: von ihr umzingelt zu werden. — τὸ τῶν πολεμ. erklärend.

γνόμενα, ἀπειρήκεσαν μέν, ὅμως δὲ ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον
εἶναι οὕτως ὅπως δύναιντο, ὡς μὴ τεθαρρηκότες ἀναπαύσαιντο.
συνταξάμενοι δὴ πορεύονται. ἐντεῦθεν οἱ πολέμιοι ἱππεῖς 31
φεύγουσι κατὰ τοῦ πρανοῦς ὁμοίως ὥσπερ ὑπὸ ἱππέων διωκόμενοι· νάπος γὰρ αὐτοὺς ὑπεδέχετο, ὃ οὐκ ᾔδεσαν οἱ Ἕλληνες,
ἀλλὰ προαπετράποντο διώκοντες· ὀψὲ γὰρ ἦν. ἐπανελθόντες δὲ 32
ἔνθα ἡ πρώτη συμβολὴ ἐγένετο, στησάμενοι τρόπαιον ἀπῇσαν ἐπὶ θάλατταν περὶ ἡλίου δυσμάς· στάδιοι δ' ἦσαν ὡς ἑξήκοντα ἐπὶ τὸ στρατόπεδον.

Ἐντεῦθεν οἱ μὲν πολέμιοι εἶχον ἀμφὶ τὰ ἑαυτῶν καὶ ἀπή- VI
γοντο καὶ τοὺς οἰκέτας καὶ τὰ χρήματα ὅποι ἐδύναντο προσωτάτω· οἱ δὲ Ἕλληνες προσέμενον μὲν Κλέανδρον καὶ τὰς τριήρεις καὶ τὰ πλοῖα ὡς ἥξοντα, ἐξιόντες δ' ἑκάστης ἡμέρας σὺν τοῖς ὑποζυγίοις καὶ τοῖς ἀνδραπόδοις ἐφέροντο ἀδεῶς πυροὺς καὶ κριθάς, οἶνον, ὄσπρια, μελίνας, σῦκα· ἅπαντα γὰρ ἀγαθὰ
εἶχεν ἡ χώρα πλὴν ἐλαίου. καὶ ὁπότε μὲν καταμένοι τὸ στρά- 2
τευμα ἀναπαυόμενον, ἐξῆν ἐπὶ λείαν ἰέναι, καὶ ἐλάμβανον οἱ ἐξιόντες· ὁπότε δὲ ἐξίοι πᾶν τὸ στράτευμα, εἴ τις χωρὶς ἀπελθὼν λάβοι τι, δημόσιον ἔδοξεν εἶναι. ἤδη δὲ ἦν πολλὴ πάντων
ἀφθονία· καὶ γὰρ ἀγοραὶ πάντοθεν ἀφικνοῦντο ἐκ τῶν Ἑλλη- 3
νίδων πόλεων καὶ οἱ παραπλέοντες ἄσμενοι κατῆγον, ἀκούοντες

§. 30. Vergleiche den Satzbau dieses §. mit dem des §. 29. — ἀπειρήκεσαν μέν, μέν = zwar: im D. wird es ein Nebensatz. — οὕτως ὅπως, 'so gut, wie'.

§. 31. νάπος γάρ begründet die schnelle Flucht, denn sie fürchteten in der Bergschlucht eingeholt zu werden. — ὅ = id vero, bezieht sich auf den ganzen Satz. Der Gedankenzusammenhang ist: 'sonst hätten sie dieselben bis dahin verfolgt'. — ἀλλὰ — διώκ., selbständiger Satz, wie III, 1, 4, während wir den Relativsatz fortsetzen. Im Lat. steht auch quod oft = id vero. — προαπετράποντο nach Analogie von παύεσθαι mit dem Partic. — πρό = 'vorher': 'standen vorher vom Verfolgen ab'.

§. 32. τρόπαιον, Exc. §. 54. — ἔνθα, s. I, 2, 1 z. πλὴν ὁπόσοι.

VI. Ankunft des Kleandros und drohendes Zerwürfniss mit ihm. Zug der Griechen nach Chrysopolis.

§. 1—4. Die Griechen in der Fülle von Lebensmitteln.

§. 1. ἀμφί τι ἔχειν s. V, 2, 26 z. d. W. — Κλέανδρ. nach VI, 4, 18. — ὡς ἥξοντα, I, 1, 2 z. ὡς. — πυροὺς καὶ κρ. Beachte zuerst das καί, dann das Asyndeton bei Aufzählungen. — ἅπαντα, s. I, 2, 22 z. πυρούς. — ἀγαθά s. III, 5, 1 z. d. W.

§. 2. ὁπότε μὲν — ὁπότε δέ, Anaphora. — καταμένοι ἀναπ. frei: 'Rasttag halten'. Optat. s. I, 5, 2 z. ἐπεί. — εἴ τις — τι mache zum Zwischensatze des Hauptsatzes δημόσ. — εἶναι. — οἱ ἐξιόντες, Artikel, weil die Ausziehenden die Beute behielten.

§. 3. ἀγοραί hier von dem, was auf dem Markte ist: Zufuhr. — ἀφικνοῦντο, s. IV, 8, 24 z. ἠλ-

1. perf. v. ἀπειρέω ich bin müde. 2. πρανής, ές abschüssig; hier = den Abhang hinunter. 3. sie ließen vorher vom Verfolgen ab. 4. Zusammenstoß. 5. mit [illegible] beschäftigt sein. 6. πρόσω weit. 7. ohne Gefahr. 8. Hülsenfrüchte. 9. dem ganzen Heere gehörig.

4 ὡς οἰκίζοιτο πόλις καὶ λιμὴν εἴη. ἔπεμπον δὲ καὶ οἱ πολέμιοι
ἤδη, οἳ πλησίον ᾤκουν, πρὸς Ξενοφῶντα, ἀκούοντες, ὅτι οὗτος
πολίζει τὸ χωρίον, ἐρωτῶντες, ὅ,τι δέοι ποιοῦντας φίλους εἶναι.
5 ὁ δ' ἀπεδείκνυεν αὐτοὺς τοῖς στρατιώταις. καὶ ἐν τούτῳ Κλέ-
ανδρος ἀφικνεῖται δύο τριήρεις ἔχων, πλοῖον δ' οὐδέν. ἐτύγ-
χανε δὲ τὸ στράτευμα ἔξω ὂν ὅτε ἀφίκετο, καὶ ἐπὶ λείαν τινὲς
οἰχόμενοι ἄλλοι ἄλλῃ εἰς τὸ ὄρος εἰλήφεσαν πρόβατα πολλά·
ὀκνοῦντες δέ, μὴ ἀφαιρεθεῖεν, τῷ Δεξίππῳ λέγουσιν, ὃς ἀπέδρα
τὴν πεντηκόντορον ἔχων ἐκ Τραπεζοῦντος, καὶ κελεύουσι δια-
σώσαντα αὐτοῖς τὰ πρόβατα τὰ μὲν αὐτὸν λαβεῖν, τὰ δὲ σφίσιν
6 ἀποδοῦναι. εὐθὺς δ' ἐκεῖνος ἀπελαύνει τοὺς περιεστῶτας τῶν
στρατιωτῶν καὶ λέγοντας, ὅτι δημόσια εἴη, καὶ τῷ Κλεάνδρῳ
λέγει ἐλθών, ὅτι ἁρπάζειν ἐπιχειροῦσιν. ὁ δὲ κελεύει τὸν ἁρ-
7 πάζοντα ἄγειν πρὸς αὐτόν. καὶ ὁ μὲν λαβὼν ἦγέ τινα· περιτυ-
χὼν δ' Ἀγασίας ἀφαιρεῖται· καὶ γὰρ ἦν αὐτῷ ὁ ἀγόμενος λοχίτης.
οἱ δ' ἄλλοι οἱ παρόντες τῶν στρατιωτῶν ἐπιχειροῦσι βάλλειν
τὸν Δέξιππον, ἀνακαλοῦντες τὸν προδότην. ἔδεισαν δὲ καὶ τῶν
τριηριτῶν πολλοὶ καὶ ἔφευγον εἰς τὴν θάλατταν, καὶ Κλέανδρος
8 δ' ἔφευγε. Ξενοφῶν δὲ καὶ οἱ ἄλλοι στρατηγοὶ κατεκώλυόν τε
καὶ τῷ Κλεάνδρῳ ἔλεγον, ὅτι οὐδὲν εἴη πρᾶγμα, ἀλλὰ τὸ δόγμα
9 αἴτιον εἴη τὸ τοῦ στρατεύματος ταῦτα γενέσθαι. ὁ δὲ Κλέανδρος

θον. — ἄσμενοι, s. I, 2, 25 z. προτέρα.

§. 4. ἔπεμπον, s. I, 1, 8, z. d. W. — πολίζει, im §. 3 stand der Optat. — ἐρωτῶντ., durch ein Hauptw. mit einer Präpos. — ὅ,τι δέοι κ. τ. λ., s. IV, 2, 3 z. διαβάντας. — ἀπεδείκνυεν = 'stellte vor'. Die Soldaten sollten sich überzeugen, dass eine Stadt hier in Ansehen stehen würde, und so für diese Idee gewonnen werden.

§. 5—12. Kleandros kömmt an, Dexippos verursacht Zwiespalt zwischen ihm und den Griechen.

§. 5. οὐδέν am Ende = 'aber ohne Schiff'. — ἐτύγχανε gehört auch in anderm Numerus zu οἰχόμενοι, — ἔξω ὄν, der D. sagt ähnlich: 'er ist aus oder auswärts'. — ὄρος, s. VI, 4, 5. — μὴ ἀφαιρ. s. I, 3, 17 z. μή u. I, 1, 5 z. ὡς. — Δεξίππῳ, der mit Kleandros zurückgekehrt. Zur Sache s. V, 1, 15. — τὰ μὲν, — τὰ δέ theilt das πρόβατα.

§. 6. τοὺς περιεστῶτ. τ. στρατ. frei: 'die herumstehenden Soldaten der Gegenpartei, welche'. — ἐλθών = eilte. — ἦγε s. I, 3, 1 z. ἐβιάζ.

§. 7. ἀφαιρεῖται, entreisst dem Dexippos den Soldaten. — ἦν αὐτῷ λοχίτης frei: 'war ein Mann von seinem λόχος'. — οἱ παρόντες τῶν στρατ., im D. mache στρατιωτῶν zum Hauptbegriff und παρόντ. zum Attrib. — ἀνακαλοῦντες, ἀνά wiederholt, übers. durch eine substantiv. Wendung. — τὸν προδότην, wir haben beim Factitiv (zweiten Accusativ) den unbestimmten Artikel, hier: = 'den allgemein bekannten Verräther'. Zur Sache s. V, 1, 15. — ἔδεισαν, s. I, 1, 9 z. ἠγάσθη.

§. 8. κατεκώλυον, nämlich die Soldaten. — οὐδὲν εἴη πρᾶγμα

1. anbauen. 2. was sie thun sollten, um Freunde zu sein. 3. fürchtend. 4. Fünfzigruderer. 5. med. 6. treffen.

ὑπὸ τοῦ Δεξίππου τε ἀνερεθιζόμενος καὶ αὐτὸς ἀχθεσθείς, ὅτι ἐφοβήθη, ἀποπλεύσεσθαι ἔφη καὶ κηρύξειν μηδεμίαν πόλιν δέχεσθαι αὐτούς, ὡς πολεμίους. ἦρχον δὲ τότε πάντων τῶν Ἑλλήνων οἱ Λακεδαιμόνιοι. ἐνταῦθα πονηρὸν τὸ πρᾶγμα ἐδόκει 10
εἶναι τοῖς Ἕλλησι, καὶ ἐδέοντο, μὴ ποιεῖν ταῦτα. ὁ δ' οὐκ ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα βάλλειν καὶ τὸν ἀφελόμενον. ἦν δὲ ὃν ἐξήτει Ἀγασίας, διὰ τέλους φίλος τῷ 11
Ξενοφῶντι· ἐξ οὗ καὶ διέβαλεν αὐτὸν ὁ Δέξιππος. καὶ ἐντεῦθεν, ἐπειδὴ ἀπορία ἦν, συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες· καὶ ἔνιοι μὲν αὐτῶν παρ' ὀλίγον ἐποιοῦντο τὸν Κλέανδρον, τῷ δὲ Ξενοφῶντι οὐκ ἐδόκει φαῦλον εἶναι ἀλλ' ἀναστὰς ἔλεξεν, Ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δὲ οὐ φαῦλον δοκεῖ εἶναι 12
τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν γνώμην Κλέανδρος ἄπεισιν, ὥσπερ λέγει. εἰσὶ μὲν γὰρ ἐγγὺς αἱ Ἑλληνίδες πόλεις· τῆς δὲ Ἑλλάδος Λακεδαιμόνιοι προεστήκασιν· ἱκανοὶ δέ εἰσι καὶ εἷς ἕκαστος Λακεδαιμονίων ἐν ταῖς πόλεσιν ὅ,τι βούλονται διαπράττεσθαι. εἰ οὖν οὗτος πρῶτον μὲν ἡμᾶς Βυζαντίου ἀπο- 13
κλείσει, ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσταῖς παραγγελεῖ εἰς τὰς πόλεις μὴ δέχεσθαι ὡς ἀπιστοῦντας Λακεδαιμονίοις καὶ ἀνόμους ὄντας, ἔτι δὲ πρὸς Ἀναξίβιον τὸν ναύαρχον οὗτος ὁ λόγος περὶ

(IV, I, 17 z. d. W.) = 'es habe nichts zu bedeuten'. — *ταῦτα γενέσθαι* hängt von *αἴτιον* ab. Im D. genügt das Formwort 'davon'. *τὸ τοῦ στρατεύμ.* von seinem Hauptwort getrennt. — *δόγμα*, das §. 2 erwähnte.

§. 9. *καὶ αὐτός* zur Hebung des Gegensatzes (aus freiem Antriebe) von *ὑπὸ τοῦ Δεξίππου.* — *ἔφη* = 'erklärt'. — *ἦρχον*, 'hatten den Principat'. — *δέ* fast = *γάρ*, der Satz ist eine Zwischenbemerkung des Xenophon.

§. 10. *πονηρὸν τὸ πρᾶγμα.* Wir: 'ein böses Ding, eine böse Geschichte'. — *οὐκ — ἄλλως*, sc. als er gesagt hatte. — *γενέσθαι*, wir setzen 'das' als Subj. hinzu.

§. 11. *ὃν ἐξήτει* frei: dessen Auslieferung'. — *διὰ τέλους* = 'von Anfang bis zu Ende' d. h. fortwährend. — *ἐξ οὗ* causal. — *διέβαλεν*, schon VI, 1, 32 lernten wir Dexippos als Verläumder kennen.

— *παρ' ὀλίγον* = 'neben ein Geringes stellen = gering achten, anschlagen'. — *ποιεῖσθαι*, s. I, 9, 7 z. d. W.

§. 12—19. Auf Xenophons Rath liefern die scheinbar Schuldigen sich selbst aus. — Das Recht ist auf Seiten der Griechen, aber sie fügen sich der Gewalt.

§. 12. *ἐμοὶ δέ, δέ* am Anfange wie *ἀλλά*, s. I, 6, 6 z. d. W., weil der Sprechende sich in einen Gegensatz zu dem vorher Sprechenden stellt. — *οὕτως — τὴν γνώμην* frei: 'in solcher Stimmung od. mit solcher Meinung', 'so gesinnt'. — *καὶ εἷς ἕκαστος*, partitive Apposition zu dem im Prädic. liegenden Subjecte, s. I, 7, 15 z. *ἑκάστη*. — *καὶ* = 'und zwar'. Aehnlich steht oft que. Caes. b. G. I, 33: fratres consanguineosque.

§. 13. *ἁρμοσταῖς*, s. V, 5, 19 z. d. W. — *μὴ δέχεσθαι*, warum kann *ἡμᾶς* fehlen? — *Ἀναξίβιον*,

1. zu weigern. 2. [illegible] 3. nicht gehorchen.

ἡμῶν ἥξει, χαλεπὸν ἔσται καὶ μένειν καὶ ἀποπλεῖν· καὶ γὰρ ἐν τῇ γῇ ἄρχουσι Λακεδαιμόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν χρό-
14 νον. οὔκουν δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς τοὺς ἄλλους τῆς Ἑλλάδος ἀπέχεσθαι, ἀλλὰ πειστέον ὅ,τι ἂν κελεύωσι·
15 καὶ γὰρ αἱ πόλεις ἡμῶν ὅθεν ἐσμὲν πείθονται αὐτοῖς. ἐγὼ μὲν οὖν, καὶ γὰρ ἀκούω Δέξιππον λέγειν πρὸς Κλέανδρον, ὡς οὐκ ἂν ἐποίησεν Ἀγασίας ταῦτα, εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα, ἐγὼ μὲν οὖν ἀπολύω καὶ ὑμᾶς τῆς αἰτίας καὶ Ἀγασίαν, ἂν αὐτὸς Ἀγασίας φήσῃ ἐμέ τι τούτων αἴτιον εἶναι, καὶ καταδικάζω ἐμαυτοῦ, εἰ ἐγὼ πετροβολίας ἢ ἄλλου τινὸς βιαίου ἐξάρχω, τῆς ἐσχάτης
16 δίκης ἄξιος εἶναι, καὶ ὑφέξω τὴν δίκην. φημὶ δὲ καὶ εἴ τινα ἄλλον αἰτιᾶται, χρῆναι ἑαυτὸν παρασχεῖν Κλεάνδρῳ κρῖναι· οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυμένοι τῆς αἰτίας εἴητε. ὡς δὲ νῦν ἔχει, χαλεπόν, εἰ, οἰόμενοι ἐν τῇ Ἑλλάδι καὶ ἐπαίνου καὶ τιμῆς τεύξεσθαι ἀντὶ δὲ τούτων οὐδ' ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ' εἰρξόμεθα ἐκ τῶν Ἑλληνίδων πόλεων.
17 Μετὰ ταῦτα ἀναστὰς εἶπεν Ἀγασίας, Ἐγώ, ὦ ἄνδρες, ὄμνυμι θεοὺς καὶ θεὰς ἦ μὴν μήτε με Ξενοφῶντα κελεῦσαι ἀφελέσθαι τὸν ἄνδρα μήτε ἄλλον ὑμῶν μηδένα. ἰδόντι δέ μοι ἄνδρα ἀγαθὸν ἀγόμενον τῶν ἐμῶν λοχιτῶν ὑπὸ Δεξίππου, ὃν ὑμεῖς ἐπίστασθε ὑμᾶς προδόντα, δεινὸν ἔδοξεν εἶναι· καὶ ἀφει-
18 λόμην, ὁμολογῶ. καὶ ὑμεῖς μὲν μὴ ἐκδῶτέ με. ἐγὼ δὲ ἐμαυτόν, ὥσπερ Ξενοφῶν λέγει, παρασχήσω κρίναντι Κλεάνδρῳ ὅ,τι ἂν

V, 1, 4. — **καὶ γὰρ — καί**, et — et. Welche Satzstellung? — **τὸν νῦν χρόνον**, Acc. der Zeit.

§. 14. **ἡμᾶς τ. ἄλλους** s. I, 5, 6 z. ἄλλοι. — **ἀπέχεσθαι**, 'fernhalten', 'ausschliessen lassen'; §. 16 steht εἴργεσθαι. — **ἡμῶν**, im Dat. als Possessiv. — **ὅθεν**, s. I, 2, 8 z. d. W.

§. 15. **ἀκούω**, s. I, 3, 20 z. d. W. — **λέγω πρός τινα**, weil der Angeredete gegenüber steht. — **εἰ μὴ — ἐκέλ.** s. II, 1, 4 z. εἰ ἤλθετε. — **ἐγὼ μὲν οὖν** nimmt den durch die Parenthese unterbrochenen Satz wieder auf (Epanalepsis). — **Ἀγασίας**, eine schöne Anastrophe. — **τι τούτων**, τι 'in irgend einer Beziehung, etwa, irgend wie'. — **βιαίου**, im D. ein Abstractum. — **τῆς ἐσχ. — εἶναι**, epexegetischer Inf.

§. 16. **φημὶ — χρῆναι**, im D. muss das aus εἴ τινα ἄλλον zu ergänzende Subj. z. χρῆναι „dass auch dieser" hinzugesetzt werden. — **κρῖναι** vertritt hier das lat. Gerundium. Vergl. II, 3, 22 z. παρέχοντες. — **ἀντὶ δὲ τούτων**: 'statt dessen nicht einmal'; δέ Gegensatz z. οἰόμενοι — τεύξεσθαι. οὐδ' im Bedingungssatze, s. I, 7, 18.

§. 17. **μήτε**, nach ὄμνυμι steht, obwohl Thatsachen beschworen werden, μή b. Infin. — **ἰδόντι δὲ κ. τ. λ.**: δέ = sondern, u. ἰδόντι nach I, 1, 6, z. ἐπιβουλ. 3. — **τῶν — λοχιτ.**, Gen. partit. — **ὁμολογῶ** steht als Asyndeton der Aufregung ausser der Construction. Wir sagen im Zwischensatze: 'das u. s. w.'

1. man muss gehorchen. 2. ich habe erfahren. 3. sich schuldig bekennen.
4. ich bin ... 5. εἴργω abhalten. fut. med. = pass. bedeutung.

βούληται ποιῆσαι· τούτου ἕνεκα μήτε πολεμεῖτε Λακεδαιμονίοις
σώζοισθέ τε ἀσφαλῶς ὅποι θέλει ἕκαστος. συμπέμψατε μέντοι
μοι ὑμῶν αὐτῶν ἑλόμενοι πρὸς Κλέανδρον οἵτινες, ἄν τι ἐγὼ
παραλείπω, καὶ λέξουσιν ὑπὲρ ἐμοῦ καὶ πράξουσιν. ἐκ τούτου 19
ἔδωκεν ἡ στρατιὰ οὕστινας βούλοιτο προελόμενον ἰέναι. ὁ δὲ
προείλετο τοὺς στρατηγούς. μετὰ ταῦτα ἐπορεύοντο πρὸς Κλέ-
ανδρον Ἀγασίας καὶ οἱ στρατηγοὶ καὶ ὁ ἀφαιρεθεὶς ἀνὴρ ὑπὸ
Ἀγασίου. καὶ ἔλεγον οἱ στρατηγοί, Ἔπεμψεν ἡμᾶς ἡ στρατιὰ 20
πρὸς σέ, ὦ Κλέανδρε, καὶ ἐκέλευσέ σε, εἴτε πάντας αἰτιᾷ, κρί-
ναντα σὲ αὐτὸν χρῆσθαι ὅ,τι ἂν βούλῃ, εἴτε ἕνα τινὰ ἢ δύο ἢ
καὶ πλείους αἰτιᾷ, τούτους ἀξιοῦσι παρασχεῖν σοι ἑαυτοὺς εἰς
κρίσιν. εἴτε οὖν ἡμῶν τινα αἰτιᾷ, πάρεσμέν σοι ἡμεῖς· εἴτε καὶ
ἄλλον τινά, φράσον· οὐδεὶς γὰρ ἀπέσται, ὅστις ἂν ἡμῖν ἐθέλῃ
πείθεσθαι. μετὰ ταῦτα παρελθὼν ὁ Ἀγασίας εἶπεν, Ἐγώ εἰμι, 21
ὦ Κλέανδρε, ὁ ἀφελόμενος Δεξίππου ἄγοντος τοῦτον τὸν ἄνδρα
καὶ παίειν κελεύσας Δέξιππον. τοῦτον μὲν γὰρ οἶδα ἄνδρα 22
ἀγαθὸν ὄντα, Δέξιππον δὲ οἶδα αἱρεθέντα ὑπὸ τῆς στρατιᾶς
ἄρχειν τῆς πεντηκοντόρου ἧς ᾐτησάμεθα παρὰ Τραπεζουντίων
ἐφ᾽ ᾧτε πλοῖα συλλέγειν, ὡς σωζοίμεθα, καὶ ἀποδράντα Δέξιπ-
πον καὶ προδόντα τοὺς στρατιώτας, μεθ᾽ ὧν ἐσώθη. καὶ τούς 23
τε Τραπεζουντίους ἀπεστερήκαμεν τὴν πεντηκόντορον καὶ κακοὶ
δοκοῦμεν εἶναι διὰ τοῦτον, αὐτοί τε τὸ ἐπὶ τούτῳ ἀπολώλαμεν.

§. 18. *κρίναντι*, welcher Unterschied vom §. 16? Im D. ist es dem *ποιῆσαι* zu coordinieren. — *μήτε — τε*, s. II, 2, 8 z. d. W. — *σώζοισθε*, Wechsel des Modus. — *ὑμῶν αὐτῶν* Gen. partit. z. dem verschwiegenen Objecte, auf das sich auch *οἵτινες* bezieht.

§. 19. *ἔδωκεν* = 'gestatten'. — *ὑπὸ Ἀγασίου*, Stellung wie IV, 2, 18 z. *ἀντίπορον*.

§. 20—28. Eröffnungen der Ausgelieferten beim Kleandros.

§. 20. *ἔπεμψεν*, s. I, 9, 15 z. d. W. — *σὲ — σὲ αὐτόν*, nachdrückliche Wiederholung des Pronomens. — *χρῆσθαι, ὅ,τι* s. I, 1, 10 z. *τὰ Λύκαια ἔθυσε* u. I, 3, 3 z. *τά τε ἄλλα*. — *εἴτε — εἴτε*, Anaphora wie lat. si — sive. — *ἀξιοῦσι* nach *στρατιά*.

§. 21. *ἄγοντος* bleibt unübersetzt. — *τοῦτον τὸν ἄνδρα* gehört zu beiden Verben. — *Δέξιππον*. Epanalepsis, mit welcher im folgenden §. die Stellung zwischen *ἀποδράντα — καὶ προδόντα* verbunden ist und die durch das zweimalige *οἶδα* noch mehr Nachdruck erhält. S. auch I, 4, 12 z. *Κῦρον*.

§. 22. *τοῦτον* sc. Dexippus. — *αἱρεθέντα* wird ein Relativsatz. — *ἄρχειν*, Inf. des Zwecks, s. I, 2, 19 z. *διαρπάσαι*. — *ἧς*, Attraction. — *ἐφ᾽ ᾧτε*, s. IV, 2, 19 z. d. W. — *καὶ — καί*, nicht nur — sondern auch; dieses ist der eigentliche von *οἶδα* abhängende Hauptgedanke.

§. 23. *καὶ τούς τε — καὶ — αὐτοί τε*: *καί* verbindet diesen Satz mit dem vorhergehenden, *τε — καί* sind die beiden Glieder, *αὐτοί τε* wird zum Ganzen gefügt.

1. neque – et. 2. auslassen. 3. ὤν f. billig machen.

ἤκουε γάρ, ὥσπερ ἡμεῖς, ὡς ἄπορον εἴη πεζῇ ἀπιόντας τοὺς
24 ποτάμους τε διαβῆναι καὶ σωθῆναι εἰς τὴν Ἑλλάδα. τοῦτον
οὖν τοιοῦτον ὄντα ἀφειλόμην. εἰ δὲ σὺ ἦγες ἢ ἄλλος τις τῶν
παρὰ σοῦ, καὶ μὴ τῶν παρ' ἡμῶν ἀποδράντων, εὖ ἴσθι ὅτι
οὐδὲν ἂν τούτων ἐποίησα. νόμιζε δ', ἐὰν ἐμὲ νῦν ἀποκτείνῃς,
δι' ἄνδρα δειλόν τε καὶ πονηρὸν ἄνδρα ἀγαθὸν ἀποκτείνων.
25 Ἀκούσας ταῦτα ὁ Κλέανδρος εἶπεν, ὅτι Δέξιππον μὲν
οὐκ ἐπαινοίη, εἰ ταῦτα πεποιηκὼς εἴη· οὐ μέντοι ἔφη νομίζειν
οὐδ' εἰ παμπόνηρος ἦν Δέξιππος βίαν χρῆναι πάσχειν αὐτόν,
ἀλλὰ κριθέντα, ὥσπερ καὶ ὑμεῖς νῦν ἀξιοῦτε, τῆς δίκης τυχεῖν.
26 νῦν οὖν ἄπιτε καταλιπόντες τόνδε τὸν ἄνδρα· ὅταν δ' ἐγὼ κε-
λεύσω, πάρεστε πρὸς τὴν κρίσιν. αἰτιῶμαι δὲ οὔτε τὴν στρα-
τιὰν οὔτε ἄλλον οὐδένα ἔτι, ἐπεὶ οὗτος αὐτὸς ὁμολογεῖ ἀφελέ-
27 σθαι τὸν ἄνδρα. ὁ δὲ ἀφαιρεθεὶς εἶπεν, Ἐγώ, ὦ Κλέανδρε,
εἰ καὶ οἴει με ἀδικοῦντά τι ἄγεσθαι, οὔτε ἔπαιον οὐδένα οὔτε
ἔβαλλον, ἀλλ' εἶπον, ὅτι δημόσια εἴη τὰ πρόβατα· ἦν γὰρ τῶν
στρατιωτῶν δόγμα, εἴ τις, ὁπότε ἡ στρατιὰ ἐξίοι, ἰδίᾳ λῄζοιτο,
28 δημόσια εἶναι τὰ ληφθέντα. ταῦτα εἶπον· ἐκ τούτου με λαβὼν
οὗτος ἦγεν, ἵνα μὴ φθέγγοιτο μηδείς, ἀλλ' αὐτὸς λαβὼν τὸ
μέρος διασώσειε τοῖς λῃσταῖς παρὰ τὴν ῥήτραν τὰ χρήματα.

— τὸ ἐπὶ τούτῳ = so viel an ihm lag. — ἀπολώλαμεν, Perf. Ind. vom sichern Eintreten: im D. steht der Conj. — ὥσπερ ἡμεῖς, die Griechen erfuhren es erst V, 6, 9, als Dexippos längst fort war. — πεζῇ ἀπιόντας frei: auf einem Abmarsche zu Lande.

§. 24. ἀφειλόμην sc. τὸν ἄνδρα. — ἦγες, im D. ein andrer tempus und modus, s. II, 1, 4 zu εἰ ἤλθετε. — τῶν παρὰ σοῦ, s. I, 1, 5 z. παρὰ βασιλ. — τὶς gehört auch zu καὶ μὴ τῶν. — νόμιζε nach Analogie von ἴσθι mit dem Particip. — δι' ἄνδρα — ἄνδρα, die Wiederholung hebt den Gegensatz.

§. 25. ἀκούσας ταῦτα, s. I, 3, 13 z. ταῦτα εἰπών. — Δέξιππος setzen wir als Subject z. χρῆναι u. lassen αὐτόν unübersetzt. — χρῆναι, im D. der Conjunct., denn den griech. Ind. bei χρῆν u. lat. longum est übersetzen wir meist durch den Conj. — τῆς δίκης τυχεῖν gehört auch zu ἀξιοῦτε. — τῆς δίκης, s. I, 3, 20 z. d. W.

§. 26. τόνδε τ. ἄνδρα, den Agasias.

§. 27. ἐγώ mit Nachdruck voran. Im D. ist diese Stellung ohne Umschreibung nicht möglich. — με ἀδικοῦντά τι frei: 'wegen eines Unrechts'. — ἄγεσθαι, Inf. Imperf. Der Nachsatz zum Conditionalsatz fehlt, wir fügen 'so wisse' hinzu und verwandeln den folgenden Hauptsatz in einen Nebensatz. — τῶν στρατ. δόγμα, s. I, 1, 1 z. τελευτ. τ. βίον. — ὁπότε — ἐξίοι, s. I, 3, 4 z. ἐπειδή u. I, 5, 2 z. ἐπεί τις διώκ. — δημόσια, Acc. c. Inf. z. δόγμα, s. oben §. 2.

§. 28. φθέγγοιτο, aus Furcht vor gleichem Schicksal. — ἦγεν, Impf. des conatus. — τὸ μέρος, s. I, 1, 3 z. ἐπὶ τὴν ἀρχ. — ῥήτραν i. q. δόγμα. In Sparta hiessen die Gesetze ῥῆτραι. — τοιοῦτος, was

1. wenn du ihn abgeführt hättest. 2. entflohen. 3. Verabredung, beschlußt.

πρὸς ταῦτα ὁ Κλέανδρος εἶπεν, Ἐπεὶ τοίνυν τοιοῦτος εἶ, κατά-
μενε, ἵνα καὶ περὶ σοῦ βουλευσώμεθα.
Ἐκ τούτου οἱ μὲν ἀμφὶ Κλέανδρον ἠρίστων· τὴν δὲ στρα- 29
τιὰν συνήγαγε Ξενοφῶν καὶ συνεβούλευε πέμψαι ἄνδρας πρὸς
Κλέανδρον παραιτησομένους περὶ τῶν ἀνδρῶν. ἐκ τούτου ἔδο- 30
ξεν αὐτοῖς πέμψαντας στρατηγοὺς καὶ λοχαγοὺς καὶ Δρακόν-
τιον τὸν Σπαρτιάτην καὶ τῶν ἄλλων οἳ ἐδόκουν ἐπιτήδειοι
εἶναι δεῖσθαι Κλεάνδρου κατὰ πάντα τρόπον ἀφεῖναι τὼ ἄνδρε.
ἐλθὼν οὖν ὁ Ξενοφῶν λέγει, Ἔχεις μέν, ὦ Κλέανδρε, τοὺς 31
ἄνδρας, καὶ ἡ στρατιά σοι ὑφεῖτο, ὅ,τι ἐβούλου ποιῆσαι καὶ
περὶ τούτων καὶ περὶ ἑαυτῶν ἁπάντων· νῦν δέ σε αἰτοῦνται
καὶ δέονται δοῦναί σφίσι τὼ ἄνδρε καὶ μὴ κατακαίνειν· πολλὰ
γὰρ ἐν τῷ ἔμπροσθεν χρόνῳ περὶ τὴν στρατιὰν ἐμοχθησάτην.
ταῦτα δέ σου τυχόντες ὑπισχνοῦνταί σοι ἀντὶ τούτων, ἢν βούλῃ 32
ἡγεῖσθαι αὐτῶν καὶ ἢν οἱ θεοὶ ἵλεῳ ὦσιν, ἐπιδείξειν σοι καὶ
ὡς κόσμιοί εἰσι καὶ ὡς ἱκανοὶ τῷ ἄρχοντι πειθόμενοι τοὺς πο-
λεμίους σὺν τοῖς θεοῖς μὴ φοβεῖσθαι. δέονται δέ σου καὶ 33
τοῦτο, παραγενόμενον καὶ ἄρξαντα ἑαυτῶν πεῖραν λαβεῖν καὶ
Δεξίππου καὶ σφῶν τῶν ἄλλων οἷος ἕκαστός ἐστι, καὶ τὴν ἀξίαν
ἑκάστοις νεῖμαι. ἀκούσας ταῦτα ὁ Κλέανδρος, Ἀλλὰ ναὶ τὼ 34

für einer, lehrt der Zusammenhang; frei: 'so keck bist'.

§. 29—34. Abgesandte der Griechen bitten für die Ausgelieferten und tragen dem Kleandros den Oberbefehl an.

§. 29. οἱ ἀμφὶ Κλέανδρ., s. II, 4, 2 z. οἱ περί. — συνεβούλευε, σύν die Berathung mit andern. Impf. s. II, 3, 21 z. ἔλεγον. — παραιτησομένους, deprecaturos.

§. 30. αὐτοῖς warum nach στρατιά? — πέμψαντας nach αὐτοῖς. — τῶν ἄλλων, Gen. partit. — Δρακόντιον, s. IV, 8, 25. — κατὰ πάντα τρόπον umschreibt unser 'dringend'. Wie hiess das IV, 5, 16?

§. 31. τοὺς ἄνδρας, nämlich: die du verlangtest; s. §. 11. — ὑφεῖτο = 'überlassen', ὑπό weil man sich dem Willen eines andern unterwirft. — ἐβούλου, Impf. in Beziehung auf die Zeit vor der Ankunft dieser Gesandtschaft; opp. νῦν δέ. — σέ gehört nach I, 4, 8 z. τούτων στερήσ. auch z. δέονται. — αἰτοῦνται καὶ δέονται, auch synonyme Verben bilden ein Hendiadyoin, indem das eine die Art und Weise des andern ausdrückt und adverbiell übersetzt wird. Aehnlich das lat.: petunt atque orant. Vergl. unser: 'dringend bitten'.

§. 32. σοῦ = von dir. — ἡγεῖσθαι αὐτῶν, vgl. I, 4, 2 z. ἡγεῖτο.

§. 33. παραγενόμενον obwohl σοῦ vorhergeht. — ἄρξαντα, s. I, 1, 9 z. ἠγάσθη. — Δεξίπ., Anticipation, s. I, 1, 5 z. βαρβάρ. — σφῶν τῶν ἄλλ. s. I, 5, 16 z. ἄλλοι. — οἷος ἕκαστός ἐστι, erklärender Zusatz zu den Genitiven. — τὴν ἀξίαν sc. τιμήν.

§. 34. ἀλλά. Kl. hat den Antrag nicht erwartet. — ναὶ τὼ σιώ, σιώ lakonisch für θεώ. Kastor u. Pollux sind gemeint, bei ihnen

1. zu Rat geben. 2. Fürbitte einlegen. 3. sich bemühen. 4. [illegible] = ordentlich. 5 einen Versuch mit j. machen

σιώ, ἔφη, ταχύ τοι ὑμῖν ἀποκρινοῦμαι. καὶ τώ τε ἄνδρε ὑμῖν δίδωμι καὶ αὐτὸς παρέσομαι· καὶ ἢν οἱ θεοὶ παραδιδῶσιν, ἐξηγήσομαι εἰς τὴν Ἑλλάδα. καὶ πολὺ οἱ λόγοι οὗτοι ἀντίοι εἰσὶν ἢ οὓς ἐγὼ περὶ ὑμῶν ἐνίων ἤκουον, ὡς τὸ στράτευμα ἀφίστατε ἀπὸ Λακεδαιμονίων.

35 Ἐκ τούτου οἱ μὲν ἐπαινοῦντες ἀπῆλθον, ἔχοντες τὼ ἄνδρε· Κλέανδρος δὲ ἐθύετο ἐπὶ τῇ πορείᾳ καὶ συνῆν Ξενοφῶντι φιλικῶς καὶ ξενίαν συνεβάλλοντο. ἐπεὶ δὲ καὶ ἑώρα αὐτοὺς τὸ παραγγελλόμενον εὐτάκτως ποιοῦντας, καὶ μᾶλλον ἔτι ἐπεθύμει
36 ἡγεμὼν γενέσθαι αὐτῶν. ἐπεὶ μέντοι θυομένῳ αὐτῷ ἐπὶ τρεῖς ἡμέρας οὐκ ἐγίγνετο τα ἱερά, συγκαλέσας τοὺς στρατηγοὺς εἶπεν, Ἐμοὶ μὲν οὐ τελέθει τὰ ἱερὰ ἐξάγειν· ὑμεῖς μέντοι μὴ ἀθυμεῖτε τούτου ἕνεκα· ὑμῖν γάρ, ὡς ἔοικε, δέδοται ἐκκομίσαι τοὺς ἄνδρας· ἀλλὰ πορεύεσθε. ἡμεῖς δὲ ὑμᾶς, ἐπειδὰν ἐκεῖσε ἥκητε, δεξόμεθα ὡς ἂν δυνώμεθα κάλλιστα.

37 Ἐκ τούτου ἔδοξε τοῖς στρατιώταις δοῦναι αὐτῷ τὰ δημόσια πρόβατα· ὁ δὲ δεξάμενος πάλιν αὐτοῖς ἀπέδωκε. καὶ οὗτος μὲν ἀπέπλει. οἱ δὲ στρατιῶται διαθέμενοι τὸν σῖτον, ὃν ἦσαν συγκεκομισμένοι, καὶ τἆλλα, ἃ εἰλήφεσαν, ἐξεπορεύοντο διὰ τῶν Βιθυνῶν. ἐπεὶ δὲ οὐδενὶ ἐνέτυχον πορευόμενοι τὴν ὀρθὴν ὁδόν, ὥστε ἔχοντές τι εἰς τὴν φιλίαν ἐλθεῖν, ἔδοξεν αὐτοῖς τοὔμπαλιν ὑποστρέψαντας ἐλθεῖν μίαν ἡμέραν καὶ νύκτα. τοῦτο

pflegten die Lakedaimonier zu schwören. — ταχύ τοι = ‘schnell in der That’ d. h. sogleich. In dieser Antwort ist auch das Polysyndeton nachdrucksvoll. — παραδιδῶσι durch günstige Opfer. — ἐξηγήσομαι warum ohne Object? warum ἐκ? — πολύ von ἀντίοι getrennt. — ἐνίων ist entweder Appos. z. ὑμῶν oder Obj. z. ἤκουον nach ἀκούειν τινός. — ὡς κ. τ. λ., Epexegese, was ist im D. hinzuzusetzen? Vgl. I, 1, 7 z. ἀποστῆναι. — ἀφίστατε, Imperf. conat.

§. 35—36. Kleandros lehnt den Oberbefehl ab.

§. 35. ἐπαινοῦντες nach I, 1, 6 z. ἐπιβουλ. 1. — συνεβάλλοντο, wir setzen ‘beide’ hinzu.

§. 36. τελέθει i. q. γίγνεται. — ἐξάγειν, s. II, 2, 3 z. ἰέναι. — δέδοται, es steht auch wohl ἀπὸ τῶν θεῶν dabei, vergl. § 34 παραδιδῶσι. — τοὺς ἄνδρας, eure Leute. — ἀλλά vor Imperat.: ‘drum’. — ἡμεῖς δὲ ὑμᾶς, gegensätzliche Zusammenstellung. — ἐκεῖσε: εἰς Βυζάντιον, obwohl Kleandr. selbst allgemein sagte εἰς τὴν Ἑλλάδα.

§. 37—38. Abfahrt des Kleandros: Zug der Griechen nach Chrysopolis.

§. 37. δεξάμενος mit ‘aber’ dem Prädic. zu coordinieren. — καὶ οὗτος, wir sagen ‘darauf’. — διὰ τ. Βιθυνῶν, Volk statt Land.

§. 38. οὐδενί, Neutr., frei: ‘auf keine Beute.’ — ὥστε mit dem Inf. hängt hiervon ab. Aehnlich steht der einfache Inf. nach οἷος. — ἐλθεῖν frei: ‘einen Streifzug machen’.

1 Diese Reden sind ganz entgegengesetzt denen, die ich betreffs einiger v. euch gehört habe, daß ihr nämlich etc. 2. Gastfreundschaft schließen. 3. ω = γίγνομαι. 4. führen. 5. med. verkaufen. 6. umkehren.

δὲ ποιήσαντες ἔλαβον πολλὰ καὶ ἀνδράποδα καὶ πρόβατα· καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν τῆς Καλχηδονίας, καὶ ἐκεῖ ἔμειναν ἡμέρας ἑπτὰ λαφυροπωλοῦντες.

[Z.]

[Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ I.
Ἕλληνες μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐν τῇ πορείᾳ μέχρι εἰς τὸν Πόντον ἀφίκοντο, καὶ ὅσα ἐκ τοῦ Πόντου πεζῇ ἐξιόντες καὶ ἐκπλέοντες ἐποίουν μέχρι ἔξω τοῦ στόματος ἐγένοντο ἐν Χρυσοπόλει τῆς Ἀσίας, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.] ἐκ τούτου δὲ Φαρνάβαζος φοβούμενος τὸ στράτευμα 2
μὴ ἐπὶ τὴν αὑτοῦ χώραν στρατεύηται, πέμψας πρὸς Ἀναξίβιον τὸν ναύαρχον, ὁ δ᾽ ἔτυχεν ἐν Βυζαντίῳ ὤν, ἐδεῖτο διαβιβάσαι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνεῖτο πάντα ποιήσειν αὐτῷ, ὅσα δέοι. καὶ ὁ Ἀναξίβιος μετεπέμψατο τοὺς στρατηγοὺς 3
καὶ λοχαγοὺς [τῶν στρατιωτῶν] εἰς Βυζάντιον, καὶ ὑπισχνεῖτο, εἰ διαβαῖεν, μισθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις. οἱ μὲν δὴ 4
ἄλλοι ἔφασαν βουλευσάμενοι ἀπαγγελεῖν, Ξενοφῶν δὲ εἶπεν αὐτῷ, ὅτι ἀπαλλάξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς καὶ βούλοιτο ἀποπλεῖν. ὁ δὲ Ἀναξίβιος ἐκέλευσεν αὐτὸν συνδιαβάντα ἔπειτα οὕτως ἀπαλλάττεσθαι. ἔφη οὖν ταῦτα ποιήσειν.

ἑκταῖοι, s. I, 2, 25 z. προτέρα. — Χρυσόπολιν, s. VI, 3, 16. — Καλχηδονίας, s. II, 2, 6 z. τῆς Ἰωνίας. — Das Land hat von seiner Hauptstadt den Namen.

I. Die Griechen in Byzantion.

§. 1—6. Uebergang nach Byzantion.

§. 1. ἔπραξαν gehört auch zum zweiten Satze. — ἐπεὶ — ἐτελεύτησεν, s. I, 3, 4 z. ἐπειδή. — πεζῇ ἐξιόντες durch ein Hauptwort. — ἔξω ist gesetzt in Rücksicht auf die Gegend, aus der sie kamen. — τοῦ στόματος, der Bosporus. — τῆς Ἀσίας, s. II, 2, 6 z. τῆς Ἰωνίας.

§. 2. τὸ στράτευμα, Anticipation. s. I, 1, 5 z. βαρβάρ. — στρατεύηται, Conjunct. nach dem Partic. Imperf. — Exc. §. 22. — ἔτυχεν ὤν s. I, 1, 2 z. ἐτύγχ. — ἐδεῖτο, das Object kann auch im D. fehlen. — διαβιβάσαι, warum διά neben ἐκ τ. Ἀσ.? — ποιήσειν ohne Subjetsaccus., s. I, 3, 1 z. ἰέναι. — δέοι ohne folgenden Acc. c. Inf. ist in solchen Verbindungen auch deutscher Gebrauch.

§. 3. μετεπέμψατο, s. I, 1, 3 z. συλλαμβ. — τοὺς στρατηγ. καὶ τ. λοχ. s. I, 7, 2 z. d. W.

§. 4. βουλευσάμεοι nach I, 1, 6 z. ἐπιβουλ. 1. — ἐκέλευσεν, 'ermuntern, auffordern'. — ἔπειτα οὕτως, ἔπειτα bezeichnet die unmittelbare Folge, οὕτως die Lage: 'und dann so' als einen mit hinübergegangenen. Das modale οὕτως fixirt den durch d. Partic. eingetretenen Zustand. — ἔφη, Xenophon.

5 Σεύθης δὲ ὁ Θρᾷξ πέμπει Μηδοσάδην καὶ κελεύει Ξενο-
φῶντα συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευμα, καὶ ἔφη
6 αὐτῷ ταῦτα συμπροθυμηθέντι ὅτι οὐ μεταμελήσει. ὁ δ' εἶπεν,
Ἀλλὰ τὸ μὲν στράτευμα διαβήσεται· τούτου ἕνεκα μηδὲν τελεί-
τω μήτε ἐμοὶ μήτε ἄλλῳ μηδενί· ἐπειδὰν δὲ διαβῇ, ἐγὼ μὲν
ἀπαλλάξομαι, πρὸς δὲ τοὺς διαμένοντας καὶ ἐπικαιρίους ὄντας
προσφερέσθω ὡς ἂν αὐτῷ δοκῇ [ἀσφαλές].
7 [Anfang October. Ἐκ τούτου διαβαίνουσι πάντες εἰς τὸ Βυζάντιον
οἱ στρατιῶται. καὶ μισθὸν μὲν οὐκ ἐδίδου ὁ Ἀναξίβιος, ἐκήρυξε
δὲ λαβόντας τὰ ὅπλα καὶ τὰ σκεύη τοὺς στρατιώτας ἐξιέναι, ὡς
ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων. ἐνταῦθα οἱ στρατιῶται
ἤχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον ἐπισιτίζεσθαι εἰς τὴν πορείαν,
8 καὶ ὀκνηρῶς συνεσκευάζοντο. καὶ ὁ Ξενοφῶν Κλεάνδρῳ τῷ
ἁρμοστῇ ξένος γεγενημένος προσελθὼν ἠσπάζετο αὐτὸν ὡς ἀπο-
πλευσόμενος ἤδη. ὁ δὲ αὐτῷ λέγει, Μὴ ποιήσῃς ταῦτα· εἰ δὲ
μή, ἔφη, αἰτίαν ἕξεις, ἐπεὶ καὶ νῦν τινὲς ἤδη σὲ αἰτιῶνται, ὅτι
9 οὐ ταχὺ ἐξέρπει τὸ στράτευμα. ὁ δ' εἶπεν, Ἀλλ' αἴτιος μὲν
ἔγωγε οὐκ εἰμὶ τούτου, οἱ δὲ στρατιῶται αὐτοὶ ἐπισιτισμοῦ
10 δεόμενοι διὰ τοῦτο ἀθυμοῦσι πρὸς τὴν ἔξοδον. Ἀλλ' ὅμως, ἔφη,
ἐγώ σοι συμβουλεύω ἐξελθεῖν μὲν ὡς πορευσόμενον, ἐπειδὰν
δ' ἔξω γένηται τὸ στράτευμα, τότε ἀπαλλάττεσθαι. Ταῦτα τοί-
νυν, ἔφη ὁ Ξενοφῶν, ἐλθόντες πρὸς Ἀναξίβιον διαπραξόμεθα.

§. 5. **Σεύθης**, von ihm lesen wir im Folgenden mehr. — **κελεύει** u. **ἔφη**, s. §. 3 z. μετεπέμψ. — **αὐτῷ ταῦτα**, Stellung; ὅτι nach φάναι selten; Stellung wie VI, 3, 11.

§. 6. **ἀλλά** am Anfange s. I, 7, 6 z. d. W. — **μηδέν**, s. I, 2, 26 z. οὐδενί. — **ἐπειδὰν δὲ διαβῇ**, s. I, 3, 4 z. ἐπειδή. — **ἐπικαιρίους ὄντας**, 'sich am meisten eignen' sc. für seine Pläne. — **προσφέρεσθαι πρός τινα**, 'sich mit oder gegen jemanden benehmen'.

§. 7—17. Die von Anaxibios getäuschten Söldner dringen gewaltsam in die Stadt zurück.

§. 7. **πάντες** durch Zwischenstellung getrennt. — **μισθὸν μὲν** — **ἐκήρυξε δέ**, warum der Gegensatz so ausgedrückt? — **λαβόντας**, s. I, 1, 3 z. d. W. — **ὡς** s. I, 1, 3 z. d. W. — **ἐπισιτίζεσθαι**, Inf. d. Absicht. — **συνεσκευάζ.** Exc. §. 25.

§. 8. **ξένος**, zur Sache VI, 6, 35. — **ἠσπάζετο** wird vom Gruss beim Kommen u. Gehen gebraucht. — **ἤδη** = 'sogleich'. — **εἰ δὲ μή**, s. IV, 3, 6 z. d. W. — **νῦν ἤδη** getrennt: wir: 'gerade jetzt'. — **ἐξέρπει** gebrauchen die Dorier = ἐξέρχεται.

§. 9. **αἴτιος μέν**, **μέν** s. I, 7, 6 z. d. W. — **οἱ δὲ στρατ.**, wir erwarten αἴτιοι als Prädicat, aber Xen. setzt sofort den Grund als gegensätzliches Prädicat. — **διὰ τοῦτο**, s. I, 7, 3 z. d. W.

§. 10. **ὅμως** wegen des verschwiegenen Concessivsatzes. — **ἐγώ σοι**, s. IV, 6, 16 z. κἀγὼ ὑμᾶς. — **πορευσόμενον** nach vorhergehendem σοί.

οὕτως ἐλθόντες ἔλεγον ταῦτα. ὁ δὲ ἐκέλευεν οὕτω ποιεῖν καὶ 11
ἐξιέναι τὴν ταχίστην συσκευασαμένους, καὶ προσανειπεῖν, ὃς ἂν
μὴ παρῇ εἰς τὴν ἐξέτασιν καὶ εἰς τὸν ἀριθμόν, ὅτι αὐτὸς αὑτὸν
αἰτιάσεται. ἐντεῦθεν ἐξῆσαν οἵ τε στρατηγοὶ πρῶτοι καὶ οἱ 12
ἄλλοι. καὶ ἄρδην πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος
εἱστήκει παρὰ τὰς πύλας ὡς, ὁπότε ἔξω γένοιντο πάντες, συγ-
κλείσων τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβαλῶν. ὁ δὲ Ἀναξίβιος 13
συγκαλέσας τοὺς στρατηγοὺς καὶ τοὺς λοχαγοὺς ἔλεξε, Τὰ μὲν
ἐπιτήδεια, ἔφη, λαμβάνετε ἐκ τῶν Θρᾳκίων κωμῶν· εἰσὶ δὲ
αὐτόθι πολλαὶ κριθαὶ καὶ πυροὶ καὶ τἆλλα τὰ ἐπιτήδεια· λα-
βόντες δὲ πορεύεσθε εἰς Χερρόνησον, ἐκεῖ δὲ Κυνίσκος ὑμῖν 14
μισθοδοτήσει. ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν ταῦτα,
ἢ καὶ τῶν λοχαγῶν τις διαγγέλλει εἰς τὸ στράτευμα. καὶ οἱ μὲν
στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ Σεύθου, πότερα πολέμιος εἴη
ἢ φίλος, καὶ πότερα διὰ τοῦ ἱεροῦ ὄρους δέοι πορεύεσθαι ἢ
κύκλῳ διὰ μέσης τῆς Θρᾴκης. ἐν ᾧ δὲ ταῦτα διελέγοντο, οἱ 15
στρατιῶται ἀναρπάσαντες τὰ ὅπλα θέουσι δρόμῳ πρὸς τὰς πύλας,
ὡς πάλιν εἰς τὸ τεῖχος εἰσιόντες. ὁ δὲ Ἐτεόνικος καὶ οἱ σὺν
αὐτῷ ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλείουσι τὰς
πύλας καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. οἱ δὲ στρατιῶται ἔκοπτον 16
τὰς πύλας καὶ ἔλεγον ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς
τοὺς πολεμίους· κατασχίσειν τε τὰς πύλας ἔφασαν, εἰ μὴ ἑκόντες

§. 11. *οὕτω ποιεῖν*, d. h. dem Rathe des Kl. zu folgen. — *ὃς ἂν κ. τ. λ.*, Voranstellung des Relativsatzes; wie im D. zu ordnen s. I, 6, 2 z. *ὅτι*. — *εἰς τ. ἐξέτασ. καί*, Hendiadyoin. — *ὅτι* — *αἰτιάσεται* frei: habe es sich selbst zuzuschreiben, sc. wenn er gestraft werde. Womit s. §. 36.

§. 12. *πρῶτοι*, s. I, 2, 25 z. *προτέρα*, hier = 'voran'. — *ἄρδην* z. Verstärkung des *πάντες*: 'durchaus alle' d. h. sammt und sonders. — *καὶ Ἐτεόνικος*, wir subordinieren. — *πύλ.* sind die *Θρᾴκιαι πύλαι*, die zu dem §. 24 genannten freien weiten Platze innerhalb der äussern Stadtmauer führten. — *τὸν μοχλόν*, der Sperrbalken, der durch einen Schliessbolzen befestigt wurde.

§. 13. *τοὺς στρ.* — *τοὺς λοχαγ.* Was drückt der zweimal gesetzte Artikel aus? Vergl. oben bei § 2. — *τὰ ἐπιτήδεια* ist Apposition z. *τἆλλα*. — *λαβόντες*, 'die nehmt'.

§. 14. *διαγγέλλει* gehört auch zu *ἐπακούσαντές τινες*. Warum also der Singular? — *περὶ τοῦ Σεύθου*, auch eine Art Anticipation, denn wir setzen es in den Fragesatz. — *διὰ τ. ἱεροῦ ὄρους*, lag zwischen Sestos und Perinthos. — *κύκλῳ* frei: 'um dasselbe herum'. — *διὰ μέσης τ. Θρᾴκης*, s. I, 2, 7 z. d. W.

§. 15. *εἰσιόντες* hat Futurbedeutung, daher s. I, 1, 3 z. *ὡς ἀποκτ.* — *οἱ σὺν αὐτῷ*, im D. subordiniert.

§. 16. *ἔκοπτον τάς*, wir brauchen eine Präposition. — *εἰς τοὺς πολεμ.*, nach I, 1, 11 z. *εἰς Πισίδ.* — *ἀδικώτατα πάσχω* frei: 'mir wird das grösste Unrecht zugefügt'.

17 ἀνοίξουσιν. ἄλλοι δὲ ἔθεον ἐπὶ θάλατταν καὶ παρὰ τὴν χηλὴν [τοῦ τείχους] ὑπερβαίνουσιν εἰς τὴν πόλιν, ἄλλοι δὲ οἳ ἐτύγχανον ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόπτοντες ταῖς ἀξίναις τὰ κλεῖθρα ἀναπεταννύασι τὰς πύλας, οἱ δ' εἰσπίπτουσιν.

18 Ὁ δὲ Ξενοφῶν ὡς εἶδε τὰ γιγνόμενα, δείσας, μὴ ἐφ' ἁρπαγὴν τράποιτο τὸ στράτευμα καὶ ἀνήκεστα κακὰ γένοιτο τῇ πόλει καὶ ἑαυτῷ καὶ τοῖς στρατιώταις, ἔθει καὶ συνεισπίπτει
19 εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ. οἱ δὲ Βυζάντιοι ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπῖπτον, φεύγουσιν ἐκ τῆς ἀγορᾶς, οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε, ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες ἔξω [ἔθεον,] οἱ δὲ καθεῖλκον τὰς τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σῴζοιντο, πάντες δὲ ᾤοντο ἀπολωλέναι ὡς ἑαλωκυίας τῆς πόλεως.
20 ὁ δὲ Ἐτεόνικος εἰς τὴν ἄκραν ἀποφεύγει. ὁ δὲ Ἀναξίβιος καταδραμὼν ἐπὶ θάλατταν ἐν ἁλιευτικῷ πλοίῳ περιέπλει εἰς τὴν ἀκρόπολιν, καὶ εὐθὺς μεταπέμπεται ἐκ Καλχηδόνος φρουρούς· οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν τῇ ἀκροπόλει σχεῖν τοὺς ἄν-

— κατασχίσειν κ. τ. λ., Uebergang in die orat. dir. — ἔφασαν, drohten.

§. 17. ἄλλοι δέ, im D. verbinde: inzwischen. — παρὰ τὴν χηλήν, Exc. §. 55 Anm. 3. S. Cassius Dio 74, 10, 5. — τῶν στρατιωτ., Stellung des Gen. partit. zu beachten. — ἔνδον. d. h. in der Stadt. — πράγματα = 'Vorfälle'. — ταῖς ἀξίναις, s. I, 1, 2 z. τὴν ἀρχήν. — Die Aexte hatten sie als Gepäck noch bei sich; denn diese Nachzügler (s. §. 12) werden keinen Gepäckwagen gehabt haben. — τὰ κλεῖθρα und nicht τὸν μοχλόν steht, weil das erstere hier auch den Schliessbolzen (βάλανος) umfasst, mittels dessen der Sperrbalken befestigt ist. — οἱ δ' εἰσπίπτ., die §. 10 genannten στρατιῶτ. — Malerische Kürze und malerischer Ausdruck.

§. 18—32. Furcht und Schrecken in der Stadt. — Xenophon beruhigt die Söldner.

§. 18. Untersuche den anaphorischen Bau dieses und des §. 19. — τὸ στράτ. — καὶ ἀνήκεστα, warum dieser Chiasmus? — ἔθει καὶ συνεισπίπτ., Imperf. u. Praes. hist. verbunden.

§. 19. Beachte die lebhafte Schilderung in kurzen Sätzen. — ἔνδον d. h. in den Häusern. — ἐν τ. τριήρεσι, der Deutlichkeit wegen wiederholt; im D. genügt das Pronom. — πάντες nimmt nach der durch οἱ μὲν etc. eingetretenen Theilung das allgemeine Subj. wieder auf. — ὡς vor Gen. abs., s. I, 1, 6 z. d. W.

§. 20. Nachdem er die Einwohner im Allgemeinen besprochen, kommt er auf die beiden, welche den Sturm veranlasst, besonders, weil sich an ihre Person der weitere Verlauf knüpft. — ἀποφεύγει u. περιέπλει chiastisch. — ἄκρα i. q. ἀκρόπολις. S. Cassius Dio. 74, 10, 2. — περιέπλει u. μεταπέμπεται, Wechsel des tempus. — Καλχηδόνος, eine halbe Stunde südlich von Scutari, das heutige Dorf Kadikoi = Richterdorf. — οἱ ἐν τ. ἀκροπόλει, im D. setze statt des Artikels ein Hauptwort, zu dem ἀκροπ. Attr. wird. Die Akropolis ist die jetzige Spitze des Serails. — σχεῖν τ. ἄνδρας d. h. den Angriff derselben.

δρας. οἱ δὲ στρατιῶται ὡς εἶδον Ξενοφῶντα, προσπίπτουσι 21
πολλοὶ αὐτῷ καὶ λέγουσι, Νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ
γενέσθαι. ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄν-
δρας τοσούτους· νῦν ἄν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὀνήσαις καὶ
ἡμεῖς σὲ μέγαν ποιήσαιμεν. ὁ δ' ἀπεκρίνατο, Ἀλλ' εὖ γε λέγετε 22
καὶ ποιήσω ταῦτα· εἰ δὲ τούτων ἐπιθυμεῖτε, θέσθε τὰ ὅπλα ἐν
τάξει ὡς τάχιστα· [βουλόμενος αὐτοὺς κατηρεμίσαι]· καὶ αὐτός
τε παρηγγύα ταῦτα καὶ τοὺς ἄλλους ἐκέλευε παρεγγυᾶν [τίθε-
σθαι τὰ ὅπλα]. οἱ δὲ αὐτοὶ ὑφ' ἑαυτῶν ταττόμενοι οἵ τε ὁπλῖται 23
ἐν ὀλίγῳ χρόνῳ εἰς ὀκτὼ ἐγένοντο καὶ οἱ πελτασταὶ ἐπὶ τὸ
κέρας ἑκάτερον παραδεδραμήκεσαν. τὸ δὲ χωρίον οἷον κάλλιστον 24
ἐκτάξασθαί ἐστι Θρᾴκιον καλούμενον, ἔρημον οἰκιῶν καὶ πεδι-
νόν. ἐπεὶ δὲ ἔκειτο τὰ ὅπλα καὶ κατηρεμίσθησαν, συγκαλεῖ ὁ
Ξενοφῶν τὴν στρατιὰν καὶ λέγει τάδε. Ὅτι μὲν ὀργίζεσθε, ὦ 25
ἄνδρες στρατιῶται, καὶ νομίζετε δεινὰ πάσχειν ἐξαπατώμενοι οὐ
θαυμάζω. ἢν δὲ τῷ θυμῷ χαριζώμεθα καὶ Λακεδαιμονίους τε
τοὺς παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα καὶ τὴν πόλιν, τὴν
οὐδὲν αἰτίαν, διαρπάσωμεν, ἐνθυμεῖσθε ἃ ἔσται ἐντεῦθεν. πο- 26

§. 21. *πολλοί* beschränkende Apposition. — *ἀνδρί*, s. III, 2, 11 z. *ἀγαθοῖς*; was *ἀνδρὶ γενέσθαι* bedeutet, lehrt das folgende *ἡμεῖς σὲ μέγαν ποιήσαιμεν*. — *ἔχεις*, die Aufregung der Soldaten erhält durch die viermalige Wiederholung des *ἔχεις*, das Asyndeton und die kurzen Sätze einen malerischen Ausdruck. Dieselbe Anaphora des Kernworts in Arndt's: „Schwöret für die grosse Sache, Schwöret für das Vaterland, Schwöret."

§. 22. *τε — καί*, im D. genügt eine Conjunction, — *θέσθε τὰ ὅπλα*, Exc. §. 25 Anm. 4, 2. — Xenoph. bringt mit grosser Klugheit die empörten Soldaten erst zur äusseren Ordnung, dann im §. 23 sq. zur Besinnung. — [*βουλόμενος*, eine nachträgliche Erläuterung des Schriftstellers mit grammatischer Beziehung auf *ἀπεκρίνατο*]. — *παρηγγύα — ἐκέλευε*, s. II, 3, 21 z. *ἔλεγεν*.

§. 23. *ταττόμενοι*, ähnlicher Satzbau wie I, 8, 27. — *οἱ ὁπλῖται*, eine Art partitiver Apposition, das Ganze und der Theil stehen in gleichem Casus. — *εἰς ὀκτώ*, Exc. §. 18.

§. 24. *οἷον* beim Superlativ s. I, 1, 6 z. *ὡς*. — *ἐκτάξασθαι*, von *κάλλιστον* abhängig, steht ähnlich dem lat. Supin. auf u, im D. durch ein Hauptwort. — *τὸ Θρᾴκιον*, dieser freie, weite Platz innerhalb der äussern Mauern von Byzanz lag in der Nähe des Thrakischen Thores. Thrakisches Thor nach derselben Analogie wie: Hallisches Thor. — *καλούμεν.*, s. I, 2, 13 z. d. W. — *ἔκειτο*, Exc. §. 25, Anm. 4, 2. — *συγκαλεῖ* frei: 'liess einen Kreis um sich schliessen'.

§. 25. Beachte die Voranstellung der Nebensätze und die Trennung beider durch Zwischenstellung. — *ἐξαπατώμενοι*, bei Verben, die ein Urtheil über ein Verfahren oder einen Zustand aussprechen, bezeichnet das Partic. die Handlung, auf welche sich das Urtheil bezieht = 'dadurch dass'. — *Λακεδαιμον.*, betonte Stellung. — *οὐδέν*, Obj. z. *αἰτίαν*. — *ἃ ἔσται ἐντεῦθεν* frei: 'was die Folge davon sein wird'.

1. ἔξω bewältigen. 2. in 8 Gliedern. 3. möglichst. 4. f. in Schlachtord. aufstell. 5. flach, eben 6. f. d. Leidenschaft überlassen.

λέμιοι μὲν ἐσόμεθα ἀποδεδειγμένοι Λακεδαιμονίοις καὶ τοῖς
συμμάχοις. οἷος δ' ὁ πόλεμος ἂν γένοιτο εἰκάζειν δὴ πάρεστιν,
27 ἑωρακότας καὶ ἀναμνησθέντας τὰ νῦν δὴ γεγενημένα. ἡμεῖς
γὰρ οἱ Ἀθηναῖοι ἤλθομεν εἰς τὸν πόλεμον τὸν πρὸς Λακεδαι-
μονίους καὶ τοὺς συμμάχους ἔχοντες τριήρεις, τὰς μὲν ἐν θα-
λάττῃ, τὰς δ' ἐν τοῖς νεωρίοις, οὐκ ἐλάττους τριακοσίων, ὑπαρ-
χόντων δὲ πολλῶν χρημάτων ἐν τῇ πόλει καὶ προσόδου οὔσης
κατ' ἐνιαυτὸν ἀπό τε τῶν ἐνδήμων καὶ [ἐκ] τῆς ὑπερορίας οὐ
μεῖον χιλίων ταλάντων. ἄρχοντες δὲ τῶν νήσων ἁπασῶν καὶ
ἔν τε τῇ Ἀσίᾳ πολλὰς ἔχοντες πόλεις καὶ ἐν τῇ Εὐρώπῃ ἄλλας
τε πολλὰς καὶ αὐτὸ τοῦτο τὸ Βυζάντιον, ὅπου νῦν ἐσμέν, ἔχον-
28 τες κατεπολεμήθημεν οὕτως, ὡς πάντες ὑμεῖς ἐπίστασθε. νῦν
δὲ δὴ τί ἂν οἰόμεθα παθεῖν, Λακεδαιμονίοις μὲν καὶ τῶν ἀρ-
χαίων συμμάχων ὑπαρχόντων, Ἀθηναίων δὲ καὶ οἳ ἐκείνοις

§. 26. **πολέμιοι μέν**, erklärendes Asyndeton. — **ἀποδεδειγμένοι** frei: 'erklärte'. — **ὁ πόλεμος** = 'der dann ausbrechende Krieg.' — **πάρεστι** c. Acc. bei allgemeinen Gedanken; bei bestimmten Personen steht der Dativ. — **ἑωρακότας**, 'erleben'. — **τὰ νῦν δὴ γεγενημένα** 'die (νῦν δή, jetzt eben) neuesten Vorfälle, Ereignisse'. Der peloponnesische Krieg ist gemeint. — δή von einer klar vorliegenden Thatsache.

§. 27. **ἐλθεῖν εἰς πόλεμον**, in den Krieg treten d. h. ihn anfangen. Frei mache **ἔχοντες** zum Prädicat u. **ἤλθομεν εἰς τὸν πόλεμ.** übersetze als Zeitbestimmung durch ein Hauptwort. — **ὑπαρχόντων δέ**, beachte den Gen. abs. zwischen relativen Particip. und übersetze frei durch Hauptsätze. — **πόλει**, es ist die Akropolis gemeint, auf welcher der aus den Ueberschüssen der öffentlichen Einkünfte sich bildende Schatz in einer Hinterzelle (ὀπισθόδομος) des Parthenon aufbewahrt ward. — Beim Ausbruch des Kriegs waren 6000 Talente Silbergeld vorräthig. — **κατ' ἐνιαυτόν**, im D. ein Adject. — **τὰ ἔνδημα** sind die Steuern, die in Attika selbst einkamen: Pachtgelder, Marktgelder, Zölle, Fremdensteuer, Strafgelder und Einkünfte von confiscierten Gütern. — **ἐκ τ. ὑπερορίας** sind die Tribute der Bundesgenossen, die zuerst nach des Aristides Berechnung 460 Talente, durch des Perikles Bestimmung 600 Talente bezahlten. — **χιλίων ταλάντων** hängt von προσόδου ab. — Welches Wort fehlt? ἄρχοντες u. ἔχοντες, diese Partic., welche wie die vorangehenden eigentlich die Umstände angeben, unter denen das ἤλθομεν εἰς τὸν π. geschieht, stehen zu dem folgenden κατεπολ., welches, weil der Redner durch die weite Trennung den Zusammenhang mit ἤλθομεν vergessen hat, die Folge des ἤλθ. εἰς τ. π. angiebt, concessiv, daher vor κατεπολεμήθημεν 'dennoch' einzuschalten. Beachte den Chiasmus. — **ἄρχοντες τῶν νήσων**, die frühern Bundesgenossen wurden immer abhängiger von Athen, daher der Ausdruck. **ἔχοντες**, dreimal wiederholt, bildet am Ende eine nachdrückliche Antistrophe. — **ἄλλας τε πολλὰς καὶ αὐτό** frei: 'ausser vielen andern Städten eben dies Byz.' — **κατεπολεμήθ.**, warum κατά?

§. 28. **ἄν** gehört zu **παθεῖν**. Frei: 'Was für ein Schicksal haben wir nach unsrer Meinung zu erwar-

1. vermuten. 2. es ist zur Hand, man kann. 3. or Schiffswerfte, Arsenal. 4. die Fremde. 5. im Kr. besiegt werden.

τότε ἦσαν σύμμαχοι πάντων προσγεγενημένων, Τισσαφέρνους δὲ καὶ τῶν ἐπὶ θαλάττῃ ἄλλων βαρβάρων πάντων πολεμίων ἡμῖν ὄντων, πολεμιωτάτου δὲ αὐτοῦ τοῦ ἄνω βασιλέως, ὃν ἤλθομεν ἀφαιρησόμενοι τὴν ἀρχὴν καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα; τούτων δὴ πάντων ὁμοῦ ὄντων ἔστι τις οὕτως ἄφρων, ὅστις
οἴεται ἂν ἡμᾶς περιγενέσθαι; μὴ πρὸς θεῶν μαινώμεθα μηδ' 29
αἰσχρῶς ἀπολώμεθα πολέμιοι ὄντες καὶ ταῖς πατρίσι καὶ τοῖς ἡμετέροις αὐτῶν φίλοις τε καὶ οἰκείοις. ἐν γὰρ ταῖς πόλεσίν εἰσι πάντες ταῖς ἐφ' ἡμᾶς στρατευσομέναις, καὶ δικαίως, εἰ βάρβαρον μὲν πόλιν οὐδεμίαν ἠθελήσαμεν κατασχεῖν, καὶ ταῦτα κρατοῦντες, Ἑλληνίδα δὲ εἰς ἣν πρώτην ἤλθομεν πόλιν, ταύτην
ἐξαλαπάξομεν. ἐγὼ μὲν τοίνυν εὔχομαι πρὶν ταῦτα ἐπιδεῖν ὑφ' 30
ὑμῶν γενόμενα μυρίας ἐμέ γε κατὰ γῆς ὀργυιὰς γενέσθαι. καὶ ὑμῖν δὲ συμβουλεύω Ἕλληνας ὄντας τοῖς τῶν Ἑλλήνων προ-

ten?' — καὶ οἱ — σύμμαχοι durch ein Hauptwort. — πολεμίων — πολεμιωτάτου, ein kräftiger Chiasmus. — Was ist bei πολεμιωτάτου als selbstverständlich ausgelassen? — αὐτοῦ, s. III, 4, 41 z. d. W. — ἄνω, s. I, 2, 1 z. d. W. — τ. ἄνω βασιλ. der Perser-König. — ὅν, im D. übersetze ἤλθομεν frei: 'ausziehen gegen einen', und nimm ὅν, welches eigentlich zu den Partic. gehört, als adverbiale Bestimmung, so dass bei den Partic. das Pron. pers. wiederholt wird. — ἀφαιρησόμ. τ. ἀρχ. καὶ ἀποκτεν. frei: 'Krone und Leben rauben'. — εἰ δυναίμεθα, vergleiche IV, 5, 17 z. εἴ τις. — ὁμοῦ εἶναι, 'verbunden sein'. Andre fassen τούτων πάντων als Gen. von ταῦτα πάντα. Im D. wird der Gen. abs. zu einem Zwischensatze. — ὅστις, s. II, 5, 12 z. d. W.

§. 29. καὶ ταῖς πατρίσι — οἰκείοις, Polysyndeton. — τοῖς ἡμετέροις αὐτῶν, in solcher Verbindung und Stellung wird der Genitiv von αὐτός mit Nachdruck im Sinn von 'eigen' gebraucht, indem dadurch die Possessiva zu Reflexivpronomen werden. — ταῖς — στρατευσομ., im D. ein Relativsatz. — καὶ δικαίως sc. werden sie uns Feinde sein. — εἰ βάρβαρον — ἐξαλαπάξομεν. Statt der Coordination schalte den ersten Satz mit 'während' in den zweiten Bedingungssatz ein. — οὐδεμίαν steht, weil es ein logischer Nebensatz ist, denn nach εἰ sollte μηδεμίαν stehen. S. auch I, 7, 18 z. οὐ. — καὶ ταῦτα, s. I, 4, 12 z. d. W. — Ἑλληνίδα gehört eigentlich zum Hauptsatze, daher ταύτην epanaleptisch steht. Im D. ordne: εἰ τὴν πρώτην πόλιν Ἑλλην., εἰς ἣν ἤλθομεν, ἐξαλαπάξομεν.

§. 30. ἐπιδεῖν s. III, 1, 13 z. d. W. — ταῦτα ὑφ' ὑμῶν γενόμενα frei: 'diese That von euch'. γενόμενα — γενέσθαι, kräftige Paronomasie. — μυρίας — γενέσθαι, solche Ausdrücke der ungeduldigen Sehnsucht nach Entrükkung bei widerwärtigen Ereignissen finden sich schon bei Homer und bei den Deutschen; z. B. ich möchte in die Erde schliefen. Vergl. Ev. Luc. 23. 30 und Schiller's Jgfr. v. Orleans IV. 2 v. 150: O könnt' ich mich verbergen in den tiefsten Schoos der Erde! — μυρίας durch Trennung betont. — ἐμέ des Nachdrucks wegen gesetzt, wie aus I, 3, 1 z. ἰέναι sich ergiebt. — Ἕλληνας nach vorhergehendem ὑμῖν. — Beachte auch die Paronomasie τοῖς

1. in Hochzeiten. 2. 3. u. daß, obwohl wir ... 4. zu erwachen.

ἑστηκόσι πειθομένους πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. ἐὰν δὲ μὴ δύνησθε ταῦτα, ἡμᾶς δεῖ ἀδικουμένους τῆς γοῦν Ἑλλάδος
31 μὴ στέρεσθαι. καὶ νῦν μοι δοκεῖ πέμψαντας Ἀναξιβίῳ εἰπεῖν, ὅτι ἡμεῖς οὐδὲν βίαιον ποιήσοντες παρεληλύθαμεν εἰς τὴν πόλιν, ἀλλ' ἢν μὲν δυνώμεθα παρ' ὑμῶν ἀγαθόν τι εὑρίσκεσθαι, εἰ δὲ μή, ἀλλὰ δηλώσοντες, ὅτι οὐκ ἐξαπατώμενοι ἀλλὰ πειθόμενοι ἐξερχόμεθα.
32 Ταῦτα ἔδοξε, καὶ πέμπουσιν Ἱερώνυμόν τε Ἠλεῖον ἐροῦντα ταῦτα καὶ Εὐρύλοχον Ἀρκάδα καὶ Φιλήσιον Ἀχαιόν. οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες.
33 Ἔτι δὲ καθημένων τῶν στρατιωτῶν προσέρχεται Κοιρατάδης Θηβαῖος, ὃς οὐ φεύγων τὴν Ἑλλάδα περιῄει, ἀλλὰ στρατηγιῶν καὶ ἐπαγγελλόμενος, εἴ τις ἢ πόλις ἢ ἔθνος στρατηγοῦ δέοιτο· καὶ τότε προσελθὼν ἔλεγεν ὅτι ἕτοιμος εἴη ἡγεῖσθαι αὐτοῖς εἰς τὸ Δέλτα καλούμενον τῆς Θρᾴκης, ἔνθα πολλὰ κἀγαθὰ λήψοιντο· ἔστε δ' ἂν μόλωσιν, εἰς ἀφθονίαν παρέξειν

τῶν — πειθομέν.: gehorsam denen, die etc.' — *τῶν δικαίων τυγχάν.* = jus vestrum obtinere. — *δύνησθε ταῦτα*, nämlich: τῶν δικ. τυγχ. — *ἀδικουμ.* concessiv. — *στέρεσθαι*, durch Tödtung od. Sklaverei.

§. 31. *πέμψαντας* entweder dem *εἰπεῖν* zu coordinieren oder frei: 'durch Abgesandte'. — *εἰπεῖν* = 'sagen lassen', s. I, 1, 3 z. συλλαμβ., I, 3, 8 z. ἔλεγε. — *οὐδέν* ziehe im D. zum Hauptverbum. — *ποιήσοντες* = 'um zu verüben'. — *ἀλλ'* sc. ὅτι παρεληλύθ. εὑρησόμενοι. — *ἢν δυνώμεθα*, der Nachsatz fehlt, weil Absichtssatz und Bedingungssatz gemischt sind, um die Absicht als bedingte Möglichkeit milder und bescheidener auszudrücken. Im D. ist mit der Construction 'um zu' fortzufahren u. ἢν δυνώμεθα nach IV, 5, 17 zu übersetzen. — *ἀλλά* nach hypothetischen Sätzen = 'wenigstens, doch'.

§. 32. *ταῦτα ἔδοξε*, s. I, 3, 20 u. II, 3, 28 z. d. W. — *καὶ Εὐρύλοχον*, welche Stellung? — *ἐροῦντα* frei: 'mit dieser Meldung'. — *οἱ μέν*, Asyndeton.

§. 33—41. Koiratades erbietet sich zum Führer, kann aber sein Versprechen nicht halten und muss beschämt abziehen.

§. 33. *καθημένων*, s. VI, 2, 5 z. d. W. — *Κοιρατάδης* war gegen Ende des peloponnesischen Kriegs Befehlshaber der Boiotier und kam bei der Einnahme von Byzanz in die Gefangenschaft der Athener, die ihn nach Athen schickten, von wo er jedoch entfloh. — *φεύγων*, s. I, 1, 7 z. d. W. — *στρατηγιῶν* sarkastisch. — *ἐπαγγελλόμ.* = 'sich zu etwas erbieten'. Wozu? liegt in στρατηγιῶν, daher im D. 'dazu' hinzuzusetzen. — *καὶ τότε*, s. I, 8, 23 zu καί. — *ἔλεγεν*, s. II, 3, 21 z. d. W. — *Δέλτα*, der Theil der Halbinsel Thrakiens in der Nähe des Bosporos, der zwischen Salmydessos und Byzantion liegt. — *τῆς Θρᾴκης*, s. §. 1. — *πολλὰ κἀγαθά*, s. II, 3, 18 z. πολλά; vergl. IV, 6, 27 z. d. W. — *μόλωσιν* zu βλώσκω. — *εἰς ἀφθονίαν* umschreibt das Adverb. — *ἔφη* bleibt unübersetzt.

§. 34. *ἀκούουσι*, Asyndeton s. I, 3, 20 u. II, 4, 18 z. ἀκούσ. —

1. trotz erlittenen Unrechts. 2. beraubt sein. 3. med. sich zu verschaffen suchen. 4. [illegible] 5. [illegible] 6. ging in ganz Gr. herum. 7. [illegible] 8. c. dat u. gen. [illegible] 9. βλώσκω, μολοῦμαι, ἔμολον, μέμβλωκα gehen, kommen.

ἔφη καὶ σιτία καὶ ποτά. ἀκούουσι ταῦτα τοῖς στρατιώταις καὶ 34
τὰ παρὰ Ἀναξιβίου ἅμα ἀπαγγελλόμενα — ἀπεκρίνατο γὰρ ὅτι
πειθομένοις αὐτοῖς οὐ μεταμελήσει, ἀλλὰ τοῖς τε οἴκοι τέλεσι
ταῦτα ἀπαγγελεῖ καὶ αὐτὸς βουλεύσοιτο περὶ αὐτῶν ὅ,τι δύναιτο
ἀγαθόν — ἐκ τούτου οἱ στρατιῶται τόν τε Κοιρατάδην δέχονται 35
στρατηγὸν καὶ ἔξω τοῦ τείχους ἀπῆλθον. ὁ δὲ Κοιρατάδης συν-
τίθεται αὐτοῖς, εἰς τὴν ὑστεραίαν παρέσεσθαι ἐπὶ τὸ στράτευμα
ἔχων καὶ ἱερεῖα καὶ μάντιν καὶ σιτία καὶ ποτὰ τῇ στρατιᾷ. ἐπεὶ 36
δὲ ἐξῆλθον, ὁ Ἀναξίβιος ἔκλεισε τὰς πύλας καὶ ἐκήρυξεν, ὃς ἂν
ἁλῷ ἔνδον ὢν τῶν στρατιωτῶν, ὅτι πεπράσεται. τῇ δ' ὑστεραίᾳ 37
Κοιρατάδης μὲν ἔχων τὰ ἱερεῖα καὶ τὸν μάντιν ἧκε καὶ ἄλφιτα
φέροντες εἵποντο αὐτῷ εἴκοσιν ἄνδρες καὶ οἶνον ἄλλοι εἴκοσι
καὶ ἐλαιῶν τρεῖς καὶ σκορόδων ἀνὴρ ὅσον ἐδύνατο μέγιστον
φορτίον καὶ ἄλλος κρομμύων. ταῦτα δὲ καταθέμενος ὡς ἐπὶ
δάσμευσιν ἐθύετο. Ξενοφῶν δὲ μεταπεμψάμενος Κλέανδρον 38
ἐκέλευε διαπρᾶξαι, ὅπως εἰς τὸ τεῖχος εἰσέλθοι καὶ ἀποπλεῦσαι
ἐκ Βυζαντίου. ἐλθὼν δ' ὁ Κλέανδρος, Μάλα μόλις, ἔφη, δια- 39
πραξάμενος ἥκω. λέγειν γὰρ Ἀναξίβιον, ὅτι οὐκ ἐπιτήδειον εἴη
τοὺς μὲν στρατιώτας πλησίον εἶναι τοῦ τείχους, Ξενοφῶντα δὲ
ἔνδον· τοὺς Βυζαντίους δὲ στασιάζειν καὶ πονηροὺς εἶναι πρὸς
ἀλλήλους· ὅμως δὲ εἰσιέναι, ἔφη, ἐκέλευεν, εἰ μέλλοις σὺν αὐτῷ
ἐκπλεῖν. ὁ μὲν δὴ Ξενοφῶν ἀσπασάμενος τοὺς στρατιώτας 40
εἴσω τοῦ τείχους ἀπῄει σὺν Κλεάνδρῳ. ὁ δὲ Κοιρατάδης τῇ

Der Dativ steht, weil Xenoph. *ἔδοξε* im Sinne hat, aber wegen der Parenthese ändert er im §. 35 die Construction (Anakoluthie). — *ἀπεκρίνατο*, s. I, 1, 3 z. *συλλαμβ.* — *πειθομένοις* frei durch das abstracte Hauptwort. — *τέλεσι*, s. II, 6, 4 z. d. W. — *ἀπαγγελεῖ καὶ βουλεύσοιτο*, Wechsel des Modus.

§. 35. *συντίθεται* hier c. Inf., weil darin der Begriff des Versprechens liegt. — *εἰς*, s. I, 7, 1 z. d. W. — *ἐπὶ τὸ στράτευμα*, s. I, 2, 2 z. *παρῆσαν*. — Im Folgenden ein Polysyndeton, weil Koir. den Mund sehr voll nimmt.

§. 36. *ἔκλεισε καὶ ἐκήρυξεν*, s. I, 1, 3 z. *συλλαμβ.* — *ἁλῷ* c. Partic., weil die Verba des Betreffens nach Analogie der Verba sent. construirt werden. — *ὅτι πεπράσεται*, betonte Stellung. S. auch I, 5, 16 z. *κατακεκ.*

§. 37. *ἐλαιῶν* hängt von *φορτίον* ab. Beachte die Stellung der drei attributiven Genit. — Bei den Subjecten *τρεῖς*, *ἀνήρ* u. *ἄλλος* ist *φέροντες* in der passenden Form hinzuzudenken, aber nach I, 1, 2 z. *λαβῶν* zu übersetzen. — *ὅσον*, s. I, 1, 6 z. *ὡς*. — *ὡς ἐπί*, s. I, 1, 2 u. IV, 3, 11 z. d. W.

§. 39. *διαπραξάμενος* frei nach II, 3, 25 z. d. W. — *λέγειν*, Uebergang in die orat. obl., der sehr selten ist. — *ἔφη*, Kleandros. — *ἐκέλευεν*, Anaxibios. — *σὺν αὐτῷ*: des Anaxibios Amtsjahr geht zu Ende.

§. 40. *ἀσπασάμενος* s. oben §. 8. — *παρά*, Ausdehnung in der

μὲν πρώτῃ ἡμέρᾳ οὐκ ἐκαλλιέρει οὐδὲ διεμέτρησεν οὐδὲν τοῖς στρατιώταις· τῇ δ' ὑστεραίᾳ τὰ μὲν ἱερεῖα εἱστήκει παρὰ τὸν βωμὸν καὶ Κοιρατάδης ἐστεφανωμένος ὡς θύσων· προσελθὼν δὲ Τιμασίων ὁ Δαρδανεὺς καὶ Νέων ὁ Ἀσιναῖος καὶ Κλεάνωρ ὁ Ὀρχομένιος ἔλεγον Κοιρατάδῃ μὴ θύειν, ὡς οὐχ ἡγησόμενον
41 *τῇ στρατιᾷ, εἰ μὴ δώσει τὰ ἐπιτήδεια. ὁ δὲ κελεύει διαμετρεῖσθαι. ἐπεὶ δὲ πολλῶν ἐνέδει αὐτῷ ὥστε ἡμέρας σῖτον ἑκάστῳ γενέσθαι τῶν στρατιωτῶν, ἀναλαβὼν τὰ ἱερεῖα ἀπῄει καὶ τὴν στρατηγίαν ἀπειπών.*

II. *Νέων δὲ ὁ Ἀσιναῖος καὶ Φρυνίσκος ὁ Ἀχαιὸς καὶ Φιλήσιος ὁ Ἀχαιὸς καὶ Ξανθικλῆς ὁ Ἀχαιὸς καὶ Τιμασίων ὁ Δαρδανεὺς ἐπέμενον ἐπὶ τῇ στρατιᾷ, καὶ εἰς κώμας τῶν Θρᾳκῶν προ-*
2 *ελθόντες τὰς κατὰ Βυζάντιον ἐστρατοπεδεύοντο. καὶ οἱ στρατηγοὶ ἐστασίαζον, Κλεάνωρ μὲν καὶ Φρυνίσκος πρὸς Σεύθην βουλόμενοι ἄγειν· ἔπειθε γὰρ αὐτούς, καὶ ἔδωκε τῷ μὲν ἵππον, τῷ δὲ γυναῖκα· Νέων δὲ εἰς Χερρόνησον, οἰόμενος, εἰ ὑπὸ Λακεδαιμονίοις γένοιντο, παντὸς ἂν προεστάναι τοῦ στρατεύματος. Τιμασίων δὲ προὐθυμεῖτο πέραν εἰς τὴν Ἀσίαν πάλιν*
3 *διαβῆναι, οἰόμενος ἂν οἴκαδε κατελθεῖν. καὶ οἱ στρατιῶται ταὐτὰ ἐβούλοντο. διατριβομένου δὲ τοῦ χρόνου πολλοὶ τῶν στρατιωτῶν, οἱ μὲν τὰ ὅπλα ἀποδιδόμενοι κατὰ τοὺς χώρους, ἀπέπλεον ὡς ἐδύναντο, οἱ δὲ καὶ ⌊διδόντες τὰ ὅπλα κατὰ τοὺς*

Nähe. — *ἐστεφανωμένος*, war Opfergebrauch. — *προσελθών* mit folgendem *ἔλεγον*, wie zu erklären? S. V, 6, 27 z. *ἀναστάς*. — *Δαρδανεύς*, s. III, 1, 47. — *Ἀσιναῖος*, s. V, 3, 4 z. d. W. — *μὴ θύειν*, s. I, 3, 8 z. *ἔλεγον*. — *ὡς οὐχ ἡγησ.* = ut qui non esset ducturus. — Accusativ nach Dativ. — *δώσει* im D. ein anderer Modus.

§. 41. *ἀπῄει*, Zwischenstellung. Im D. übersetze *ἀναλαβ.* frei nach I, 1, 2 z. *λαβών*: *ἀπειπών* stelle voran u. übersetze nach I, 1, 6 z. *ἐπιβουλ.* 2.

II. Die Griechen auf der thrakischen Küste. — Unterhandlung mit Seuthes.

§. 1—4. Allerhand Pläne. — Das Heer beginnt sich aufzulösen.

§. 1. *τὰς κατά*, im D. übersetze die Präpos. durch ein Hauptwort c. Präpos.

§. 2. *Κλεάνωρ κ. τ. λ.* partitive Apposition. Es könnte auch dafür Gen. abs. stehen. — *ἄγειν* intr. — *εἰς Χερρόν.*, was ist zu ergänzen? — *ἔπειθε*, s. I, 3, 1 z. *ἐβιάζετο*. — *ἔδωκε*, im D. Plqpf. — *παντός* durch Stellung und nachfolgendes *ἄν* betont. — *κατελθεῖν*, s. I, 1, 7 z. *κατάγειν*.

§. 3. *ταὐτά* sc. *οἴκ. κατελθ.*, der neutrale Plur. bezieht sich also auf einen Begriff. Vergl. I, 1, 7, wo der epexegetische Infin. beigefügt ist. — *πολλοὶ — οἱ μὲν — οἱ δέ* lässt sich im D. nicht nachbilden. Wie zu übersetzen? — *ὡς ἐδύναντο* frei: 'bei günstiger Gelegenheit'. — *διδόντες*, sie verschenkten die Waffen, weil sie mit denselben nicht eingelassen wurden.

χώρους] εἰς τὰς πόλεις κατεμίγνυντο. Ἀναξίβιος δ' ἔχαιρε 4 ταῦτα ἀκούων, διαφθειρόμενον τὸ στράτευμα· τούτων γὰρ γιγνομένων ᾤετο μάλιστα χαρίζεσθαι Φαρναβάζῳ.

Ἀποπλέοντι δὲ Ἀναξιβίῳ ἐκ Βυζαντίου συναντᾷ Ἀρίσταρ- 5 χος ἐν Κυζίκῳ, διάδοχος Κλεάνδρῳ Βυζαντίου ἁρμοστής· ἐλέγετο δέ, ὅτι καὶ ναύαρχος διάδοχος Πῶλος ὅσον οὐ παρείη ἤδη εἰς Ἑλλήσποντον. καὶ Ἀναξίβιος τῷ μὲν Ἀριστάρχῳ ἐπιστέλλει 6 ὁπόσους ἂν εὕρῃ ἐν Βυζαντίῳ τῶν Κύρου στρατιωτῶν ὑπολελειμμένους ἀποδόσθαι· ὁ δὲ Κλέανδρος οὐδένα ἐπεπράκει, ἀλλὰ καὶ τοὺς κάμνοντας ἐθεράπευεν οἰκτείρων καὶ ἀναγκάζων οἰκίᾳ δέχεσθαι. Ἀρίσταρχος δ' ἐπεὶ ἦλθε τάχιστα, οὐκ ἐλάττους τετρακοσίων ἀπέδοτο. Ἀναξίβιος δὲ παραπλεύσας εἰς Πάριον 7 πέμπει παρὰ Φαρνάβαζον κατὰ τὰ συγκείμενα. ὁ δ' ἐπεὶ ᾔσθετο Ἀρίσταρχόν τε ἥκοντα εἰς Βυζάντιον ἁρμοστὴν καὶ Ἀναξίβιον οὐκέτι ναυαρχοῦντα, Ἀναξιβίου μὲν ἠμέλησε, πρὸς Ἀρίσταρχον δὲ διεπράττετο τὰ αὐτὰ περὶ τοῦ Κυρείου στρατεύματος, ἅπερ καὶ πρὸς Ἀναξίβιον.

Ἐκ τούτου ὁ Ἀναξίβιος καλέσας Ξενοφῶντα κελεύει πάσῃ 8

— κατεμίγνυντο prägnant: 'zogen unter andere (in die Stadt zurückkehrende) Bewohner gemischt in die Städte'.

§. 4. ταῦτα, das Neutr. des Demonstrativs (Singular und Plural) deutet den Inhalt des folgenden epexegetisch stehenden Particips vorweg an. — διαφθειρόμ., womit wird das sich trennende Heer verglichen? — τούτων γιγνομένων, im D. kann ein Formwort stehen.

§. 5—7. Der getäuschte Anaxibios.

§. 5. ἀποπλέοντι, s. I, 1, 6 z. ἐπιβουλ. 1. — ἐν von der Umgegend = bei. — διάδοχος, s. I, 1, 2 z. φίλον. — ναύαρχος διάδοχος frei: 'als Nachfolger im Oberbefehl über' etc. — ὅσον οὐ, 'fast, beinahe', daher ὅσον οὐ ἤδη, Litotes = bald. — παρείη εἰς, s. I, 2, 2 z. παρῆσαν.

§. 6. ὁπόσους, Voranstellung des Relativsatzes. Im D. muss das hier ausgelassene (s. I, 1, 5 z. ὅστις) πάντας στρατιώτας voraufgenommen werden. — ὑπολελειμμέν. kann unübersetzt bleiben. — ὁ δὲ Κλέανδρος, δέ steht fast = γάρ. — ἀναγκάζων, wen? — οἰκίᾳ, Dat. instr. im collectiven Singular = 'Häuser'. — ἐπεὶ ἦλθε τάχιστα frei: 'gleich nach seiner Ankunft'. Vergl. I, 3, 4 z. ἐπειδή.

§. 7. Πάριον, Stadt in Mysien an der Propontis, das h. Kamaraes. — κατὰ τὰ συγκείμ., s. VII, 1, 2 = 'dem Vertrage gemäss' d. h. damit Pharn. erfülle, was er versprochen. — πέμπει warum ohne Obj.? — ὁ δ' ἐπεὶ — Ἀναξίβ., beachte die chiastische Stellung der Nomin. propr.

§. 8—16. Xenophon kehrt zum Heere zurück, wird aber vom Harmosten verhindert, dasselbe nach Asien zurückzuführen.

§. 8. καλέσας, s. I, 1, 3 z. συλλαμβ. Nach VII, 1, 39 u. unten §. 25 war Xenoph. mit Anaxibios abgesegelt. — πάσῃ τέχνῃ καὶ μηχαν. geh. z. πλεῦσαι und umschreibt hier d. Adv. 'auf alle Weise'. Vergl. IV, 5, 16, z. d. W. — καὶ

τέχνῃ καὶ μηχανῇ πλεῦσαι ἐπὶ το στράτευμα ὡς τάχιστα, καὶ συνέχειν τε αὐτο καὶ συναθροίζειν τῶν διεσπαρμένων ὡς ἂν πλείστους δύνηται, καὶ παραγαγόντα εἰς τὴν Πέρινθον διαβιβάζειν εἰς την Ἀσίαν ὅτι τάχιστα· καὶ δίδωσιν αὐτῷ τριακόντορον καὶ ἐπιστολὴν καὶ ἄνδρα συμπέμπει κελεύσοντα τοὺς Περινθίους ὡς τάχιστα Ξενοφῶντα προπέμψαι τοῖς ἵπποις ἐπὶ τὸ
9 στράτευμα. καὶ ὁ μὲν Ξενοφῶν διαπλεύσας ἀφικνεῖται ἐπὶ τὸ στράτευμα· οἱ δὲ στρατιῶται ἐδέξαντο ἡδέως καὶ εὐθὺς εἵποντο ἄσμενοι, ὡς διαβησόμενοι ἐκ τῆς Θρᾴκης εἰς τὴν Ἀσίαν.

10 Ὁ δὲ Σεύθης ἀκούσας ἥκοντα πάλιν πέμψας πρὸς αὐτὸν κατὰ θάλατταν Μηδοσάδην ἐδεῖτο τὴν στρατιὰν ἄγειν πρὸς ἑαυτόν, ὑπισχνούμενος αὐτῷ, ὅ,τι ᾤετο λέγων πείσειν. ὁ δ'
11 ἀπεκρίνατο, ὅτι οὐδὲν οἷόν τε εἴη τούτων γενέσθαι. καὶ ὁ μὲν ταῦτα ἀκούσας ᾤχετο. οἱ δὲ Ἕλληνες ἐπεὶ ἀφίκοντο εἰς Πέριν-
[December 400 oder Januar 399.] θον, Νέων μὲν ἀποσπάσας ἐστρατοπεδεύσατο χωρὶς ἔχων ὡς ὀκτακοσίους ἀνθρώπους· τὸ δ' ἄλλο στράτευμα πᾶν ἐν τῷ αὐτῷ παρὰ τὸ τεῖχος τὸ Περινθίων ἦν.

12 Μετὰ ταῦτα Ξενοφῶν μὲν ἔπραττε περὶ πλοίων, ὅπως ὅτι τάχιστα διαβαῖεν. ἐν δὲ τούτῳ ἀφικόμενος Ἀρίσταρχος ὁ ἐκ Βυζαντίου ἁρμοστής, ἔχων δύο τριήρεις, πεπεισμένος ὑπὸ Φαρναβάζου τοῖς τε ναυκλήροις ἀπεῖπε μὴ διάγειν ἐλθών τε ἐπὶ τὸ στράτευμα τοῖς στρατιώταις εἶπε μὴ περαιοῦσθαι εἰς τὴν Ἀσίαν.
13 ὁ δὲ Ξενοφῶν ἔλεγεν, ὅτι Ἀναξίβιος ἐκέλευσε καὶ ἐμὲ πρὸς

— καὶ — καί, beachte das Polysyndeton, worin sich des Anaxibios Rachegefühl ausspricht. Auch das wiederholte ὡς τάχιστα und damit wechselnd ὅτι τάχ. dient diesem Zwecke. — ὡς ἂν — δύνηται, s. I, 1, 6 z. ὡς. — Πέρινθος, Stadt in Thrakien an der Propontis, jetzt Eregli. — καὶ δίδωσ. καί = auch. — κελεύσοντα, qui juberet. — τοῖς ἵπποις, s. I, 3, 20 z. τὴν δίκην.

§. 9. διαπλεύσας, διά von Asien nach Europa. — τὸ στράτευμα, wo dieses verweilte, erfahren wir §. 28. — ἄσμενοι, s. I, 2, 25 z. προτέρα. — ὡς διαβησόμ. hier: 'in der Hoffnung' s. I, 1, 2 z. ὡς.

§. 10. ἀκούσας ἥκοντα frei: 'auf diese Nachricht'. — ὑπισχνούμενος, den Inhalt lesen wir §. 25. — ὅ,τι — πείσειν, quicquid dicens putabat se ei persuasurum esse. Frei: 'was, wie er glaubte, ihn bewegen werde'.

§. 11. ὁ μέν, Medosades. — ταῦτα ἀκούσ., s. I, 3, 13 z. ταῦτα εἰπών. — ἀποσπάσας intr. 'trennte sich'. Will man es transitiv fassen, so liegt das fehlende Obj. in der Zahlangabe.

§. 12. πράττειν περί τινος, 'über etwas verhandeln'. — ὁ ἐκ Βυζαντίου, s. I, 1, 5 z. τῶν παρὰ βασιλ. — πεπεισμένος frei: 'auf Anstiften, auctore Pharnabazo'. — ἀπεῖπε μή, s. I, 3, 2 z. μή. — διάγειν, nämlich 'das Griechenheer'. Warum διά?

§. 13. ὅτι vor orat. direct. s. I,

τοῦτο ἔπεμψεν ἐνθάδε. πάλιν δ' Ἀρίσταρχος ἔλεξεν, Ἀναξίβιος
μὲν τοίνυν οὐκέτι ναύαρχος, ἐγὼ δὲ τῇδε ἁρμοστής· εἰ δέ τινα
ὑμῶν λήψομαι ἐν τῇ θαλάττῃ, καταδύσω. ταῦτ' εἰπὼν ᾤχετο
εἰς τὸ τεῖχος. τῇ δ' ὑστεραίᾳ μεταπέμπεται τοὺς στρατηγοὺς 14
καὶ λοχαγοὺς τοῦ στρατεύματος. ἤδη δὲ ὄντων πρὸς τῷ τείχει
ἐξαγγέλλει τις τῷ Ξενοφῶντι, ὅτι, εἰ εἴσεισι, συλληφθήσεται καὶ
ἢ αὐτοῦ τι πείσεται ἢ καὶ Φαρναβάζῳ παραδοθήσεται. ὁ δὲ
ἀκούσας ταῦτα τοὺς μὲν προπέμπεται, αὐτὸς δὲ εἶπεν ὅτι θῦσαί
τι βούλοιτο. καὶ ἀπελθὼν ἐθύετο, εἰ παρεῖεν αὐτῷ οἱ θεοὶ πει- 15
ρᾶσθαι πρὸς Σεύθην ἄγειν τὸ στράτευμα. ἑώρα γὰρ οὔτε δια-
βαίνειν ἀσφαλὲς ὂν τριήρεις ἔχοντος τοῦ κωλύσοντος, οὔτ' ἐπὶ
Χερρόνησον ἐλθὼν κατακλεισθῆναι ἐβούλετο καὶ τὸ στράτευμα
ἐν πολλῇ σπάνει πάντων γενέσθαι, ἔνθα πείθεσθαι μὲν ἀνάγκη
τῷ ἐκεῖ ἁρμοστῇ, τῶν δὲ ἐπιτηδείων οὐδὲν ἔμελλεν ἕξειν τὸ
στράτευμα.

Καὶ ὁ μὲν ἀμφὶ ταῦτ' εἶχεν· οἱ δὲ στρατηγοὶ καὶ λοχαγοὶ 16
ἥκοντες παρὰ τοῦ Ἀριστάρχου ἀπήγγελλον, ὅτι νῦν μὲν ἀπιέ-
ναι σφᾶς κελεύει, τῆς δείλης δὲ ἥκειν. ἔνθα καὶ δήλη μᾶλλον
ἐδόκει ἡ ἐπιβουλή. ὁ οὖν Ξενοφῶν, ἐπεὶ ἐδόκει τὰ ἱερὰ καλὰ 17
εἶναι αὐτῷ καὶ τῷ στρατεύματι ἀσφαλῶς πρὸς Σεύθην ἰέναι,
παραλαβὼν Πολυκράτην τὸν Ἀθηναῖον λοχαγὸν καὶ παρὰ τῶν
στρατηγῶν ἑκάστου ἄνδρα, πλὴν παρὰ Νέωνος, ᾧ ἕκαστος ἐπί-
στευεν, ᾤχετο τῆς νυκτὸς ἐπὶ τὸ Σεύθου στράτευμα ἑξήκοντα

6, 8 zu ὅτι. — *τοίνυν* steht ähnlich wie V, 1, 2. — *τῇδε* = in dieser Gegend; Perinthos u. Byzantion standen nämlich unter demselben Harmosten. — *καταδύσω*, s. I, 1, 3 z. συλλαμβ. — *ταῦτ' εἰπών*, s. §. 11. — *τεῖχος*, das Umschliessende für das Umschlossene.

§. 14. *ὄντων*, s. I, 2, 17 z. προϊόντ. — *εἰ εἴσεισι*, Beispiel zu εἰ mit dem Indic. Fut. — *τι πείσεται*, Euphemismus, s. V, 3, 6 z. πάθῃ. — *προπέμπεται*, 'vorausschicken, vorausgehen lassen'. — *τοὺς μέν*, die andern Strategen; Gegensatz ist *αὐτός*, welches z. *βούλοιτο* gehört. — *τί* gehört z. *θῦσαι* = irgend ein = 'e. gewisses Opfer bringen'.

§. 15. *εἰ* nach *ἐθύετο*, s. VI, 1, 31 z. d. W. — *ἔχοντος* causal. — *κωλύσοντος*, Aristarchos. — *ἐβούλετο* wie construirt? — *ἔνθα*, s. §. 13. — *ἀνάγκη* sc. ἦν. s. I, 2, 18 zu φόβος. — *τῷ ἐκεῖ*, s. I, 1, 10 z. τῶν οἴκοι. Er hiess nach VII, 1, 13 Kyniskos.

§. 16. *ἀμφὶ ταῦτ' εἶχεν*, s. V, 2, 26 z. d. W. — *ἥκοντες*, Bedeutung s. II, 1, 9 z. d. W. — *μᾶλλον* nachgestellt; auch Subject z. Hervorhebung am Ende.

§. 17—22. Xenophon reist in der Nacht zum Seuthes.

§. 17. *αὐτῷ*, Dat. comm. — *ἰέναι* v. καλὰ εἶναι abhängig. Vergl. II, 2, 3 z. d. W. — *Νέωνος*, der Grund erhellt aus §. 11. — *ᾧ* aus *ἄνδρα* ist *ἀνδρί* hinzuzudenken; denn *πλὴν* — *N.* ist eine Parenthese.

18 στάδια. ἐπεὶ δ' ἐγγὺς ἦσαν αὐτοῦ, ἐπιτυγχάνει πυροῖς ἐρήμοις.
καὶ τὸ μὲν πρῶτον ᾤετο μετακεχωρηκέναι ποι τὸν Σεύθην. ἐπεὶ
δὲ θορύβου τε ᾔσθετο καὶ σημαινόντων ἀλλήλοις τῶν περὶ Σεύ-
θην, κατέμαθεν, ὅτι τούτου ἕνεκα τὰ πυρὰ κεκαυμένα εἴη τῷ
Σεύθῃ πρὸ τῶν νυκτοφυλάκων, ὅπως οἱ μὲν φύλακες μὴ
ὁρῷντο ἐν τῷ σκότει ὄντες μήτε ὁπόσοι μήτε ὅπου εἶεν, οἱ δὲ
προσιόντες μὴ λανθάνοιεν, ἀλλὰ διὰ τὸ φῶς καταφανεῖς εἶεν.
19 ἐπεὶ δὲ ᾔσθετο, προπέμπει τὸν ἑρμηνέα, ὃν ἐτύγχανεν ἔχων,
καὶ εἰπεῖν κελεύει Σεύθῃ, ὅτι Ξενοφῶν πάρεστι βουλόμενος
συγγενέσθαι αὐτῷ. οἱ δὲ ἤροντο, εἰ Ἀθηναῖος ἀπὸ τοῦ στρα-
20 τεύματος. ἐπειδὴ δὲ ἔφη οὗτος εἶναι, ἀναπηδήσαντες ἐδίω-
κον· καὶ ὀλίγον ὕστερον παρῆσαν πελτασταὶ ὅσον διακόσιοι,
καὶ παραλαβόντες Ξενοφῶντα καὶ τοὺς σὺν αὐτῷ ἦγον πρὸς
21 Σεύθην. ὁ δ' ἦν ἐν τύρσει μάλα φυλαττόμενος, καὶ ἵπποι
περὶ αὐτὴν κύκλῳ ἐγκεχαλινωμένοι· διὰ γὰρ τὸν φόβον τὰς
μὲν ἡμέρας ἐχίλου τοὺς ἵππους, τὰς δὲ νύκτας ἐγκεχαλινωμέ-
22 νοις ἐφυλάττετο. ἐλέγετο γὰρ καὶ πρόσθεν Τήρης ὁ τούτου
πρόγονος ἐν ταύτῃ τῇ χώρᾳ πολὺ ἔχων στράτευμα ὑπὸ τούτων
τῶν ἀνδρῶν πολλοὺς ἀπολέσαι καὶ τὰ σκευοφόρα ἀφαιρεθῆναι·

§. 18. *ἦσαν*, Xenoph. u. die Mitgehenden. — *ἐπιτυγχάνει*, Xenophon als Führer. Aehnlicher Wechsel, nur in andrer Folge I, 4, 5. — *ἐρήμοις*, Exc. §. 48. — *τὸ μὲν πρῶτον*, beachte den Wechsel der Construct. in ἐπεὶ δέ. S. III, 1, 38 u. IV, 2, 8 z. d. W. — *τῶν περί* bezeichnet hier die Soldaten allein, denn Seuthes ist nicht anwesend. Vergl. II, 4, 2 z. d. W. — *σημαινόντων* hängt auch von ᾔσθετο ab. S. I, 8, 16 z. θορύβ. — *τῷ Σεύθῃ*, Dat. beim Passiv. — *μήτε — μήτε*, erklärender Zusatz, dessen Subj. durch Antic. in d. Nbs. mit ὅπως gezogen ist. — *οἱ δὲ προσιόντες* steht dem φύλακες parallel, daher durch ein Hauptw. oder nach I, 3, 9 z. βουλομ.

§. 19 *εἰ* sc. εἴη od. πάρεστι. — *ἀπὸ τ. στρατ.*, ähnlich sagen unsre Soldaten: der Hauptmann von der 3. Compagnie. Warum ἀπό?

§. 20. *ἔφη*, Xenophon durch den Dolmetscher. — *ἀναπηδήσαντες* sc. von der Erde. Ob sie Pferde bestiegen, bleibt zweifelhaft. — *ἐδίωκον* 'forteilen'. — *παραλαβόντες* kann unübersetzt bleiben, weil wir weniger anschaulich schildern.

§. 21. *ἦν — μάλα φυλαττόμ.* frei: 'befand sich sorgfältig bewacht'. — *διὰ τὸν φόβον*, s. I, 1, 3 z. τὴν ἀρχήν. Der Artikel bezeichnet hier eigentlich die aus den Umständen hervorgehende, sich natürlich ergebende Furcht. — *τὰς ἡμέρας*, wir: 'bei Tage'. — *ἐχίλου*, s. I, 1, 3 z. συλλαμβ. — *ἐφυλάττετο*, 'liess sich bewachen'. — *ἐγκεχαλιν.*, Dat. instr.

§. 22. *καὶ πρόσθεν*, 'früher einmal'. — *Τήρης*. Von ihm erzählt Thuc. II, 26: Ὁ δὲ Τήρης οὗτος ὁ τοῦ Σιτάλκου πατὴρ πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλέον τῆς ἄλλης Θρᾴκης ἐποίησε. — *τούτων* d. h. den Bewohnern dieser Gegend. — *τὰ σκευοφόρα*, Accus. beim Passiv. — *Θυνοί*, deren Land in Thrakien sich von Apollonia bis Salmydessos erstreckte.

ἦσαν δ' οὗτοι Θυνοί, πάντων λεγόμενοι εἶναι μάλιστα νυκτὸς πολεμικώτατοι.

Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἐκέλευσεν εἰσελθεῖν Ξενοφῶντα 23
ἔχοντα δύο, οὓς βούλοιτο. ἐπειδὴ δὲ ἔνδον ἦσαν, ἠσπάζοντο μὲν πρῶτον ἀλλήλους καὶ κατὰ τὸν Θρᾴκιον νόμον κέρατα οἴνου προὔπινον· παρῆν δὲ καὶ Μηδοσάδης τῷ Σεύθῃ, ὅσπερ ἐπρέσβευεν αὐτῷ πάντοσε. ἔπειτα δὲ Ξενοφῶν ἤρχετο λέγειν, 24
Ἔπεμψας πρὸς ἐμέ, ὦ Σεύθη, εἰς Καλχηδόνα πρῶτον Μηδοσάδην τουτονί, δεόμενός μου συμπροθυμηθῆναι διαβῆναι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνούμενός μοι, εἰ ταῦτα πράξαιμι, εὖ ποιήσειν, ὡς ἔφη Μηδοσάδης οὗτος. ταῦτα εἰπὼν 25
ἐπήρετο τὸν Μηδοσάδην, εἰ ἀληθῆ ταῦτ' εἴη. ὁ δ' ἔφη. Αὖθις ἦλθε Μηδοσάδης οὗτος, ἐπεὶ ἐγὼ διέβην πάλιν ἐπὶ τὸ στράτευμα ἐκ Παρίου, ὑπισχνούμενος, εἰ ἄγοιμι τὸ στράτευμα πρὸς σέ, τἄλλα τέ σε φίλῳ μοι χρήσεσθαι καὶ ἀδελφῷ καὶ τὰ παρὰ θαλάττῃ μοι χωρία, ὧν σὺ κρατεῖς, ἔσεσθαι παρὰ σοῦ. ἐπὶ τού- 26
τοις πάλιν ἤρετο τὸν Μηδοσάδην, εἰ ἔλεγε ταῦτα. ὁ δὲ συνέφη καὶ ταῦτα. Ἴθι νῦν, ἔφη, ἀφήγησαι τούτῳ τί σοι ἀπεκρινάμην ἐν Καλχηδόνι πρῶτον. Ἀπεκρίνω, ὅτι τὸ στράτευμα διαβήσοιτο 27
εἰς Βυζάντιον καὶ οὐδὲν τούτου ἕνεκα δέοι τελεῖν οὔτε σοὶ οὔτε ἄλλῳ· αὐτὸς δέ, ἐπεὶ διαβαίης, ἀπιέναι ἔφησθα· καὶ ἐγένετο οὕτως ὥσπερ σὺ ἔλεγες. Τί γὰρ ἔλεγον, ἔφη, ὅτε κατὰ Σηλυ- 28

— *πάντων*, Gen. part. zum Superlativ. — *μάλιστα* beschränkt die Eigenschaft im Superlativ auf die Nacht.

§. 23—38. Xenophons Unterredung und Verhandlung mit Seuthes.

§. 23. *ἔνδον*, im Thurme. Anders VII, 1, 19. — *μέν* vor *πρῶτον* zur Betonung des Prädicats. — *κατὰ τὸν Θρᾴκ. νόμον* gehört z. *κέρατα*. Vergl. VI, 1, 4.

§. 24. Vergleiche wegen der Darstellung V, 8, 2. — *ἔπεμψας*, s. VII, 1, 5. — *τουτονί* mit einer Handbewegung zu denken. — *συμπροθυμηθ.*, s. III, 1, 9 z. d. W. — *δεόμενος* nach I, 1, 6 z. *ἐπιβουλ.* 1. — *ποιήσειν*, warum können Subj. u. Obj. fehlen?

§. 25. *ταῦτα εἰπών*, s. I, 3, 13 z. d. W. — *ἔφη* = bejahen. — *αὖθις*, s. oben §. 10. — *οὗτος* warum am Ende? — *τἄλλα*, s. IV, 8, 20 z. d. W. — *χρήσεσθαι*, Zwischenstellung. — *ἀδελφῷ*, auch wir gebrauchen 'Bruder' oft von befreundeten Personen. — *τὰ* — *χωρία* durch ein Hauptwort. — Näheres VII, 5, 8.

§. 26. *ἴθι νῦν*, wohlan, nun, agedum. — *τί*, s. I, 3, 18.

§. 27. *οὐδέν* geh. zu *τελεῖν*. — *οὔτε* — *οὔτε*, erklärender Zusatz. — *αὐτὸς δέ*, s. I, 3, 8 u. IV, 1, 24 z. d. W. — *ἐγένετο* frei: 'es kam'.

§. 28. *τί γάρ* = quid igitur, findet sich in lebhaften Uebergängen. — *ἔφη*, Xenophon. — *Σηλυβρίαν*, Stadt zwischen Byzantion und Perinthos, jetzt Siliwri. — *οὐκ ἔφησθα*, s. I, 3, 1 z. d. W. — *διαβαίνειν* hängt nach der griechischen Prägnanz, aus einem

βρίαν ἀφίκου; Οὐκ ἔφησθα οἷόν τε εἶναι, ἀλλ' εἰς Πέρινθον
29 ἐλθόντας διαβαίνειν εἰς τὴν Ἀσίαν. Νῦν τοίνυν, ἔφη ὁ Ξενοφῶν, πάρειμι καὶ ἐγὼ καὶ οὗτος Φρυνίσκος εἷς τῶν στρατηγῶν καὶ Πολυκράτης οὗτος εἷς τῶν λοχαγῶν, καὶ ἔξω εἰσὶν ἀπὸ τῶν στρατηγῶν ὁ πιστότατος ἑκάστῳ πλὴν Νέωνος τοῦ Λακωνικοῦ.
30 εἰ οὖν βούλει πιστοτέραν εἶναι τὴν πρᾶξιν, καὶ ἐκείνους κάλεσαι. τὰ δὲ ὅπλα σὺ ἐλθὼν εἰπέ, ὦ Πολύκρατες, ὅτι ἐγὼ κελεύω καταλιπεῖν, καὶ αὐτὸς ἐκεῖ καταλιπὼν τὴν μάχαιραν εἴσιθι.

31 Ἀκούσας ταῦτα ὁ Σεύθης εἶπεν, ὅτι οὐδενὶ ἂν ἀπιστήσειεν Ἀθηναίων· καὶ γὰρ ὅτι συγγενεῖς εἶεν εἰδέναι καὶ φίλους εὔνους ἔφη νομίζειν. μετὰ ταῦτα δ', ἐπεὶ εἰσῆλθον οὓς ἔδει, πρῶτον Ξενοφῶν ἐπήρετο Σεύθην, ὅ,τι δέοιτο χρῆσθαι τῇ στρα-
32 τιᾷ. ὁ δὲ εἶπεν ὧδε. Μαισάδης ἦν πατήρ μοι, ἐκείνου δὲ ἦν ἀρχὴ Μελανδῖται καὶ Θυνοὶ καὶ Τρανίψαι. ἐκ ταύτης οὖν τῆς χώρας, ἐπεὶ τὰ Ὀδρυσῶν πράγματα ἐνόσησεν, ἐκπεσὼν ὁ πατὴρ αὐτὸς μὲν ἀποθνήσκει νόσῳ, ἐγὼ δ' ἐξετράφην ὀρφανὸς
33 παρὰ Μηδόκῳ τῷ νῦν βασιλεῖ. ἐπεὶ δὲ νεανίσκος ἐγενόμην, οὐκ ἐδυνάμην ζῆν εἰς ἀλλοτρίαν τράπεζαν ἀποβλέπων· καὶ

negativen Worte bei einem mit einer adversativen Conjunction eingeleiteten Gegensatze ein affirmatives zu ergänzen, von einem aus οὐκ — εἶναι zu denkenden χρῆναι ab; cfr. I, 3, 15 z. ὡς δέ.

§. 29. καὶ ἐγὼ zur Verstärkung der Aufzählung wiederholt. — Warum πάρειμι im Singular? — οὗτος jedesmal mit einer Handbewegung verbunden. — εἰσίν, Xenoph. hat die Mehrheit im Sinne u. ὁ πιστότατος ist zu dem allgemeinen Subj. distributives Attribut; im D. füge davor 'und zwar' ein. — Νέωνος hängt auch von ἀπό ab.

§. 30. πρᾶξις, Verhandlung. — κάλεσαι, s. III, 3, 1 z. d. W. u. I, 1, 3 z. συλλαμβ. — τὰ δ' ὅπλα und καταλιπεῖν, betonte Stellung.

§. 31. ἀκούσας, s. II, 4, 18 z. d. W. — ὅτι οὐδενὶ κ. τ. λ. ist eigentlich Nachsatz zu einem verschwiegenen Bedingungssatze, deshalb ἄν. Beachte, dass nachher statt des Optativs εἰδέναι folgt. — συγγενεῖς, Seuthes identificiert nämlich seinen Ahn Teres mit dem mythischen Tereus, der des attischen Königs Pandion Tochter Prokne zur Frau hatte. — φίλους, die Athener. — ἔφη, 'fuhr fort'. — νομίζειν sc. αὐτοὺς εἶναι. — ὅ,τι ist mit χρῆσθαι zu verbinden, s. I, 3, 18 u. I, 2, 10 z. τὰ Λύκαια ἔθυσ.

§. 32. ἦν vom Prädicatsnomen attrahiert. I, 4, 5 stand deshalb der Plur. — Μελανδῖται, Volk statt Land: 'Das Land der'. — Diese sowie die andern waren Völker Thrakiens. — νοσεῖν von innerer Zerrüttung der Staaten und Städte ist eine bei d. Griech. beliebte Metapher. Aehnlich sagt Cicero einmal: tot oppidûm cadavera. — ἐκπεσών, aus dem Lande der vorher genannten drei Stämme, die sich von der Herrschaft der Odrysen Könige frei gemacht hatten. S. I, 1, 7 z. d. W.

§. 33. εἰς ἀλλοτρ. τράπ. ἀποβλέπων, wir sagen derber: 'seine Füsse unter eines andern Tisch

ἐκαθεζόμην ἐνδίφριος αὐτῷ ἱκέτης δοῦναί μοι ὁπόσους δυ-
νατὸς εἴη ἄνδρας, ὅπως καὶ τοὺς ἐκβαλόντας ἡμᾶς εἴ τι δυ-
ναίμην κακὸν ποιοίην καὶ ζῴην μὴ εἰς τὴν ἐκείνου τράπεζαν
ἀποβλέπων ὥσπερ κύων. ἐκ τούτου μοι δίδωσι τοὺς ἄνδρας 34
καὶ τοὺς ἵππους, οὓς ὑμεῖς ὄψεσθε, ἐπειδὰν ἡμέρα γένηται.
καὶ νῦν ἐγὼ ζῶ τούτους ἔχων, ληζόμενος τὴν ἐμαυτοῦ πα-
τρῴαν χώραν. εἰ δέ μοι ὑμεῖς παραγένοισθε, οἶμαι ἂν σὺν τοῖς
θεοῖς ῥᾳδίως ἀπολαβεῖν τὴν ἀρχήν. ταῦτ' ἐστὶν ἃ ἐγὼ ὑμῶν
δέομαι.

Τί ἂν οὖν, ἔφη ὁ Ξενοφῶν, σὺ δύναιο, εἰ ἔλθοιμεν, τῇ 35
τε στρατιᾷ διδόναι καὶ τοῖς λοχαγοῖς καὶ τοῖς στρατηγοῖς; λέξον,
ἵνα οὗτοι ἀπαγγέλλωσιν. ὁ δ' ὑπέσχετο τῷ μὲν στρατιώτῃ κυ- 36
ζικηνόν, τῷ δὲ λοχαγῷ διμοιρίαν, τῷ δὲ στρατηγῷ τετραμοι-
ρίαν, καὶ γῆν, ὁπόσην ἂν βούλωνται, καὶ ζεύγη καὶ χωρίον ἐπὶ
θαλάττῃ τετειχισμένον. Ἐὰν δέ, ἔφη ὁ Ξενοφῶν, ταῦτα πειρώ- 37
μενοι μὴ διαπράξωμεν, ἀλλά τις φόβος ἀπὸ Λακεδαιμονίων ᾖ,
δέξει εἰς τὴν σεαυτοῦ, ἐάν τις ἀπιέναι βούληται παρὰ σέ; ὁ δ' 38
εἶπε, Καὶ ἀδελφούς γε ποιήσομαι καὶ ἐνδιφρίους καὶ κοινωνοὺς
ἁπάντων ὧν ἂν δυνώμεθα κτᾶσθαι. σοὶ δέ, ὦ Ξενοφῶν, καὶ
θυγατέρα δώσω καί, εἴ τις σοὶ ἔστι θυγάτηρ, ὠνήσομαι Θρα-

stecken'. — ἐνδίφριος auf die Person bezogen. — Die Thraker sassen am Tische. — ἱκέτης bildet eigentlich mit ἐκαθεζόμην einen Begriff, weil aber δοῦναι von dieser Phrase abhängt, so übersetze ἱκέτης als coordiniertes Prädicat. — ὁπόσους. — ἄνδρας, contrahierter Relativsatz. — ἡμᾶς, mich und meine Angehörigen. — ζῴην, 'leben könne'. — μὴ βλέπων, s. I, 2, 22 z. οὐδενὸς κωλύοντος. — ἐκείνου, s. I, 2, 15 z. d. W.

§. 34. τὴν — χώραν, im D. ein Hauptwort. — ταῦτ' ἐστίν, Asyndeton summativum. — μοι ὑμεῖς u. nachher ἐγὼ ὑμῶν, s. IV, 6, 16 z. κἀγὼ ὑμᾶς. — ἃ = wozu.

§. 35. Τί ἂν οὖν, Fragewort durch ἄν u. οὖν betont voran, dann folgt Prädicat, dann Zwischensatz, dann der objective Infin. zwischengestellt. Auch die Stellung des λέξον ist zu beachten.

§. 36. τῷ στρατιώτῃ, Excurs §. 5. — ζεύγη, Ackergeräthe.

§. 37. ταῦτα πειρώμενοι, eigentl. διαπράττειν zu denken; frei: 'diesen Versuch, die Leute zu dir zu führen'. — φόβος ἀπό, wir sagen: 'vor'; was liegt in ἀπό? — τὴν σεαυτοῦ, nämlich χώραν. — ἐάν τις können wir relativ 'den, welcher etwa' anknüpfen. Das Polysyndeton soll die Fülle der Versprechungen hervorheben.

§. 38. καὶ — γε = immo etiam. — ἀδελφούς nach dem collectiven τίς. — ὧν, Attraction. — ὠνήσομαι, schon bei Homer Od. 8, 318 geben die Freier die ἕδνα. Von den Thrakern sagt Herod. V, 6: ὠνέονται τὰς γυναῖκας παρὰ τῶν γονέων χρημάτων μεγάλων. Von den alten Deutschen berichtet Tacitus Germ. 13 dasselbe. — Βισάνθην an der Propontis, j. Rodosto. Nep. Alc. 7: tria castella communivit Bornos Bisanthen Neontichos. — ὅπερ —

κίῳ νόμῳ, καὶ Βισάνθην οἴκησιν δώσω, ὅπερ ἐμοὶ κάλλιστον χωρίον ἐστὶ τῶν ἐπὶ θαλάττῃ.

III. Ἀκούσαντες ταῦτα καὶ δεξιὰς δόντες καὶ λαβόντες ἀπή-
λαυνον· καὶ πρὸ ἡμέρας ἐγένοντο ἐπὶ τῷ στρατοπέδῳ, καὶ
2 ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ὁ
μὲν Ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς καὶ λοχαγούς.
τοῖς δ' ἔδοξε τὴν μὲν πρὸς Ἀρίσταρχον ὁδὸν ἐᾶσαι, τὸ δὲ στρά-
τευμα συγκαλέσαι. καὶ συνῆλθον πάντες πλὴν οἱ Νέωνος· οὗ-
3 τοι δὲ ἀπεῖχον ὡς δέκα στάδια. ἐπεὶ δὲ συνῆλθον, ἀναστὰς
Ξενοφῶν εἶπε τάδε. Ἄνδρες, διαπλεῖν μὲν ἔνθα βουλόμεθα
Ἀρίσταρχος τριήρεις ἔχων κωλύει· ὥστε εἰς πλοῖα οὐκ ἀσφαλὲς
ἐμβαίνειν· οὗτος δὲ αὐτὸς κελεύει εἰς Χερρόνησον βίᾳ διὰ τοῦ
ἱεροῦ ὄρους πορεύεσθαι· ἢν δὲ κρατήσαντες τούτου ἐκεῖσε ἔλ-
θωμεν, οὔτε πωλήσειν ἔτι ὑμᾶς φησιν ὥσπερ ἐν Βυζαντίῳ, οὔτε
ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθόν, οὔτε περιό-
4 ψεσθαι ἔτι ὥσπερ νυνὶ δεομένους τῶν ἐπιτηδείων. οὗτος μὲν
ταῦτα λέγει· Σεύθης δέ φησιν, ἂν πρὸς ἐκεῖνον ἴητε, εὖ ποιή-
σειν ὑμᾶς. νῦν οὖν σκέψασθε, πότερον ἐνθάδε μένοντες τοῦτο
5 βουλεύσεσθε ἢ εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες. ἐμοὶ μὲν οὖν

θαλάττῃ frei: 'welches die — von meinen Besitzungen an der Küste ist'. Beachte auch bei diesen Versprechungen das Polysyndeton.

III. Vereinigung der Griechen mit Seuthes und Ausmarsch gegen dessen Feinde.

§. 1—6. Die Griechen beschliessen auf des Xenophon Bericht zum Seuthes zu ziehen.

§. 1. ἀκούσ. ταῦτα nach I, 3, 13 in den Satz v. δόντες nach I, 1, 6 z. ἐπιβουλ. aufzunehmen. — καὶ λαβόντες im D. genügt das Adverb. 'gegenseitig'. — ἀπήλαυνον, sie waren also zu Pferde, was aus VII, 2, 17 nicht erhellte. — ἀπήγγειλ., ἀπό die erwartete, somit nöthige Nachricht. S. I, 1, 8 z. ἀπέπεμπε. — ἕκαστοι, im D. ein anderer Numerus.

§. 2. ἐκάλει, s. I, 1, 3 z. συλλαμβ. — ἐᾶσαι — συγκαλέσαι, ein Homoioteleuton.

§. 3. ἐπεὶ δὲ συνῆλθ., s. I, 3, 4 z. ἐπειδή. — διαπλεῖν gehört z. βουλόμεθα u. κωλύει. — ἔνθα, s. II, 3, 19 z. d. W. — οὗτος δὲ αὐτός zur Hebung des Gegensatzes zu dem Vorhergehenden. — εἰς Χερρόνησον betont. — διὰ τ. ἱεροῦ ὄρους, s. VII, 1, 14 z. d. W. — φησίν, 'verspricht'. — Im Folgenden beachte den Wechsel des Subjects bei den Infin., ferner die des bittersten Sarkasmos volle Anaphora von οὔτε — ἔτι, die Stellung von ὑμᾶς und die Ausdrücke, die gegen Aristarchos einnehmen sollen. Auch der Gegensatz, dass Xenoph. beim Arist. länger verweilt und ins Einzelne geht, beim Seuthes im §. 4 sich mit dem εὖ ποιήσειν ὑμᾶς begnügt, ist vom Redner wohl berechnet. — περιόψ. c. Part. s. I, 1, 7 z. βουλευομ.

§. 4. ἐκεῖνον wird oft auf das unmittelbar vorangehende Nomen bezogen. Warum? s. I, 2, 15 z. d. W. — μένοντες — ἐπανελθόντες, Chiasmus. — τοῦτο, ob sie dem Aristarchos folgen oder zum Seuthes ziehen wollen. — εἰς τὰ ἐπιτήδεια, in Xenophontischer

δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον ἔχομεν ὥστε ἀγοράζειν οὔτε
ἄνευ ἀργυρίου ἐῶσι λαμβάνειν, ἐπανελθόντας εἰς τὰς κώμας,
ὅθεν οἱ ἥττους ἐῶσι λαμβάνειν, ἐκεῖ ἔχοντας τὰ ἐπιτήδεια ἀκού-
οντας, ὅ,τι τις ὑμῶν δεῖται, αἱρεῖσθαι, ὅ,τι ἂν ὑμῖν δοκῇ κρά-
τιστον εἶναι. καὶ ὅτῳ, ἔφη, ταῦτα δοκεῖ, ἀράτω τὴν χεῖρα. ἀνέ- 6
τειναν ἅπαντες. Ἀπιόντες τοίνυν, ἔφη, συσκευάζεσθε, καὶ ἐπει-
δὰν παραγγέλλῃ τις, ἕπεσθε τῷ ἡγουμένῳ.

Μετὰ ταῦτα Ξενοφῶν μὲν ἡγεῖτο, οἱ δ' εἵποντο. Νέων 7
δὲ καὶ παρ' Ἀριστάρχου ἄλλοι ἔπειθον ἀποτρέπεσθαι· οἱ δ'
οὐχ ὑπήκουον. ἐπεὶ δ' ὅσον τριάκοντα σταδίους προεληλύθε-
σαν, ἀπαντᾷ Σεύθης. καὶ ὁ Ξενοφῶν ἰδὼν αὐτὸν προσελάσαι
ἐκέλευσεν, ὅπως ὅτι πλείστων ἀκουόντων εἴποι αὐτῷ ἃ ἐδόκει
συμφέρειν. ἐπεὶ δὲ προσῆλθεν, εἶπε Ξενοφῶν, Ἡμεῖς πορευό- 8
μεθα ὅπου μέλλει ἕξειν τὸ στράτευμα τροφήν· ἐκεῖ δ' ἀκούον-
τες καὶ σοῦ καὶ τῶν τοῦ Λακωνικοῦ αἱρησόμεθα ἃ ἂν κράτιστα
δοκῇ εἶναι. ἢν οὖν ἡμῖν ἡγήσῃ ὅπου πλεῖστά ἐστιν ἐπιτήδεια,
ὑπὸ σοῦ νομιοῦμεν ξενίζεσθαι. καὶ ὁ Σεύθης ἔφη, Ἀλλὰ οἶδα 9
κώμας πολλὰς ἀθρόας καὶ πάντα ἐχούσας τὰ ἐπιτήδεια ἀπεχού-
σας ἡμῶν ὅσον διελθόντες ἂν ἡδέως ἀριστῴητε. Ἡγοῦ τοίνυν,
ἔφη ὁ Ξενοφῶν. ἐπεὶ δ' ἀφίκοντο εἰς αὐτὰς τῆς δείλης, συν- 10
ῆλθον οἱ στρατιῶται, καὶ εἶπε Σεύθης τοιάδε. Ἐγώ, ὦ ἄνδρες,

Einfachheit steht hier nach der Analogie 'Volk statt Land' *τὰ ἐπιτήδεια* für 'die Gegend mit Lebensmitteln'.

§. 5. Xenoph. überlässt den Soldaten die Wahl, giebt aber nur für den Zug zum Seuthes die Gründe an. — *ὥστε*, s. I, 1, 5 u. I, 4, 8 z. d. W. — *ἐῶσι*, die Bewohner der Städte. — *εἰς τὰς κώμας* sind nicht die VII, 2, 1 gemeinten, sondern die, in welche Seuthes im §. 8 sie führen soll. — *τὰς* — 'solche'. Der Artikel steht oft in Bezug auf eine erst folgende Bezeichnung, besonders durch einen relativen Satz. — *ὅθεν*, s. I, 2, 8 z. d. W. — *οἱ ἥττους*, die Dorfbewohner, die uns nicht gewachsen sind. — *ἔχοντας*, frei: 'versehen mit'. — *ὅ,τι*, wozu. — *τίς*, Aristarchos und Seuthes.

§. 6. *ἀνέτειναν*, s. III, 2, 9 z. d. W. — Asyndeton s. I, 3, 20 z. *ἔδοξε*. — *παραγγέλλῃ*, Excurs §. 15. u. 28.

§. 7—14. Die Griechen kommen zum Seuthes.

§. 7. *παρ' Ἀριστάρχου*, s. I, 1, 5 z. *παρὰ βασιλ.*, frei: 'einige andere aus der Umgebung.' — *ἔπειθον*, Impf. d. conat. — *πλείστων ἀκουόντων*, coram plurimis. — *ἃ ἐδόκει*, s. II, 1, 2 z. *ἃ εἶχον*.

§. 8. *ὅπου*, das Demonstr. fehlt, s. I, 2, 1 z. *ὁπόσοι*. — *τῶν τ. Λακωνικοῦ*, die §. 7 erwähnten Abgesandten. — *νομιοῦμεν*, Zwischenstellung.

§. 9. *ἀλλά*, s. I, 7, 6 z. d. W. — *ἀθρόας*, s. IV, 8, 11 z. d. W. und füge hinzu 'bei einander'. — *πάντα* durch Zwischenstellung betont. — *ὅσον* im D.: 'so weit, dass' u. *διελθόντες* frei: 'nach Zurücklegung des Weges'. — *ἡδέως* frei: 'mit bestem Appetite'.

§. 10. *δείλης*, wie stimmt das

δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί, καὶ ὑπισχνοῦμαι ὑμῖν δώσειν τοῖς στρατιώταις κυζικηνόν, λοχαγοῖς δὲ καὶ στρατηγοῖς τὰ νομιζόμενα· ἔξω δὲ τούτων τὸν ἄξιον τιμήσω. σιτία δὲ καὶ ποτὰ ὥσπερ καὶ νῦν ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε· ὁπόσα δ' ἂν ἁλίσκηται ἀξιώσω αὐτὸς ἔχειν, ἵνα ταῦτα διατιθέμενος ὑμῖν
11 τὸν μισθὸν πορίζω. καὶ τὰ μὲν φεύγοντα καὶ ἀποδιδράσκοντα ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ μαστεύειν· ἂν δέ τις ἀνθι-
12 στῆται, σὺν ὑμῖν πειρασόμεθα χειροῦσθαι. ἐπήρετο ὁ Ξενοφῶν, Πόσον δὲ ἀπὸ θαλάττης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα; ὁ δ' ἀπεκρίνατο, Οὐδαμῇ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῇ.

13 Μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ· καὶ ἔλεγον πολλοὶ κατὰ ταὐτά, ὅτι παντὸς ἄξια λέγοι Σεύθης· χειμὼν γὰρ εἴη καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ τοῦτο βουλομένῳ δυνατὸν εἴη, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τε [εἴη], εἰ δέοι ὠνουμένους ζῆν, ἐν τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ Σεύθου ἢ μόνους ὄντων ἀγαθῶν τοσούτων· εἰ δὲ μισθὸν
14 προσλήψοιντο, εὕρημα ἐδόκει εἶναι. ἐπὶ τούτοις εἶπεν ὁ Ξενοφῶν, Εἴ τις ἀντιλέγει, λεγέτω· εἰ δὲ μή, ἐπιψηφίζω ἐγὼ ταῦτα. ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισε, καὶ ἔδοξε ταῦτα. εὐθὺς δὲ Σεύθῃ εἶπε ταῦτα, ὅτι συστρατεύσοιντο αὐτῷ.

15 Μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνησαν, στρατη-

mit des Seuthes ἀριστφ́ητε? — κυζικηνόν, Excurs §. 5. — λαμβάνοντες ἕξετε, Umschreibung des λήψεσθε. — ἀξιώσω, im D. genügt das Praes. — πορίζω, s. I, 3, 5 z. ἐρεῖ.

§. 11. τὰ μὲν φεύγοντα, das Neutrum von Menschen und Vieh dient zur Bezeichnung der Mehrheit. Wegen der Bedeutung s. I, 4, 8 z. ἀποδεδρ. — διώκειν, wegen ihrer Reiterei. — μαστεύειν, wegen der Ortskenntniss.

§. 12. ἐπήρετο, s. II, 1, 22 z. ἀπεκρίν. — θαλάττης, hier die Propontis. — ἀξιώσεις — στράτ., im D. mache στράτ. z. Subj. u. ἀξιώσ. übersetze durch ein Hülfszeitwort. — οὐδαμῇ — πολλαχῇ, Chiasmus. — ἡμερῶν, im §. 16 steht ὁδόν dabei.

§. 13. ἐδίδοτο, das Heer war stimmberechtigt, Exc. §. 21, und so wird, ohne dass es früher erwähnt wurde, auch in andern Versammlungen der Herold zum Sprechen aufgefordert haben. — κατὰ ταὐτά wird im Folgenden erklärt. — χειμὼν γὰρ εἴη, die orat. obliq. wird durch einen erklärenden Hauptsatz mit γάρ im Optat. fortgesetzt, der gleichsam noch von ὅτι abhängt. S. auch IV, 6, 13 z. μένοιεν. — ὠνουμένους im D. Inf., so dass ζῆν unübersetzt bleibt. — εὕρημα, s. II, 3, 18 z. d. W. — ἐδόκει, beachte den Indicativ.

§. 14. ἀντιλέγει, 'andrer Meinung sein'.

§. 15—33. Festmahl beim Seuthes. §. 15—20. Herakleides fordert die Eingeladenen auf, den Seuthes zu beschenken.

γοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκάλεσε, πλησίον κώμην ἔχων. ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν ὡς ἐπὶ δεῖπνον παριόντες, 16
ἦν τις Ἡρακλείδης Μαρωνείτης· οὗτος προσιὼν ἑνὶ ἑκάστῳ οὕστινας ᾤετο ἔχειν τι δοῦναι Σεύθῃ, πρῶτον μὲν πρὸς Παριανούς τινας, οἳ παρῆσαν φιλίαν διαπραξόμενοι πρὸς Μήδοκον τὸν Ὀδρυσῶν βασιλέα καὶ δῶρα ἄγοντες αὐτῷ τε καὶ τῇ γυναικί, ἔλεγεν, ὅτι Μήδοκος μὲν ἄνω εἴη δώδεκα ἡμερῶν ἀπὸ θαλάττης ὁδόν, Σεύθης δ' ἐπεὶ τὸ στράτευμα τοῦτο εἴληφεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. γείτων οὖν ὢν ἱκανώτατος ἔσται 17
ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν. ἢν οὖν σωφρονῆτε, τούτῳ δώσετε ὅ,τι ἂν ἄγητε· καὶ ἄμεινον ὑμῖν διακείσεται ἢ ἐὰν Μηδόκῳ τῷ πρόσω οἰκοῦντι δῶτε. τούτους μὲν οὕτως ἔπειθεν. 18
αὖθις δὲ Τιμασίωνι τῷ Δαρδανεῖ προσελθών, ἐπεὶ ἤκουσεν αὐτῷ εἶναι καὶ ἐκπώματα καὶ τάπιδας βαρβαρικάς, ἔλεγεν, ὅτι νομίζοιτο, ὁπότε ἐπὶ δεῖπνον καλέσαι Σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς κληθέντας. οὗτος δ' ἢν μέγας ἐνθάδε γένηται, ἱκανὸς ἔσται σε καὶ οἴκαδε καταγαγεῖν καὶ ἐνθάδε πλούσιον ποιῆσαι. τοιαῦτα προὐμνᾶτο ἑκάστῳ προσιών. προσελθὼν δὲ καὶ Ξενο- 19

§. 15. κατὰ τάξεις, s. Excurs §. 47. — ἐσκήνησαν, s. IV, 5, 33 z. d. W.

§. 16. ἐπὶ θύραις, seines Quartiers im Dorfe. — ἦν τις, s. I, 9, 14 z. ἦν u. III, 1, 26 z. πλήν. Im D. kann ἦν u. οὗτος unübersetzt bleiben, Xenoph. wählt den Hauptsatz, um auf den Herakleides mit Nachdruck aufmerksam zu machen, von dessen Betragen ein alter Rhetoriker sagt: ταῦτα γὰρ καὶ χάριν τινὰ ἐμφαίνει καὶ κατηγορίαι εἰσὶν ἀποκεκρυμμέναι. Das Letztere wird uns namentlich im Cap. V u. VI klar werden. — Μαρωνείτης, Maroneia lag östlich von Abdera. — οὕστινας, weil nach dem collectiven ἕκαστος das Demonstr. τούτων ausgelassen ist. — Acc. c. Inf. im Relativsatze, s. I, 9, 29 z. ὅν. — Παριανούς, s. VII, 2, 7. — πρῶτον μέν, ihm entspricht §. 18 αὖθις δέ. — πρός, s. I, 1, 10. — δῶρα ἄγοντες, orientalische Gesandte kommen noch jetzt stets mit Geschenken, weil unter den Orientalen die Ueberzeugung herrscht, Niemand dürfe sich einer mächtigen Person nahen, ohne ihr Geschenke zu bringen, weil jeder, der vor einem Mächtigen erscheine, auch irgend etwas von ihm haben wolle, es also nicht mehr als billig sei, das zu Erbittende gewissermassen voraus zu bezahlen. Von den Königen der Odrysen sagt Thuk. II, 97: κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξί, λαμβάνειν μᾶλλον ἢ διδόναι u. οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. — Im D. füge 'deshalb' vor δῶρα ein. — ἄνω — im Binnenlande, VII, 1, 28 u. I, 2, 1 z. d. W. — ἄρχων, s. VII, 2, 34.

§. 17. ἔσται, Uebergang in die orat. dir. — ἄμεινον διακείσεται 'es wird besser für euch sein'. S. II, 5, 27. — Der folgende Bedingungssatz ist in passender Form eigentlich zweimal zu denken.

§. 18. καλέσαι, Optat. iterat. — δωρεῖσθαι, warum Medium? — ἐνθάδε d. h. ἐπὶ θαλάττῃ. — καταγαγεῖν, s. I, 1, 7 z. d. W. Zur Sache V, 6, 21 sq. — τοιαύ-

φῶντι ἔλεγε, Σὺ καὶ πόλεως μεγίστης εἶ καὶ παρὰ Σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι, καὶ ἐν τῇδε τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβάνειν, ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν· ἄξιον οὖν σοι καὶ μεγαλοπρεπέστατα τιμῆσαι Σεύ-
20 θην. εὔνους δέ σοι ὢν παραινῶ· εὖ οἶδα γάρ, ὅτι ὅσῳ ἂν μείζω τούτῳ δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ πείσει. ἀκούων ταῦτα Ξενοφῶν ἠπόρει· οὐ γὰρ διεβεβήκει ἔχων ἐκ Παρίου εἰ μὴ παῖδα καὶ ὅσον ἐφόδιον.

21 Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳκῶν οἱ κράτιστοι τῶν παρόντων καὶ οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων καὶ εἴ τις πρεσβεία παρῆν ἀπὸ πόλεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ· ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δ᾽ ἦσαν κρεῶν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται με-
22 γάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. μάλιστα δ᾽ αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. καὶ πρῶτος τοῦτο ἐποίει Σεύθης· ἀνελόμενος τοὺς ἑαυτῷ παρακειμένους ἄρτους διέκλα κατὰ μικρὸν καὶ ἐρρίπτει οἷς αὐτῷ ἐδό-

τα, Obj. z. προὐμνᾶτο nach I, 2, 10 z. τὰ Λύκαια ἔθυσ. z. erklären. Im D. kann dafür 'so' od. 'in solcher Weise' stehen. — προὐμνᾶτο, Impf. des conat.

§. 19. πόλεως, Gen. des Ursprungs steht prädicativ. — μεγίστης — μέγιστον, Antistrophe. — τείχη, das Umschliessende für das Umschlossene, s. III, 4, 10 z. d. W. — ἄλλοι, welchen Griechen er meint, ist im Cornel nachzulesen. — καί, s. I, 9, 5 z. d. W. Solche Superlative übersetzen wir durch 'auf das'.

§. 20. ὅσῳ — πείσῃ, Anaphora und Homoioteleuta. — ὅσῳ ἂν s. I, 3, 15 z. ὃν ἂν ἕλησθε. — οὐ gegensätzlich an die Spitze gestellt, geh. zu ἔχων. Im D. wird ἔχων Prädic. und διεβεβήκ. durch ein Hauptwort mit Präpos. — εἰ μή = ausser. — ὅσον ἐφόδιον eigentlich ein contrahierter Nebensatz. Im D. gebrauche frei das Adj. 'hinreichend'.

§. 21—25. Die Mahlzeit.

§. 21. τῶν Θρᾳκῶν — τῶν Ἑλλήνων, Chiasmus. — τῶν παρόντων, kann man im D. z. τῶν Θρᾳκ. ziehen. — εἴ τις = ὅστις, vergl. V, 3, 3 z. d. W. — πρεσβεία, Abstracta in collectivem Sinne stehen oft statt der Concreta. — τὸ δεῖπν. — κύκλῳ. Eigtl.: 'fand (Sitzenden) im Sitzen statt'. Im D. mache καθημέν. zum Prädicat, zum Subjecte 'sie'. — Dem μέν entspricht ἔπειτα δέ. Zur Sache s. VII, 2, 33 z. ἐνδίφριος. — τρίποδες, mensae tripodes. πᾶσιν, weil ein Tisch mit dem, was darauf stand und lag, für alle d. h. für Seuthes und seine Gäste bestimmt war und nicht je ein Tisch für je einen Gast. — ἄρτοι waren platt wie unsre Kuchen, daher auch im §. 22 διέκλα nach orientalischer Sitte. — μεγάλοι, §. 23 τριχοίνικον.

§. 22. μάλιστα mit Nachdruck voran und durch ἀεί nachher verstärkt. — τράπεζαι i. q. τρίποδες. — τοῦτο weist auf das Folgende hin. Von dieser Sitte des Brod- und Fleisch-Zuwerfens sagt ein Reisender: 'Noch heute gilt es bei den Kaukasus-Völkern für schimpflich, ein ehrenhalber zugeworfenes Stück Fleisch nicht ge-

κει, καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ ταὐτὰ ἐποίουν, καθ' οὓς αἱ τρά- 23
πεζαι ἔκειντο. Ἀρκὰς δέ τις Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαρριπτεῖν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα ἐδείπνει. κέρατα 24
δὲ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· ὁ δ' Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκεν, εἶπεν ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα, Ἐκείνῳ, ἔφη, δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δὲ οὐδέπω. ἀκούσας Σεύθης τὴν φωνὴν ἠρώτα 25
τὸν οἰνοχόον, τί λέγει. ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.

Ἐπεὶ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ ἵππον 26
ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστὸν εἶπε, Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ' οὗ καὶ διώκων ὃν ἂν θέλῃς αἱρήσεις καὶ ἀποχωρῶν οὐ μὴ δείσῃς τὸν πολέμιον. ἄλλος παῖδα εἰσαγαγὼν οὕτως ἐδωρήσατο προπίνων, καὶ ἄλλος 27
ἱμάτια τῇ γυναικί. καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν καὶ τάπιδα ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις 28
Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος τοὺς

schickt aufzufangen'. — ὅσον μόνον = 'nur so viel als', s. oben §. 20 u. IV, 1, 5 z. d. W.

§. 23. κατὰ ταὐτά umschreibt das Adverb der Weise. — φαγεῖν δεινός frei: 'ein starker Esser'. — χαίρειν ἐᾶν ist die gewöhnliche Abschiedsformel='Valetsagen' d. h. hier = 'aufgeben, unterlassen'. — τριχοίνικον, Excurs § 51, 3. Um das drei zu behalten, übersetze: drei Portionen Brod.

§. 24. περιέφερον, Subj. kann fehlen, weil jeder weiss, dass dies das Geschäft des οἰνοχόος ist. — Hiermit beginnt der zweite Theil des Mahls. — ὁ δ' Ἀρύστας setze im D. statt παρ' αὐτὸν in den Nebensatz.

§. 25. ὁ δὲ οἰνοχόος, der Deutlichkeit wegen wiederholt. — ἑλληνίζειν, Bemerkung des Xenoph., doch versteht sich von selbst, dass der Weinschenk das, was der Grieche gesagt, dem Seuthes in thrakischer Sprache referiert.

§. 26—33. Was einzelne dem Seuthes während des Gelages schenken.

§. 26. ἔχων nach I, 1, 2 z. λαβών; λαβών hier nach I, 1, 6 z. ἐπιβουλ. 2. — ἵππον λευκόν, ein Hauptwort. — δωροῦμαι: 'Es war griechische Sitte der Zechfreunde, dass der Vortrinkende demjenigen, welchem er zutrank, zugleich den Becher oder Anderes zum Geschenk machte'. — Aus dieser Sitte entlehnt Demosthen. sarkastische Bilder: ἄνθρωποι μιαροί, τὴν ἐλευθερίαν προπεπωκότες Φιλίππῳ. — ὃν ἂν θέλῃς frei: 'jeden Beliebigen'. — οὐ μή, s. II, 2, 12 z. οὐκέτι μή.

§. 27. ἄλλος, fortschreitendes Asyndeton. — προπίνων ist Erklärung von οὕτως.

§. 28. κάλλιστος im Gegensatz zu der thrakischen im §. 16. — οἱ ἔχοντες substantiviert: 'die Besitzenden, die Reichen'. Bei Anaphora der Stellung ist Chiasmus des Gedankens. — ἵνα ist specielle Anwendung des in τοῖς μὴ ἔχουσι liegenden allgemeinen Gedankens, aus

μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα, ἵνα κἀγώ, ἔφη, ἔχω σοι δωρεῖσθαι καὶ
29 τιμᾶν. ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, τί ποιήσει· καὶ γὰρ ἐτύγχανεν ὡς τιμώμενος ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. ὁ δὲ Ἡρακλείδης ἐκέλευεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. ὁ δὲ Ξενοφῶν, ἤδη γαρ ὑποπεπωκὼς ἐτύγχανεν, ἀνέστη θαρραλέως
30 δεξάμενος τὸ κέρας καὶ εἶπεν, Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους εἶναι πιστούς, καὶ οὐδένα ἄκοντα, ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ σοι βουλομέ-
31 νους φίλους εἶναι. καὶ νῦν πάρεισιν οὐδέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέλοντες· μεθ᾽ ὧν, ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψει πατρῴαν οὖσαν, τὴν δὲ κτήσει, πολλοὺς δὲ ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας κατακτήσει, οὓς οὐ λῄζεσθαι σε
32 δεήσει, ἀλλ᾽ αὐτοὶ φέροντες παρέσονται πρός σε δῶρα. ἀναστὰς ὁ Σεύθης συνεξέπιε καὶ συγκατεσκεδάσατο μετ᾽ αὐτοῦ το κέρας. μετὰ ταῦτα εἰσῆλθον κέρασί τε οἵοις σημαίνουσιν αὐλοῦντες καὶ

dem ein: 'Gieb mir also etwas' zu ergänzen ist. Durch diese Wendung hilft sich Gnes. schlau aus der Verlegenheit. — σοί, s. I, 4, 8. z. τούτων στερήσ. — δωρεῖσθαι καὶ τιμᾶν = διδόναι τιμῆς ἕνεκα, also ein Hendiadyoin.

§. 29. ποιήσει, der Indic. Fut. der directen Frage ist hier in der indirecten Frage trotz des vorhergehenden Impf. beibehalten. — Σεύθῃ, Stellung wie IV, 2, 18 z. ἀντίπορον. — τὸν οἰνοχόον warum am Ende? — ἤδη γάρ begründet das folgende θαρραλέως. — ὑπό drückt den Anfang des Rausches aus = 'angetrunken sein'.

§. 30. ἐγὼ δέ, δέ im Gegensatz zu den andern. Sinn: Ich bin arm, ich etc. — τούτους, zwischengestellt, s. IV, 2, 6 z. αὕτη. Im D. gebrauche: 'hier'. — καὶ οὐδένα, dieser Acc. c. Inf. hängt von dem Verb. dic. 'und ich behaupte' ab. Im D. kann man zwei selbständige Sätze anwenden. — μᾶλλον gehört zu βουλομ., also Hervorhebung durch Trennung; auch bei σοί.

§. 31. προϊέμενοι — ἐθέλοντες, Chiasmus zur Hebung des Unterschieds von πονεῖν u. προκινδυνεύειν. — πολλὴν χώραν, wegen der Theilung setze erst ein allgemeines Prädicat und füge dann τὴν μὲν — τὴν δέ durch 'indem theils — theils' an. — ἀπολήψει, ἀπό weil er ein Recht darauf hat.

§. 32. ἀναστάς, Asyndeton s. I, 3, 20 z. ἔδοξε u. II, 4, 18 z. ἀκούσ. — συνεξέπιε, mit Xenoph. um die Wette. — συγκατεσκεδάσατο, die Thraker spritzten die letzten Tropfen auf ihre, nach anderer Meinung auf ihrer Zechgenossen, Kleidung. — Zweck ist unbekannt, man könnte an eine Art Nagelprobe denken. Rehd. erklärt die Stelle so: Xen. kann, wie es scheint, das mächtige Trinkhorn nicht leeren; Seuthes hilft ihm dabei (συνεξέπιε) und macht mit Xen. zusammen das Horn haltend (eine Art Schmollis Trinken) die Nagelprobe gegen sich selber. — μετὰ ταῦτα, der dritte Theil des Mahls beginnt. — αὐλοῦντες u. σαλπίζοντες sind Subjecte des Satzes. Siehe I, 1, 7 z. βουλευομ. Wir: 'Leute, welche'. — κέρασι οἵοις σημαίν, ein zusammengesetztes Hauptwort. Wört-

σάλπιγξιν ὠμοβοείαις ῥυθμούς τε καὶ οἷον μαγάδι σαλπίζοντες.
καὶ αὐτὸς Σεύθης ἀναστὰς ἀνέκραγέ τε πολεμικὸν καὶ ἐξήλατο 33
ὥσπερ βέλος φυλαττόμενος μάλα ἐλαφρῶς. εἰσῆσαν δὲ καὶ
γελωτοποιοί.

Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ Ἕλληνες καὶ 34
εἶπον, ὅτι ὥρα νυκτοφύλακας καθιστάναι καὶ σύνθημα παρα-
διδόναι. καὶ Σεύθην ἐκέλευον παραγγεῖλαι, ὅπως εἰς τὰ Ἑλ-
ληνικὰ στρατόπεδα μηδεὶς τῶν Θρᾳκῶν εἴσεισι νυκτός· οἵ τε
γὰρ πολέμιοι Θρᾷκες [ὑμῖν] καὶ ὑμεῖς οἱ φίλοι. ὡς δ' ἐξῇσαν, 35
συνανέστη ὁ Σεύθης οὐδέν τι μεθύοντι ἐοικώς. ἐξελθὼν δ'
εἶπεν αὐτοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας, Ὦ ἄνδρες, οἱ πολέ-
μιοι ἡμῶν οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν· ἢν οὖν ἔλ-
θωμεν ἐπ' αὐτοὺς πρὶν φυλάξασθαι ὥστε μὴ ληφθῆναι ἢ πα-
ρασκευάσασθαι ὥστε ἀμύνασθαι, μάλιστ' ἂν λάβοιμεν καὶ ἀνθρώ-
πους καὶ χρήματα. συνεπῄνουν ταῦτα οἱ στρατηγοὶ καὶ ἡγεῖσθαι 36
ἐκέλευον. ὁ δ' εἶπε, Παρασκευασάμενοι ἀναμένετε· ἐγὼ δέ,
ὁπόταν καιρὸς ᾖ, ἥξω πρὸς ὑμᾶς, καὶ τοὺς πελταστὰς καὶ ὑμᾶς
ἀναλαβὼν ἡγήσομαι σὺν τοῖς ἵπποις. καὶ ὁ Ξενοφῶν εἶπε, 37
Σκέψαι τοίνυν, εἴπερ νυκτὸς πορευσόμεθα, εἰ ὁ Ἑλληνικὸς
νόμος κάλλιον ἔχει· μεθ' ἡμέραν μὲν γὰρ ἐν ταῖς πορείαις
ἡγεῖται τοῦ στρατεύματος ὁποῖον ἂν ἀεὶ πρὸς τὴν χώραν συμ-

lich: auf Hörnern der Art, mit w. man Signale gibt. Rehd. — σάλπιγξ. ὠμοβοεί., Schlauchtrompeten aus ungegerbter Rindshaut. — ῥυθμοὺς σαλπίζ., nach dem Takte blasen'. — μαγάδι, die Magadis war ein von den Lydern erfundenes Saiteninstrument, das 20 Saiten hatte, die in der Octave zu einander gestimmt waren. Auf dieses Stimmverhältniss bezieht sich der Vergleich οἷον μαγάδι d. h. in der Octave.

§. 33. ἀνέκραγε = 'schreiend ausstossen', daher mit πολεμικόν: 'ein Kriegsgeschrei ausstossen'. Er begleitet die Musik mit Gesang und den Bewegungen eines Waffentanzes. S. VI, 1, 9 sqq.

§. 34—39. Ein nächtlicher Ausmarsch wird verabredet.

§. 34. νυκτοφύλακας, Excurs §. 48. — ὅπως nach dem Verb. des Befehlens statt des gewöhnlichen Inf. ist selten. — Beachte die Wortstellung. — οἵ τε γάρ, orat. directa. — Θρᾷκες, das Prädicat in der Mitte. — Die Griechen wünschen das, weil bei ihnen unter den angegebenen Verhältnissen eine Verwechselung leicht war.

§. 35. οὐδέν τι = nullo modo oder c. Partic. = 'ohne in irgend einer Weise'. — ἀποκαλέσας, ἀπό = 'beiseit'. — οὐκ — πώ, beachte die Trennung der Partikeln. — αὐτούς, s. II, 2, 1 z. d. W., IV, 7, 11. — μή im D. unübersetzt.

§. 36. συνεπῄν. ταῦτα, Asyndeton, s. II, 1, 22 z. ἀπεκρίν.

§. 37. εἴπερ νυκτός, solche Stellung der Sätze noch jetzt in der Volkssprache. Aehnliche Stellung III, 1, 39. III, 2, 31. — κάλλιον ἔχει, im D. adjectivisches Prädicat. — εἰ, s. III, 2, 22 z. d. W. — τοῦ στρατεύμ. ὁποῖον — συμφέρῃ, 'die Waffengattung des Heeres,

φέρῃ, ἐάν τε ὁπλιτικὸν ἐάν τε πελταστικὸν ἐάν τε ἱππικόν· νύ-
38 κτωρ δὲ νόμος τοῖς Ἕλλησιν ἡγεῖσθαί ἐστι τὸ βραδύτατον· οὕτω
γὰρ ἥκιστα διασπᾶται τὰ στρατεύματα καὶ ἥκιστα λανθάνουσιν
ἀποδιδράσκοντες ἀλλήλους· οἱ δὲ διασπασθέντες πολλάκις καὶ
περιπίπτουσιν ἀλλήλοις καὶ ἀγνοοῦντες κακῶς ποιοῦσι καὶ πά-
39 σχουσιν. εἶπεν οὖν Σεύθης, Ὀρθῶς [τε] λέγετε καὶ ἐγὼ τῷ
νόμῳ τῷ ὑμετέρῳ πείσομαι. καὶ ὑμῖν μὲν ἡγεμόνας δώσω τῶν
πρεσβυτάτων τοὺς ἐμπειροτάτους τῆς χώρας, αὐτὸς δ' ἐφέψομαι
τελευταῖος τοὺς ἵππους ἔχων· ταχὺ γὰρ πρῶτος, ἂν δέῃ, παρ-
έσομαι. σύνθημα δ' εἶπον Ἀθηναίαν κατὰ τὴν συγγένειαν.
ταῦτ' εἰπόντες ἀνεπαύοντο.
40 Ἡνίκα δ' ἦν ἀμφὶ μέσας νύκτας, παρῆν Σεύθης ἔχων τοὺς
ἱππέας τεθωρακισμένους καὶ τοὺς πελταστὰς σὺν τοῖς ὅπλοις.
καὶ ἐπεὶ παρέδωκε τοὺς ἡγεμόνας, οἱ μὲν ὁπλῖται ἡγοῦντο, οἱ
41 δὲ πελτασταὶ εἵποντο, οἱ δ' ἱππεῖς ὠπισθοφυλάκουν· ἐπεὶ δ'
ἡμέρα ἦν, ὁ Σεύθης παρήλαυνεν εἰς τὸ πρόσθεν καὶ ἐπῄνεσε
τὸν Ἑλληνικὸν νόμον. πολλάκις γὰρ ἔφη νύκτωρ αὐτὸς καὶ σὺν
ὀλίγοις πορευόμενος ἀποσπασθῆναι σὺν τοῖς ἵπποις ἀπὸ τῶν
πεζῶν· νῦν δ', ὥσπερ δεῖ, ἀθρόοι πάντες ἅμα τῇ ἡμέρᾳ φαινό-
μεθα. ἀλλὰ ὑμεῖς μὲν περιμένετε αὐτοῦ καὶ ἀναπαύεσθε, ἐγὼ
42 δὲ σκεψάμενός τι ἥξω. ταῦτ' εἰπὼν ἤλαυνε δι' ὄρους ὁδόν τινα
λαβών. ἐπεὶ δ' ἀφίκετο εἰς χιόνα πολλήν, ἐσκέψατο, εἰ εἴη ἴχνη
ἀνθρώπων ἢ πρόσω ἡγούμενα ἢ ἐναντία. ἐπεὶ δὲ ἀτριβῆ ἑώρα
43 τὴν ὁδόν, ἧκε ταχὺ πάλιν καὶ ἔλεγεν, Ἄνδρες, καλῶς ἔσται,

welche jedes mal — angemessen ist'. Dieser Satz ist eigentlich Subj., dann folgt mit ἐάν τε — ἐάν τε = sive — sive die Erklärung. Exc. §. 26. — τοῖς Ἕλλησιν, im D. durch eine Präposit. mit ihrem Casus.

§. 38. ἀγνοοῦντες (causal. — καὶ πάσχουσιν, im D. durch das Adverb 'gegenseitig' mit ποιοῦσι zu verbinden.

§. 39. τελευταῖος, s. I, 2, 25 z. προτέρα. — ἵππους, Metonymie: der Träger für das Getragene. — εἶπον = 'bestimmten', sc. Seuthes und die Griechen. — Ἀθηναίαν, ionische Form für Ἀθήνη. — συγγένειαν, s. VII, 2, 31. — ταῦτ' εἰπόντες, abschliessendes Asyndeton, s. I, 3, 13 z. d. W.

§. 40—43. Ausmarsch und Vorfälle während der Nacht.

§. 40. ἀμφὶ μέσ. νύκτας, s. I, 7, 1 z. d. W. — σὺν τοῖς ὅπλοις, im D. durch ein Particip nach Analogie von τεθωρακισμ. — ἐπεὶ παρέδωκε, s. I, 3, 4 z. ἐπειδή.

§. 41. εἰς τὸ πρόσθεν — 'nach vorn'. — καί c. Partic. = 'selbst wenn' u. s. w. — Den Nom. c. Inf. übersetze durch einen Hauptsatz in d. orat. obl. — σὺν τοῖς ἵπποις, 'Rosse' statt 'Reiter', vergl. I, 6, 1 z. οὗτοι. — νῦν δ', Uebergang in orat. dir.

§. 42. ἢ πρόσω — ἤ, Erklärung z. εἰ εἴη.

ἣν θεὸς θέλῃ· τοὺς γὰρ ἀνθρώπους λήσομεν ἐπιπεσόντες. ἀλλ' ἐγὼ μὲν ἡγήσομαι τοῖς ἵπποις, ὅπως, ἄν τινα ἴδωμεν, μὴ διαφυγὼν σημήνῃ τοῖς πολεμίοις· ὑμεῖς δ' ἕπεσθε· κἂν λειφθῆτε τῷ στίβῳ τῶν ἵππων ἕπεσθε. ὑπερβάντες δὲ τὰ ὄρη ἥξομεν εἰς κώμας πολλάς τε καὶ εὐδαίμονας.

Ἡνίκα δ' ἦν μέσον ἡμέρας, ἤδη τε ἦν ἐπὶ τοῖς ἄκροις καὶ 44
κατιδὼν τὰς κώμας ἧκεν ἐλαύνων πρὸς τοὺς ὁπλίτας καὶ ἔλεγεν, Ἀφήσω ἤδη καταθεῖν τοὺς μὲν ἱππέας εἰς τὸ πεδίον, τοὺς δὲ πελταστὰς ἐπὶ τὰς κώμας. ἀλλ' ἕπεσθε ὡς ἂν δύνησθε τάχιστα, ὅπως, ἐάν τις ὑφιστῆται, ἀλέξησθε. ἀκούσας ταῦτα ὁ 45
Ξενοφῶν κατέβη ἀπὸ τοῦ ἵππου. καὶ ὃς ἤρετο, Τί καταβαίνεις, ἐπεὶ σπεύδειν δεῖ; Οἶδα, ἔφη, ὅτι οὐκ ἐμοῦ μόνου δέῃ· οἱ δ' ὁπλῖται θᾶττον δραμοῦνται καὶ ἥδιον, ἐὰν καὶ ἐγὼ πεζὸς ἡγῶμαι. μετὰ ταῦτα ᾤχετο, καὶ Τιμασίων μετ' αὐτοῦ ἔχων ἱππέας 46
ὡς τετταράκοντα τῶν Ἑλλήνων. Ξενοφῶν δὲ παρηγγύησε τοὺς εἰς τριάκοντα ἔτη παριέναι ἀπὸ τῶν λόχων εὐζώνους. καὶ αὐτὸς μὲν ἐτρόχαζε τούτους ἔχων, Κλεάνωρ δ' ἡγεῖτο τῶν ἄλλων Ἑλλήνων. ἐπεὶ δ' ἐν ταῖς κώμαις ἦσαν, Σεύθης ἔχων ὅσον τριά- 47
κοντα ἱππέας προσελάσας εἶπε, Τάδε δή, ὦ Ξενοφῶν, ἃ σὺ ἔλεγες· ἔχονται οἱ ἄνθρωποι· ἀλλὰ γὰρ ἔρημοι οἱ ἱππεῖς οἴχονταί μοι ἄλλος ἄλλῃ διώκων· καὶ δέδοικα μὴ συστάντες ἀθρόοι

§. 43. λήσομεν ἐπιπεσόντες, s. I, 1, 2 z. παρὼν ἐτύγχ. — ὅπως — μή, das Subj. liegt im Obj. des Zwischensatzes, den wir relativ übersetzen können. — ἕπεσθε — ἕπεσθε ist nothwendig; denn das erste setzt voraus, dass die Griechen den Seuthes mit seiner Schaar noch sehen. — πολλάς, s. II, 3, 18 z. d. W.

§. 44—48. Ueberrumpelung der Dörfer in der Ebene.

§. 44. κατιδών, warum κατά? — ἧκεν ἐλαύνων, im D. steht das Part. Praeter. — καταθεῖν, Inf. des Zwecks = ut decurrant.

§. 45. καὶ ὅς, s. I, 8, 16 z. d. W. — σπεύδειν im D. ein Hauptwort. — οὐκ warum so gestellt? Welcher Gedanke ist verschwiegen? — οἶδα Asynd., bei dem das einleitende Wort die zweite Stelle einnimmt. S. I, 3, 20 z. ἔδοξε; im D. kann mit 'weil' subordiniert werden. — πεζός, s. I, 2, 25 z. προτέρα.

§. 46. παριέναι = 'herantreten' sc. zu sich. — τοὺς εἰς τριάκ. ἔτη, Attr., durch einen adject. Zusatz zu übersetzen.

§. 47. τάδε δή sc. ἐστι. Wir sagen: 'Da haben wir' oder 'da ist's (eingetroffen)'. — ἃ σὺ ἔλεγες, entweder hat Xenophon §. 44 bei ἀφήσω eine abrathende Bemerkung gemacht, oder Seuthes bezieht mit einem leichten Missverständniss das §. 37 sqq. Gesagte auch auf diesen Vorfall. — ἔχονται, begründendes Asyndeton. — ἀλλὰ γάρ = 'aber freilich'. ἀλλά bezieht sich auf einen verschwiegenen Gedanken: aber es ist ein grosser Uebelstand dabei, denn. — ἔρημοι d. h. ohne Hopliten und Peltasten. — μοί Dativ. ethicus. — οἴχονται = 'schweifen umher'. — ἄλλος ἄλλῃ,

που κακόν τι ἐργάσωνται οἱ πολέμιοι. δεῖ δὲ καὶ ἐν ταῖς κώμαις
48 καταμένειν τινὰς ἡμῶν· μεσταὶ γάρ εἰσιν ἀνθρώπων. Ἀλλ᾽ ἐγὼ μέν, ἔφη ὁ Ξενοφῶν, σὺν οἷς ἔχω τὰ ἄκρα καταλήψομαι· σὺ δὲ Κλεάνορα κέλευε διὰ τοῦ πεδίου παρατεῖναι την φάλαγγα παρὰ τὰς κώμας. ἐπεὶ δὲ ταῦτα ἐποίησαν, συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ δισχίλιοι, πρόβατα ἄλλα μύρια. τότε μὲν δὴ αὐτοῦ ηὐλίσθησαν.

IV. Τῇ δ᾽ ὑστεραίᾳ κατακαύσας ὁ Σεύθης τὰς κώμας παντελῶς καὶ οἰκίαν οὐδεμίαν λιπών, ὅπως φόβον ἐνθείη καὶ τοῖς
2 ἄλλοις, οἷα πείσονται, ἂν μὴ πείθωνται, ἀπήει πάλιν. καὶ τὴν μὲν λείαν ἀπέπεμψε διατίθεσθαι Ἡρακλείδην εἰς Πέρινθον, ὅπως ἂν μισθὸς γένοιτο τοῖς στρατιώταις· αὐτὸς δὲ καὶ οἱ Ἕλληνες ἐστρατοπεδεύοντο ἀνὰ τὸ Θυνῶν πεδίον. οἱ δ᾽ ἐκλιπόν-
3 τες ἔφευγον εἰς τα ὄρη. ἦν δὲ χιὼν πολλὴ καὶ ψῦχος οὕτως, ὥστε τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο καὶ ὁ οἶνος ὁ ἐν τοῖς ἀγγείοις, καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκαίοντο
4 καὶ ὦτα. καὶ τότε δῆλον ἐγένετο, οὗ ἕνεκα οἱ Θρᾷκες τὰς ἀλωπεκᾶς ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσί, καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις ἀλλὰ καὶ περὶ τοῖς μηροῖς, καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν, ἀλλ᾽ οὐ χλαμύδας.
5 ἀφιεὶς δὲ τῶν αἰχμαλώτων ὁ Σεύθης εἰς τὰ ὄρη ἔλεγεν, ὅτι, εἰ

Paronomasie. — διώκων, Singul. in partitiv. Apposition.

§. 48. σὺν οἷς, Attraction. — ἄλλα, s. I, 5, 5 z. d. W. Gattungsbegriff: 'Beutestücke' oder 'Thiere'.

IV. Zug in das Land der Thynen.

§. 1—4. Einfall in die Ebene der Thynen und Flucht derselben.

§. 1. οἷα, s. I, 7, 4 z. d. W. Dieser abhängige Fragesatz umschreibt das Object: die Furcht vor den Leiden im Fall des Ungehorsams.

§. 2. τὴν λείαν in betonter Stellung gehört z. διατίθεσθαι. Inf. des Zwecks, s. I, 2, 19 z. διαρπάσαι, IV, 5, 22. — ὅπως ἂν — γένοιτο: der Optativ mit ἂν in Finalsätzen zeigt an, dass die Erfüllung der Absicht von dem Eintritte gewisser Umstände bedingt ist. — ἀνά = 'durch — hin'. — Θυνῶν, die Thynen wohnten nordwestlich von Byzantion am Pontus in der Umgegend von Salmydessos und Apollonia. — ἐκλιπόντες warum ohne Object?

§. 3. οὕτως, im D. ein adjectivisches Attribut. — ὥστε, s. I, 1, 5 z. d. W. — ὁ οἶνος, welche Wortstellung? Beachte sie auch im Folgenden. — ῥῖνες καὶ ὦτα, auch im D. fehlt bei diesen Wörtern oft der Artikel. — τῶν Ἑλλήν., Gen. part. z. πολλῶν. — ἀπεκαίοντο, s. IV, 5, 3 z. d. W.

§. 4. χιτών ist das ärmellose Unterkleid. — χλαμύδας, der kurze Kriegsmantel, den gewöhnlich die Reiter trugen. Beachte die im Ganzen anaphorische Stellung der Wörter, namentlich im 1. u. 2. Gliede. — Ovid sagt: Pellibus et sutis arcent male frigora braccis, oraque de toto corpore sola patent.

§. 5—6. Xenophon besetzt die Dörfer am Fusse des Gebirges.

§. 5. τῶν αἰχμαλώτων, Gen. part., s. I, 5, 7 z. τοῦ βαρβαρικοῦ

μὴ καταβήσονται οἰκήσοντες καὶ πείσονται, ὅτι κατακαύσει καὶ
τούτων τὰς κώμας καὶ τὸν σῖτον, καὶ ἀπολοῦνται τῷ λιμῷ. ἐκ
τούτου κατέβαινον καὶ γυναῖκες καὶ παῖδες καὶ [οἱ] πρεσβύτεροι·
οἱ δὲ νεώτεροι ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ηὐλίζοντο. καὶ ὁ 6
Σεύθης καταμαθὼν ἐκέλευε τὸν Ξενοφῶντα τῶν ὁπλιτῶν τοὺς
νεωτάτους λαβόντα συνεπισπέσθαι. καὶ ἀναστάντες τῆς νυκτὸς
ἅμα τῇ ἡμέρᾳ παρῆσαν εἰς τὰς κώμας. καὶ οἱ μὲν πλεῖστοι ἐξέ-
φυγον· πλησίον γὰρ ἦν τὸ ὄρος· ὅσους δὲ ἔλαβε κατηκόντισεν
ἀφειδῶς Σεύθης.

Ἐπισθένης δ' ἦν τις Ὀλύνθιος παιδεραστής, ὃς ἰδων παῖδα 7
καλὸν ἡβάσκοντα ἄρτι πέλτην ἔχοντα μέλλοντα ἀποθνήσκειν,
προσδραμὼν Ξενοφῶντα ἱκέτευε βοηθῆσαι παιδὶ καλῷ. καὶ ὃς 8
προσελθὼν τῷ Σεύθῃ δεῖται μὴ ἀποκτεῖναι τὸν παῖδα, καὶ τοῦ
Ἐπισθένους διηγεῖται τὸν τρόπον, καὶ ὅτι λόχον ποτὲ συνελέ-
ξατο σκοπῶν οὐδὲν ἄλλο ἢ εἴ τινες εἶεν καλοί, καὶ μετὰ τούτων
ἦν ἀνὴρ ἀγαθός. ὁ δὲ Σεύθης ἤρετο, Ἦ καὶ θέλοις ἄν, ὦ Ἐπί- 9
σθενες, ὑπὲρ τούτου ἀποθανεῖν; ὁ δ' ὑπερανατείνας τὸν τρά-
χηλον, Παῖε, ἔφη, εἰ κελεύει ὁ παῖς καὶ μέλλει χάριν εἰδέναι.
ἐπήρετο ὁ Σεύθης τὸν παῖδα, εἰ παίσειεν αὐτὸν ἀντ' ἐκείνου. 10
οὐκ εἴα ὁ παῖς, ἀλλ' ἱκέτευε μηδέτερον κατακαίνειν. ἐνταῦθα
ὁ Ἐπισθένης περιλαβὼν τὸν παῖδα εἶπεν, Ὥρα σοι, ὦ Σεύθη,
περὶ τοῦδέ μοι διαμάχεσθαι· οὐ γὰρ μεθήσω τὸν παῖδα. ὁ δὲ 11
Σεύθης γελῶν ταῦτα μὲν εἴα. ἔδοξε δὲ αὐτῷ αὐτοῦ αὐλισθῆ-

στρατοῦ. — ἔλεγεν, s. I, 1, 3 z. συλλαμβ. u. I, 3, 8 z. d. W. — ὅτι zweimal, wie μή III, 2, 25. — οἰκήσοντες frei: 'in ihre Wohnungen'. — καὶ τούτων, καί wegen §. 1. — τούτων im D. das Pron. poss. — τῷ λιμῷ, Artikel bezeichnet ähnl. wie I, 3, 29 den als nothwendige Folge eintretenden Hunger. — ὑπὸ s. III, 4, 37 z. d. W.

§. 6. παρῆσαν, s. I, 2, 2 z. d. W. — κατηκόντισεν, s. I, 1, 3 z. συλλαμβ. — Warum κατά?

§. 7—11. Wie ein junger Thyne mit dem Leben davon kömmt.

§. 7. Ἐπισθένης, Satzbau wie I, 9, 14 u. VII, 3, 16. Im D. beginne mit einem Zeitsatze, dessen Subj. Ἐπισθένης u. Prädicat ἰδών wird. — Ὀλύνθιος, Olynth war eine griechische Pflanzstadt auf Chalkidike. Vergl. die andere Angabe in I, 10 7 u. IV, 6, 1. — πέλτην ἔχοντα, Beweis der Tapferkeit. — Ξενοφῶντα gehört in verschiedenen Casus zu beiden Verben, deshalb zwischengestellt.

§. 8. καὶ ὅς, s. I. 8, 16 z. d. W. — διηγεῖται — ὅτι, ein Nebensatz an einen Casus gereiht. Solcher Wechsel auch im D. — σκοπῶν relativ: 'wobei'. — καὶ μετά, selbständiger Satz einem abhängigen angefügt. — Im Folgenden beachte die lebendige Schilderung.

§. 9. ὑπερανατείνας, warum ὑπέρ? u. ἀνά?

§. 10. ἐκείνου, des Knaben, s. I, 2, 15 z. d. W. — οὐκ εἴα — 'nicht zulassen, d. h vetare'.

§. 11. εἴα frei: 'liess das gut sein'.

ναι, ἵνα μηδ' ἐκ τούτων τῶν κωμῶν οἱ ἐπὶ τοῦ ὄρους τρέφοιντο. καὶ αὐτὸς μὲν ἐν τῷ πεδίῳ ὑποκαταβὰς ἐσκήνου, ὁ δὲ Ξενοφῶν ἔχων τοὺς ἐπιλέκτους ἐν τῇ ὑπὸ τὸ ὄρος ἀνωτάτω κώμῃ, καὶ οἱ ἄλλοι Ἕλληνες ἐν τοῖς ὀρείοις καλουμένοις Θρᾳξὶ πλησίον κατεσκήνησαν.

12 Ἐκ τούτου ἡμέραι τ' οὐ πολλαὶ διετρίβοντο, καὶ οἱ ἐκ τοῦ ὄρους Θρᾷκες καταβαίνοντες πρὸς τὸν Σεύθην περὶ σπονδῶν καὶ ὁμήρων διεπράττοντο· καὶ ὁ Ξενοφῶν ἐλθὼν ἔλεγε τῷ Σεύθῃ ὅτι ἐν πονηροῖς [τόποις] σκηνοῖεν καὶ πλησίον εἶεν οἱ πολέμιοι. ἥδιόν τ' ἂν ἔξω αὐλίζεσθαι ἔφη ἐν ἐχυροῖς χωρίοις
13 μᾶλλον ἢ ἐν τοῖς στεγνοῖς, ὥστε ἀπολέσθαι. ὁ δὲ θαρρεῖν ἐκέλευε καὶ ἔδειξεν ὁμήρους παρόντας αὐτῶν. ἐδέοντο δὲ καὶ αὐτοῦ Ξενοφῶντος καταβαίνοντές τινες τῶν ἐκ τοῦ ὄρους συμπρᾶξαι σφίσι τὰς σπονδάς. ὁ δ' ὡμολόγει καὶ θαρρεῖν ἐκέλευε καὶ ἠγγυᾶτο μηδὲν αὐτοὺς κακὸν πείσεσθαι πειθομένους Σεύθῃ. οἱ δ' ἄρα ταῦτ' ἔλεγον κατασκοπῆς ἕνεκα.

14 Ταῦτα μὲν τῆς ἡμέρας ἐγένετο· εἰς δὲ τὴν ἐπιοῦσαν νύκτα ἐπιτίθενται ἐλθόντες ἐκ τοῦ ὄρους οἱ Θυνοί. καὶ ἡγεμὼν μὲν ἦν ὁ δεσπότης ἑκάστης τῆς οἰκίας· χαλεπὸν γὰρ ἦν ἄλλως τὰς οἰκίας σκότους ὄντος ἀνευρίσκειν ἐν ταῖς κώμαις· καὶ γὰρ αἱ οἰκίαι κύκλῳ περιεσταύρωντο μεγάλοις σταυροῖς τῶν προ-

— μηδέ, die Negation gehört zum Verb., καί z. ἐκ τούτων = auch, in Beziehung auf §. 1. — τοὺς ἐπιλέκτους, s. oben §. 6. — ἀνωτάτω, Attr., u. dazu ist ὑπὸ τὸ ὄρος Ortsbestimmung = 'im obersten Dorfe am Berge'. — ἐν τοῖς ὀρείοις Θρᾳξί. Volk statt Land; wir haben die Wortbildung: Bergschotten. — καλουμέν., s. I, 2, 13 z. d. W.

§. 12—13. Scheinbare Unterwerfung der Thraker.

§. 12. καί, Coordination, wo wir subordinieren. Frei kann man hier den ersten Satz als Zeitbestimmung nehmen u. καί ausfallen lassen: Paucis diebus post. — οἱ ἐκ τ. ὄρους, s. I, 1, 5 z. παρὰ βασιλ. u. vergl. I, 2, 3. — ἥδιόν τ' ἄν, Wechsel der Construction. S. auch I, 3, 6 z. ἂν εἶναι. — ἔξω frei: 'unter freiem Himmel'. — μᾶλλον, s. IV, 6, 11 z. d. W. — ἐν τοῖς στεγνοῖς gehört zeugmatisch auch zu αὐλίζεσθαι. — ὥστε ἀπολέσθαι, dieser Satz erinnert an deutsche Verbindungen; 'es ist ein Wetter zum Umkommen'. Frei gebrauche einen Relativsatz: 'in denen etc.'.

§. 13. ἐκέλευε καὶ ἔδειξεν, Wechsel der tempora. — σφίσι, Dat. commodi. — πείσεσθαι πειθομ., nachdrückliche Parechese gegensätzlicher Begriffe. — ἄρα weist auf das Folgende hin.

§. 14—19. Die Thynen überfallen die Griechen, werden aber zurückgeschlagen.

§. 14. εἰς, s. I, 7, 1 z. d. W. — ἐλθόντες nach I, 1, 6 z. ἐπιβουλ. 2 voranzunehmen. — καὶ γάρ, der Herr des Hauses kennt die Einrichtung am besten. — περιεσταύρ. σταυροῖς, Paronomasie. Aehnlich sind noch jetzt bei den Eingeborenen in Süd-Afrika (Dr. Livingstone I. p. 329) die Einfriedigungen der

βάτων ἕνεκα. ἐπεὶ δ' ἐγένοντο κατὰ τὰς θύρας ἑκάστου τοῦ 15
οἰκήματος, οἱ μὲν εἰσηκόντιζον, οἱ δὲ τοῖς σκυτάλοις ἔβαλλον, ἃ
ἔχειν ἔφασαν ὡς ἀποκόψοντες τῶν δοράτων τὰς λόγχας, οἱ δ'
ἐνεπίμπρασαν, καὶ Ξενοφῶντα ὀνομαστὶ καλοῦντες ἐξιόντα
ἐκέλευον ἀποθνήσκειν, ἢ αὐτοῦ ἔφασαν κατακαυθήσεσθαι αὐ-
τόν. καὶ ἤδη τε διὰ τοῦ ὀρόφου ἐφαίνετο πῦρ, καὶ ἐντεθωρα- 16
κισμένοι οἱ περὶ Ξενοφῶντα ἔνδον ἦσαν ἀσπίδας καὶ μαχαίρας
καὶ κράνη ἔχοντες, καὶ Σιλανὸς Μακίστιος ἐτῶν [ἤδη] ὡς ὀκτω-
καίδεκα σημαίνει τῇ σάλπιγγι· καὶ εὐθὺς ἐκπηδῶσιν ἐσπασμέ-
νοι τὰ ξίφη καὶ οἱ ἐκ τῶν ἄλλων σκηνωμάτων. οἱ δὲ Θρᾷκες 17
φεύγουσιν, ὥσπερ δὴ τρόπος ἦν αὐτοῖς, ὄπισθεν περιβαλλόμε-
νοι τὰς πέλτας· καὶ αὐτῶν ὑπεραλλομένων τοὺς σταυροὺς ἐλή-
φθησάν τινες κρεμασθέντες ἐνεχομένων τῶν πελτῶν τοῖς σταυ-
ροῖς· οἱ δὲ καὶ ἀπέθανον ἁμαρτόντες τῶν ἐξόδων· οἱ δὲ Ἕλ-
ληνες ἐδίωκον ἔξω τῆς κώμης. τῶν δὲ Θυνῶν ὑποστραφέντες 18
τινὲς ἐν τῷ σκότει τοὺς παρατρέχοντας παρ' οἰκίαν καιομένην
ἠκόντιζον εἰς τὸ φῶς ἐκ τοῦ σκότους· καὶ ἔτρωσαν Ἱερώνυμόν
τε Εὐοδέα λοχαγὸν καὶ Θεογένην Λοκρὸν λοχαγόν· ἀπέθανε δὲ
οὐδείς· κατεκαύθη μέντοι καὶ ἐσθής τινων καὶ σκεύη. Σεύθης 19
δὲ ἧκε βοηθῶν σὺν ἑπτὰ ἱππεῦσι τοῖς πρώτοις καὶ τὸν σαλ-
πιγκτὴν ἔχων τὸν Θρᾴκιον. καὶ ἐπείπερ ᾔσθετο, ὅσονπερ χρό-

Höfe, welche die Hütten umgeben, aus aufrechtstehenden, einige Zoll von einander entfernten Pfählen gemacht.

§. 15. *ἔφασαν*, Subj. die nachher gefangenen Thynen. — *ἢ αὐτοῦ — αὐτόν*, im D. ein Hauptsatz in der or. obl.

§. 16. *ἤδη τε — καί*, wir subordinieren. — *ἔνδον*, im D. füge 'noch' hinzu; denn Xen. kennt die ihm drohende Feuersgefahr nicht, will sich im Hause vertheidigen. — *Μακίστιος*, aus Makistos, einer Stadt im triphylischen Elis, nicht weit von Xenoph.'s Landsitz Skillus. — *ἐτῶν ἤδη*, *ἤδη* = 'eben erst'. — Es ist ein kluger Einfall von ihm, der da draussen ist und die Gefahr für Xen. erkennt, dass er bläst, deshalb das Alter angegeben. — *ἐσπασμένοι τὰ ξίφη* frei: 'mit gezückten Schwertern'. — *ἐκπηδῶσιν*: *οἱ περὶ Ξενοφ.* — *καί* = 'auch'. — *ἐκ τ. ἄλλων σκηνωμάτων*, s. §. 12 z. *οἱ ἐκ τοῦ ὄρ.*

§. 17. *ὥσπερ* geh. zu *περιβαλλόμενοι*. — *αὐτοῖς* im D. Pron. poss. — *περιβαλλόμενοι*, mittels des *τελαμών*. Excurs §. 7, d. — *ἐνεχομένων τ. πελτῶν*, eigentlich causal, kann frei durch 'mit den Schilden' mit *κρεμασθ.* verbunden werden.

§. 18. *τοὺς παρατρέχ.*, s. I, 3, 9 z. *τὸν βουλόμ.* — *εἰς τὸ φῶς ἐκ τ. σκότ.*, plastische Vollständigkeit, verstärkt durch die gegensätzliche Zusammenstellung. Wortstellung wie V, 4, 31 z. *εἰς τήν*. — *ἐσθής* collectiv wie III, 1, 19.

§. 19. *τοῖς πρώτοις*, 'mit den vordersten' od. 'den ersten, die sich sammelten'. Er zieht mit wenigen ab, weil er es nur für eine Feuersbrunst hält. — *σύν* wechselt mit *ἔχων*. — *ᾔσθετο*, nämlich beim Näherrücken, dass es ein

νον ἐβοήθει, τοσοῦτον καὶ τὸ κέρας ἐφθέγγετο αὐτῷ. ὥστε καὶ
τοῦτο φόβον συμπαρέσχε τοῖς πολεμίοις. ἐπεὶ δ' ἦλθεν, ἐδεξι-
οῦτό τε καὶ ἔλεγεν, ὅτι οἴοιτο τεθνεῶτας πολλοὺς εὑρήσειν.
20 Ἐκ τούτου ὁ Ξενοφῶν δεῖται τοὺς ὁμήρους τε αὐτῷ παρα-
δοῦναι καὶ ἐπὶ τὸ ὄρος, εἰ βούλεται, συστρατεύεσθαι· εἰ δὲ μή,
21 αὐτὸν ἐᾶσαι. τῇ οὖν ὑστεραίᾳ παραδίδωσιν ὁ Σεύθης τοὺς ὁμή-
ρους, πρεσβυτέρους ἄνδρας ἤδη, τοὺς κρατίστους, ὥς ἔφασαν,
τῶν ὀρείων, καὶ αὐτὸς ἔρχεται σὺν τῇ δυνάμει. ἤδη δὲ εἶχε καὶ
τριπλασίαν δύναμιν ὁ Σεύθης· ἐκ γὰρ τῶν Ὀδρυσῶν ἀκούον-
τας, ἃ πράττοι ὁ Σεύθης, πολλοὶ κατέβαινον συστρατευσόμενοι.
22 οἱ δὲ Θυνοί, ἐπεὶ εἶδον ἀπὸ τοῦ ὄρους πολλοὺς μὲν ὁπλίτας,
πολλοὺς δὲ πελταστάς, πολλοὺς δὲ ἱππέας, καταβάντες ἱκέτευον
σπείσασθαι, καὶ πάντα ὡμολόγουν ποιήσειν καὶ τὰ πιστὰ λαμ-
23 βάνειν ἐκέλευον. ὁ δὲ Σεύθης καλέσας τὸν Ξενοφῶντα ἐπεδεί-
κνυεν ἃ λέγοιεν, καὶ οὐκ ἂν ἔφη σπείσασθαι, εἰ Ξενοφῶν βού-
24 λοιτο τιμωρήσασθαι αὐτοὺς τῆς ἐπιθέσεως. ὁ δ' εἶπεν, Ἀλλ' ἔγωγε
ἱκανὴν νομίζω καὶ νῦν δίκην ἔχειν, εἰ οὗτοι δοῦλοι ἔσονται ἀντ'
ἐλευθέρων. συνβουλεύειν μέντοι ἔφη αὐτῷ τὸ λοιπὸν ὁμήρους
λαμβάνειν τοὺς δυνατωτάτους κακόν τι ποιεῖν, τοὺς δὲ γέρον-
τας οἴκοι ἐᾶν. οἱ μὲν οὖν ταύτῃ πάντες δὴ προσωμολόγουν.
V. Ὑπερβάλλουσι δὲ πρὸς τοὺς ὑπὲρ Βυζαντίου Θρᾷκας εἰς
τὸ Δέλτα καλούμενον· αὕτη δ' ἦν οὐκέτι ἀρχὴ Μαισάδου,
ἀλλὰ Τήρους τοῦ Ὀδρύσου, [ἀρχαίου τινός]. καὶ ὁ Ἡρακλείδης
2 ἐνταῦθα ἔχων τὴν τιμὴν τῆς λείας παρῆν. καὶ Σεύθης ἐξαγα-

Ueberfall sei. — *αὐτῷ* wir: 'bei ihm'.

§. 20—24. Die Thynen unterwerfen sich dem Seuthes.

§. 20. *ἐᾶσαι* sc. *στρατεύεσθαι*, s. I, 4, 7 *ὡς ἀπιόντας*, vergl. IV, 8, 6.

§. 21. *ἔφασαν*, Subj. die Abgesandten im §. 12. — *τῇ δυνάμ.* s. I, 1, 2 z. *τῶν Ἑλλήν.* — *τριπλασίαν*, als vor der Vereinigung mit den Griechen. — *ἀκούοντες* nach I, 1, 6 z. *ἐπιβουλ.* 1, so dass dann *ἐκ τῶν Ὀδρυσ.* mit *πολλοί* verbunden wird.

§. 22. *πολλούς*, Anaphora. — *τὰ πιστά*, Artikel s. I, 3, 20 z. *τὴν δίκην*. — *πιστά*, s. I, 2, 26 z. d. W.

§. 23. *οὐκ ἔφη*, I, 3, 1 z. d. W.

§. 24. *ἀλλ'*, was ist zu ergänzen? — *δίκην* = 'Genugthuung'; denn *μέ* ist ausgelassen. — *συμβουλεύειν*, Uebergang in die orat. obl. — *τοὺς δυνατωτ.* im D. relativ mit dem Stammverbum. — *ταύτῃ*, 'in dieser Gegend'.

V. Die Griechen im thrakischen Delta.

§. 1. Zug nach dem Delta.

ὑπερβάλλουσι intr. Warum *ὑπέρ*? — *ὑπὲρ Βυζαντίου*, im D. muss ein passendes Partic. hinzugefügt werden. — *Δέλτα*, s. VII, 1, 33 z. d. W. — *αὕτη*, s. I, 1, 7 z. d. W.

§. 2—5. Herakleides zahlt den Sold unvollständig und wird deshalb vom Xenophon getadelt.

§. 2. *τῆς λείας*, s. I, 1, 10 z.

γὼν ζεύγη ἡμιονικὰ τρία, οὐ γὰρ ἦν πλείω, τὰ δὲ ἄλλα βοεικά, καλέσας Ξενοφῶντα ἐκέλευε λαβεῖν, τὰ δὲ ἄλλα διανεῖμαι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς. Ξενοφῶν δὲ εἶπεν, Ἐμοὶ μὲν τοίνυν 3
ἀρκεῖ καὶ αὖθις λαβεῖν. τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ, οἳ σὺν ἐμοὶ ἠκολούθησαν, καὶ λοχαγοῖς. καὶ τῶν ζευγῶν λαμβάνει 4
ἓν μὲν Τιμασίων ὁ Δαρδανεύς, ἓν δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, ἓν δὲ Φρυνίσκος ὁ Ἀχαιός· τὰ δὲ βοεικὰ ζεύγη τοῖς λοχαγοῖς κατεμερίσθη. τὸν δὲ μισθὸν ἀποδίδωσιν ἐξεληλυθότος ἤδη τοῦ μηνὸς εἴκοσι μόνον ἡμερῶν· ὁ γὰρ Ἡρακλείδης ἔλεγεν ὅτι οὐ πλεῖον ἐμπολῆσαι. ὁ οὖν Ξενοφῶν ἀχθεσθεὶς εἶπεν ἐπομόσας, 5
Δοκεῖς μοι, ὦ Ἡρακλείδη, οὐχ ὡς δεῖ κήδεσθαι Σεύθου· εἰ γὰρ ἐκήδου, ἧκες ἂν φέρων πλήρη τὸν μισθὸν καὶ προσδανεισάμενος, εἰ μὴ ἄλλως ἐδύνω, καὶ ἀποδόμενος τὰ σαυτοῦ ἱμάτια.

Ἐντεῦθεν ὁ Ἡρακλείδης ἠχθέσθη τε καὶ ἔδεισε, μὴ ἐκ τῆς 6
Σεύθου φιλίας ἐκβληθείη, καὶ ὅ,τι ἐδύνατο ἀπὸ ταύτης τῆς ἡμέρας Ξενοφῶντα διέβαλλε πρὸς Σεύθην. οἱ μὲν δὴ στρατιῶ- 7
ται Ξενοφῶντι ἐνεκάλουν, ὅτι οὐκ εἶχον τὸν μισθόν· Σεύθης δὲ ἤχθετο αὐτῷ, ὅτι ἐντόνως τοῖς στρατιώταις ἀπήτει τὸν μισθόν. καὶ τέως μὲν ἀεὶ ἐμέμνητο ὡς, ἐπειδὰν ἐπὶ θάλατταν 8
ἀπέλθῃ, παραδώσειν αὐτῷ Βισάνθην καὶ Γάνον καὶ Νέον τεῖχος· ἀπὸ δὲ τούτου τοῦ χρόνου οὐδενὸς ἔτι τούτων ἐμέμνητο. ὁ γὰρ Ἡρακλείδης καὶ τοῦτο διεβεβλήκει, ὡς οὐκ ἀσφαλὲς εἴη τείχη παραδιδόναι ἀνδρὶ δύναμιν ἔχοντι.

τριῶν μηνῶν. — *παρῆν*, aus Perinthos, s. VII, 4, 2. — *ζεύγη ἡμιονικά*, statt der den Griechen gewöhnlichen adjectivischen Bezeichnung gebrauchen wir zusammengesetzte Hauptwörter. — *τὰ δὲ ἄλλα*, = 'ausserdem'. — *λαβεῖν*, nämlich seinen Antheil.

§. 3. *τοίνυν*, s. V, 1, 2 z. d. W. — *καὶ αὖθις*, auch ein andermal, jetzt nichts. — *τούτους* ist mit einer Handbewegung zu denken. — *δωροῦ, οἳ σὺν ἐμοί*, Zwischenstellung des gemeinschaftl. Obj. u. Relativsatzes.

§. 4. *τῶν ζευγῶν*, warum konnte *ἡμιονικῶν* fehlen? — *ἐξεληλυθότος* concessiv. — *ἡμερῶν*, s. I, 1, 10 z. *τριῶν*. — *οὐ πλεῖον* = nicht mehr Geld eingenommen.

§. 5. *καὶ προσδανεισάμενος*, *καί* vor Partic. = 'selbst wenn'.

§. 6—8. Herakleides sucht den Xenophon beim Seuthes zu verdächtigen.

§. 7. *τὸν μισθόν*, s. I, 3, 20 z. *τὴν δίκην*. — *τοῖς στρατιώταις*, Dat. commod. — *ἀπήτει*, s. I, 1, 8, z. *ἀπέπεμπε*. Seuthes macht's wie noch heute manche Orientalen, von denen man sagen kann: Der Orientale in Noth verspricht alles, er vergisst alles, wenn die Noth vorüber ist. — *τὸν μισθόν*, Antistrophe. S. III, 4, 44 z. *ἐπὶ τὸ ἄκρον* u. I, 10, 3 z. *ἔσωσαν*. Sinn und Gedanken aller drehen sich um *τὸν μισθόν*.

§. 8. *τέως μέν* s. IV, 2, 12 z. d. W. — *παραδώσειν*, Anakoluth wie III, 1, 9 z. *ἀποπέμψειν*. — *Βι-*

9 Ἐκ τούτου ὁ μὲν Ξενοφῶν ἐβουλεύετο, τί χρὴ ποιεῖν περὶ
τοῦ ἔτι ἄνω στρατεύεσθαι· ὁ δὲ Ἡρακλείδης εἰσαγαγὼν τοὺς
ἄλλους στρατηγους πρὸς Σεύθην λέγειν τε ἐκέλευεν αὐτούς, ὅτι
οὐδὲν ἂν ἧττον σφεῖς ἀγάγοιεν τὴν στρατιὰν ἢ Ξενοφῶν, τόν τε
μισθὸν ὑπισχνεῖτο αὐτοῖς ἐντὸς ὀλίγων ἡμερῶν ἔκπλεων παρ-
10 έσεσθαι δυοῖν μηνοῖν, καὶ συστρατεύεσθαι ἐκέλευε. καὶ ὁ Τι-
μασίων εἶπεν, Ἐγὼ μὲν τοίνυν οὐδ' ἂν πέντε μηνῶν μισθὸς
μέλλῃ εἶναι στρατευσαίμην ἂν ἄνευ Ξενοφῶντος. καὶ ὁ Φρυνί-
11 σκος καὶ ὁ Κλεάνωρ συνωμολόγουν τῷ Τιμασίωνι. ἐντεῦθεν ὁ
Σεύθης ἐλοιδόρει τὸν Ἡρακλείδην, ὅτι οὐ παρεκάλει καὶ Ξενο-
φῶντα. ἐκ δὲ τούτου παρακαλοῦσιν αὐτὸν μόνον. ὁ δὲ γνοὺς
τοῦ Ἡρακλείδου τὴν πανουργίαν, ὅτι βούλοιτο αὐτὸν διαβάλ-
λειν πρὸς τοὺς ἄλλους στρατηγούς, παρέρχεται λαβὼν τούς τε
12 στρατηγοὺς πάντας καὶ τοὺς λοχαγούς. καὶ ἐπεὶ πάντες ἐπεί-
σθησαν, συνεστρατεύοντο, καὶ ἀφικνοῦνται ἐν δεξιᾷ ἔχοντες
τὸν Πόντον διὰ τῶν Μελινοφάγων καλουμένων Θρᾳκῶν εἰς τὸν
Σαλμυδησσόν. ἔνθα τῶν εἰς τὸν Πόντον πλεουσῶν νεῶν πολ-
λαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι· τέναγος γάρ ἐστιν ἐπὶ πάμπολυ
13 τῆς θαλάττης. καὶ οἱ Θρᾷκες οἱ κατὰ ταῦτα οἰκοῦντες στήλας

σάνθην, s. VII, 2, 38. Die andern beiden Städte liegen in der Nähe. — *τοῦτο διεβεβλήκει* prägn.: 'dies verläumderisch bemerken' s. I, 3, 3 z. *τά τε ἄλλα*. — *ἀνδρὶ — ἔχοντι* frei: 'Befehlshaber einer Kriegsmacht'.

§. 9—11. Herakleides versucht vergebens die Strategen und Lochagen vom Xenophon abwendig zu machen.

§. 9. *ἐβουλεύετο*, für sich. Dass seine Bedenken Herakleides erfahren, beweist dessen Verhalten. — *στρατεύεσθαι* durch ein Hauptwort, zu dem *ἔτι* Attribut = 'fernern, weitern Zug'. — *ἄνω*, Ortsbestimmung, = 'ins Oberland'. — Warum hegte er Bedenken? — *οὐδὲν ἂν ἧττον — ἤ*, wir lieben in solchen Fällen den positiven Ausdruck: 'eben so gut — als'. — *σφεῖς*, dieser Nomin. des Reflexivpronomens steht in der orat. obl. nur dann, wenn der Gegensatz die Zurückbeziehung auf das Hauptsubject nöthig macht. — *τὸν μισθόν — ἔκπλεων* durch Trennung und Stellung betont. — *δυοῖν μηνοῖν*, s. I, 1, 10 zu *τριῶν*.

§. 10. *οὐδέ*, *καί* gehört zum Bedingungssatze, *οὐ* zu *στρατευσαίμην*.

§. 11. *ὅτι βούλοιτο κ. τ. λ.*, epexegetischer Satz.

§. 12—14. Zug nach Salmydessos.

§. 12. *τῶν Μελινοφάγων*, Volk statt Land. Im Alterthum wurden viele Völker von den sie besuchenden Fremden nach ihrer Hauptnahrung benannt. Schon Homer kennt: 'Milchesser' und 'Lotosesser'. — Noch jetzt bereiten sich die Bewohner dieser Gegend aus Hirse eine Art Polenta, die das gewöhnliche Brot vertritt. — *Σαλμυδησσός*, das heutige Midja. Die Umgegend dieses Orts war im Alterthum durch in das Meer ragende, zum Theil vom Wasser bedeckte Felsen und deshalb hier häufig stattfindende Schiffbrüche berüchtigt. — *ἐκπίπτουσι*, s. VI, 4, 2 z. d. W. — *ἐπὶ πάμπολυ*, s. I, 8, 8 z. *ἐπὶ πολύ*.

ὁρισάμενοι τα καθ᾽ αὐτοὺς ἐκπίπτοντα ἕκαστοι λήξονται· τέως
δὲ ἔλεγον, πρὶν ὁρίσασθαι, ἁρπάζοντας πολλοὺς ὑπ᾽ ἀλλήλων
ἀποθνήσκειν. ἐνταῦθα εὑρίσκοντο πολλαὶ μὲν κλῖναι, πολλὰ 14
δὲ κιβώτια, πολλαὶ δὲ βίβλοι γεγραμμέναι, καὶ τἄλλα πολλὰ
ὅσα ἐν ξυλίνοις τεύχεσι ναύκληροι ἄγουσιν. ἐντεῦθεν ταῦτα
καταστρεψάμενοι ἀπῆσαν πάλιν. ἔνθα δὴ Σεύθης εἶχε στρά- 15
τευμα ἤδη πλέον τοῦ Ἑλληνικοῦ· ἔκ τε γὰρ Ὀδρυσῶν πολὺ ἔτι
πλείους κατεβεβήκεσαν καὶ οἱ ἀεὶ πειθόμενοι συνεστρατεύοντο.
κατηυλίσθησαν δ᾽ ἐν τῷ πεδίῳ ὑπὲρ Σηλυβρίας ὅσον τριάκοντα
σταδίους ἀπέχοντες τῆς θαλάττης. καὶ μισθὸς μὲν οὐδείς πω 16
ἐφαίνετο· πρὸς δὲ τὸν Ξενοφῶντα οἵ τε στρατιῶται παγχαλέ-
πως εἶχον, ὅ τε Σεύθης οὐκέτι οἰκείως διέκειτο, ἀλλ᾽ ὁπότε συγ-
γενέσθαι αὐτῷ βουλόμενος ἔλθοι, πολλαὶ ἤδη ἀσχολίαι ἐφαί-
νοντο.

Ἐν τούτῳ τῷ χρόνῳ σχεδὸν ἤδη δύο μηνῶν ὄντων ἀφι- VI.
κνεῖται Χαρμῖνός τε ὁ Λάκων καὶ Πολύνικος παρα Θίβρωνος,
καὶ λέγουσιν, ὅτι Λακεδαιμονίοις δοκεῖ στρατεύεσθαι ἐπὶ Τισ-

§. 13. κατὰ ταῦτα sc. χωρία. Im D. ein Pronominaladverb. — στήλας ὁρίζεσθαι, 'sich durch Grenzpfähle seinen Strandbezirk bestimmen'. — τὰ ἐκπίπτ. hier von Sachen, die nachher aufgezählt werden. — πρὶν ὁρίσασθαι erklärt das τέως δέ. — ἁρπάζοντας nach I, 1, 6 z. ἐπιβουλ. 1.

§. 14. πολλαὶ κ. τ. λ., Anaphora. — τἄλλα πολλά, s. I, 10, 2 z. πολλά. — βίβλοι γεγραμ., das erste und älteste Zeugniss, dass Bücher nach aussen versandt wurden. — ταῦτα καταστρεψάμ., nach I, 1, 6 z. ἐπιβουλ. 1., wobei ταῦτα Attribut mit zugefügtem Hauptwort wird.

§. 15—16. Rückkehr aus dem Delta. Spaltung zwischen Seuthes und Xenophon.

§. 15. ἀεί = 'jedesmal', kann im Dat. auch mit dem Praedic. verbunden werden. — Σηλυβρίας, s. VII, 2, 28,

§. 16. Ξενοφῶντα gehört nach I, 4, 8 zu τούτων στερήσ. auch zu διέκειτο. — ἔλθοι, Xenophon. Optat. s. I, 5, 2 z. ἐπεί τις διώκ. — Im D. kann es unübersetzt bleiben u. βουλόμ. Verb. fin. werden. — ἤδη = 'sofort, gleich'. Es drückt das Eintreten des vom Xen. erwarteten Vorwands aus.

VI. Die Lakedaimonier Charminos und Polynikos beim Heere.

§. 1—3. In Folge ihrer Ankunft räth Herakleides dem Seuthes die Griechen ohne Sold ziehen zu lassen.

§. 1. ἀφικνεῖται — καὶ λέγουσιν wie der Wechsel zu erklären s. II, 4, 16 z. ἔπεμψε. — δοκεῖ, Präs., 'beschlossen hätten u. noch beabsichtigen'. — στρατεύεσθαι, Xenoph. Hell. III, 1, 3: Ἐπεὶ μέντοι Τισσαφέρνης, πολλοῦ ἄξιος βασιλεῖ δόξας γεγενῆσθαι ἐν τῷ πρὸς τὸν ἀδελφὸν πολέμῳ, σατράπης κατεπέμφθη, ὧν τε αὐτὸς πρόσθεν ἦρχε, καὶ ὧν Κῦρος· εὐθὺς ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. αἱ δέ, ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν Τισσαφέρνην, ὅτι Κῦρον, ὅτ᾽ ἔζη, ἀντ᾽ ἐκείνου ᾑρημέναι ἦσαν, ἐς μὲν τὰς πόλεις οὐκ ἐδέχοντο αὐτόν. ἐς Λακεδαίμονα δὲ ἔπεμπον πρέσβεις, καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς Ἑλλάδος προστάται εἰσίν, ἐπιμεληθῆναι καὶ σφῶν, τῶν

σαφέρνην, καὶ Θίβρων ἐκπέπλευκεν ὡς πολεμήσων, καὶ δεῖται ταύτης τῆς στρατιᾶς καὶ λέγει, ὅτι δαρεικὸς ἑκάστῳ ἔσται μισθὸς τοῦ μηνός, καὶ τοῖς λοχαγοῖς διμοιρία, τοῖς δὲ στρατη-
2 γοῖς τετραμοιρία. ἐπεὶ δ' ἦλθον οἱ Λακεδαιμόνιοι, εὐθὺς ὁ Ἡρακλείδης πυθόμενος, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει τῷ Σεύθῃ, ὅτι κάλλιστόν τι γεγένηται· οἱ μὲν γὰρ Λακεδαιμόνιοι δέονται τοῦ στρατεύματος, σὺ δὲ οὐκέτι δέει· ἀποδιδοὺς δὲ τὸ στράτευμα χαριεῖ αὐτοῖς, σὲ δὲ οὐκέτι ἀπαιτήσουσι τὸν μισθόν,
3 ἀλλ' ἀπαλλάξονται ἐκ τῆς χώρας. ἀκούσας ταῦτα ὁ Σεύθης κελεύει παράγειν· καὶ ἐπεὶ εἶπον, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσιν, ἔλεγεν, ὅτι τὸ στράτευμα ἀποδίδωσι, φίλος τε καὶ σύμμαχος εἶναι βούλεται, καλεῖ τε αὐτοὺς ἐπὶ ξένια· καὶ ἐξένιζε μεγαλοπρεπῶς. Ξενοφῶντα δὲ οὐκ ἐκάλει, οὐδὲ τῶν ἄλλων στρατηγῶν
4 οὐδένα. ἐρωτώντων δὲ τῶν Λακεδαιμονίων, τίς ἀνὴρ εἴη Ξενοφῶν, ἀπεκρίνατο, ὅτι τὰ μὲν ἄλλα εἴη οὐ κακός, φιλοστρατιώτης δέ· καὶ διὰ τοῦτο χεῖρόν ἐστιν αὐτῷ. καὶ οἳ εἶπον, Ἀλλ' ἦ δημαγωγεῖ ὁ ἀνὴρ τοὺς ἄνδρας; καὶ ὁ Ἡρακλείδης, Πάνυ
5 μὲν οὖν, ἔφη. Ἆρ' οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν ἐναντιώσεται τῆς ἀπαγωγῆς; Ἀλλ' ἢν ὑμεῖς, ἔφη ὁ Ἡρακλείδης, συλλέξαντες αὐτοὺς ὑπόσχησθε τὸν μισθόν, ὀλίγον ἐκείνῳ προσχόντες ἀπο-
6 δραμοῦνται σὺν ὑμῖν. Πῶς οὖν ἄν, ἔφασαν, ἡμῖν συλλεγεῖεν; Αὔριον ὑμᾶς, ἔφη ὁ Ἡρακλείδης, πρῴ ἄξομεν πρὸς αὐτούς·

ἐν τῇ Ἀσίᾳ Ἑλλήνων, ὅπως ἥ τε Ἀσία μὴ δῃοῖτο αὐτῶν, καὶ αὐτοὶ ἐλεύθεροι εἶεν. Οἱ οὖν Λακεδαιμόνιοι πέμπουσιν αὐτοῖς Θίβρωνα ἁρμοστήν, δόντες στρατιώτας κτέ. — ὡς πολεμήσων, im D. genügt dafür: 'deshalb' oder 'in dieser Absicht'. — λέγει, Θίβρων, deshalb = 'verspreche' oder nach I, 1, 3 z. συλλαμβ. — διμοιρία, s. Exc. §. 5.

§. 2. πυθόμενος nach I, 1, 6 z. ἐπιβουλ. 3 wegen εὐθὺς mit 'sobald'. — ἐπὶ τὸ στράτ., s. II, 3, 8 z. d. W. — ὅτι vor der orat. dir. — ἀπαιτήσουσι, Subj. aus στράτευμα zu ergänzen. — ἀπό, s. I, 1, 8 z. ἀπέπεμπε.

§. 3. παράγειν, warum kann das Object 'die Gesandten' fehlen? — φίλος τε — καλεῖ τε, τε — τε verbinden mit dem ersten Satze. — ξένια, s. VI, 1, 3 z. d. W. — Ξενοφῶντα — οὐδένα, Chiasmus.

§. 4—6. Sie erkundigen sich nach Xenophon und beschliessen auch ohne diesen die Griechen zum Abzuge zu bewegen.

§. 4. τίς ἀνήρ = ποῖος ἀνήρ. — ὅτι — εἴη — ἐστιν, welcher Wechsel? — χεῖρον, als wenn er nicht φιλοστρατιώτης wäre. S. III, 3, 5 z. βέλτιον. — καὶ οἵ, s. I, 8, 16 z. d. W. — ἀλλ' ἦ = an ergo. — ὁ ἀνὴρ τοὺς ἄνδρας, gegensätzliche Zusammenstellung.

§. 5. ἆρ' οὖν μή erwartet eine verneinende Antwort. — μή, weil sie besorgen, dass es so sei. — τῆς ἀπαγωγῆς, Gen. causal. — ἀλλ', Herakleides antwortet nicht auf die Frage.

καὶ οἶδα, ἔφη, ὅτι, ἐπειδὰν ὑμᾶς ἴδωσιν, ἄσμενοι συνδραμοῦν-
ται. αὕτη μὲν ἡ ἡμέρα οὕτως ἔληξε.
Τῇ δ' ὑστεραίᾳ ἄγουσιν ἐπὶ τὸ στράτευμα τοὺς Λάκωνας 7
Σεύθης τε καὶ Ἡρακλείδης, καὶ συλλέγεται ἡ στρατιά. τὼ δὲ
Λάκωνε ἐλεγέτην, ὅτι Λακεδαιμονίοις δοκεῖ πολεμεῖν Τισσα-
φέρνει τῷ ὑμᾶς ἀδικήσαντι· ἢν οὖν ἴητε συν ἡμῖν, τόν τε
ἐχθρὸν τιμωρήσεσθε καὶ δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς
ὑμῶν, λοχαγὸς δὲ τὸ διπλοῦν, στρατηγος δὲ τὸ τετραπλοῦν.
καὶ οἱ στρατιῶται ἄσμενοί τε ἤκουσαν καὶ εὐθὺς ἀνίσταταί τις 8
τῶν Ἀρκάδων τοῖ Ξενοφῶντος κατηγορήσων. παρῆν δὲ καὶ
Σεύθης, βουλόμενος εἰδέναι, τί πραχθήσεται, καὶ ἐν ἐπηκόῳ
εἱστήκει ἔχων ἑρμηνέα· συνίει δὲ καὶ αὐτὸς ἑλληνιστὶ τὰ πλεῖ-
στα. ἔνθα δὴ λέγει ὁ Ἀρκάς, Ἀλλ' ἡμεῖς μέν, ὦ Λακεδαιμόνιοι, 9
καὶ πάλαι ἂν ἦμεν παρ' ὑμῖν, εἰ μὴ Ξενοφῶν ἡμᾶς δεῦρο πεί-
σας ἀπήγαγεν, ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χειμῶνα στρα-
τευόμενοι καὶ νύκτα καὶ ἡμέραν οὐδὲν πεπαύμεθα· ὁ δὲ τοὺς
ὑμετέρους πόνους ἔχει· καὶ Σεύθης ἐκεῖνον μὲν ἰδίᾳ πεπλού-
τικεν, ἡμᾶς δὲ ἀποστερεῖ τὸν μισθόν· ὥστε ὅ γε πρῶτος λέγων 10
ἐγὼ μέν, εἰ τοῦτον ἴδοιμι καταλευσθέντα καὶ δόντα δίκην ὧν
ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἄν μοι δοκῶ ἔχειν καὶ οὐδὲν ἐπὶ
τοῖς πεπονημένοις ἄχθεσθαι. μετὰ τοῦτον ἄλλος ἀνέστη ὁμοίως
καὶ ἄλλος. ἐκ δὲ τούτου Ξενοφῶν ἔλεξεν ὧδε.
Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ, ὁπότε 11

§. 6. ἄσμενοι, s. I, 2, 25 z. προτέρα.

§. 7—10. Xenophon wird in der Versammlung bei den Gesandten verklagt.

§. 7. Beachte die Stellung der Subjecte. — ὅτι, s. §. 2. — τὸν ἐχθρ., s. I, 1, 3 z. τὴν ἀρχήν. — ἕκαστος nach dem allgemeinen τιμωρήσεσθε. — ὑμῶν, am Ende und getrennt.

§. 8. βουλομένος, im D. nur 'um zu'. — ἐπηκόῳ, s. II, 5, 38 z. d. W.

§. 9. μέν steht, als wenn nicht ein Nebensatz, sondern ein Hauptsatz Ξενοφῶν δέ folgen sollte. — χειμῶνα στρατευόμ. frei: 'einen Winterfeldzug machen'. — οὐδὲν πεπαύμεθα frei: 'ohne Unterbrechung'. — πόνους prägnant, §. 41 heisst es τὰ χρήματα, ἃ ἡμεῖς ἐπονήσαμεν. — τὸν μισθόν, s. I, 3, 20 z. τὴν δίκην.

§. 10. ὅ γε πρῶτος ist Apposition zu ἐγώ. — καὶ δόντα δίκην frei: 'zur Strafe dafür, dass'. — ὧν Attr. für τούτων ἃ ἡμᾶς περιεῖλκε; ἅ Acc., s. I, 1, 3, z. τὰ ἄλλα ἐτίμησε. — ἄλλος καὶ ἄλλος, I, 5, 12 z. d. W.

§. 11—38. Xenophon vertheidigt sich. Thl. I: §. 11—15 er erinnert die Soldaten daran, dass er sie auf ihren Beschluss zum Seuthes geführt habe.

§. 11. ἀλλά, s. I, 7, 6. — μέν = 'fürwahr'. — μὲν ἄρα: zum Ausdruck der Enttäuschung, wie unser 'also', mit dem Nebengedanken: 'das hätte ich nicht erwartet'. — ὄντα dient zur Betonung, im D.:

*γε καὶ ἐγὼ νῦν ὑμῶν αἰτίας ἔχω ἐν ᾧ πλείστην προθυμίαν
ἐμαυτῷ γε δοκῶ συνειδέναι περὶ ὑμᾶς παρεσχημένος. ἀπετρα-
πόμην μέν γε ἤδη οἴκαδε ὡρμημένος, οὐ μὰ τὸν Δία οὔτοι πυν-
θανόμενος ὑμᾶς εὖ πράττειν, ἀλλὰ μᾶλλον ἀκούων ἐν ἀπόροις
12 εἶναι, ὡς ὠφελήσων, εἴ τι δυναίμην. ἐπεὶ δὲ ἦλθον, Σεύθου
τουτοὶ πολλοὺς ἀγγέλους πρὸς ἐμὲ πέμποντος καὶ πολλὰ ὑπ-
ισχνουμένου μοι, εἰ πείσαιμι ὑμᾶς πρὸς αὐτὸν ἐλθεῖν, τοῦτο
μὲν οὐκ ἐπεχείρησα ποιεῖν, ὡς αὐτοὶ ὑμεῖς ἐπίστασθε. ἦγον δὲ
ὅθεν ᾤμην τάχιστ᾽ ἂν ὑμᾶς εἰς τὴν Ἀσίαν διαβῆναι. ταῦτα
γὰρ καὶ βέλτιστα ἐνόμιζον ὑμῖν εἶναι καὶ ὑμᾶς ᾔδειν βουλομέ-
13 νους. ἐπεὶ δ᾽ Ἀρίσταρχος ἐλθὼν σὺν τριήρεσιν ἐκώλυε δια-
πλεῖν ἡμᾶς, ἐκ τούτου, ὅπερ εἰκὸς δήπου ἦν, συνέλεξα ὑμᾶς,
14 ὅπως βουλευσαίμεθα, ὅ,τι χρὴ ποιεῖν. οὐκοῦν ὑμεῖς ἀκούοντες
μὲν Ἀριστάρχου ἐπιτάττοντος ὑμῖν εἰς Χερρόνησον πορεύεσθαι,
ἀκούοντες δὲ Σεύθου πείθοντος ἑαυτῷ συστρατεύεσθαι, πάντες
μὲν ἐλέγετε σὺν Σεύθῃ ἰέναι, πάντες δ᾽ ἐψηφίσασθε ταῦτα. τί
οὖν ἐγὼ ἐνταῦθα ἠδίκησα ἀγαγὼν ὑμᾶς ἔνθα πᾶσιν ὑμῖν ἐδό-
15 κει; ἐπεί γε μὴν ψεύδεσθαι ἤρξατο Σεύθης περὶ τοῦ μισθοῦ,
εἰ μὲν ἐπαινῶ αὐτόν, δικαίως ἄν με καὶ αἰτιῷσθε καὶ μισοῖτε·
εἰ δὲ πρόσθεν αὐτῷ πάντων μάλιστα φίλος ὢν νῦν πάντων δια-*

'als Mensch'. — *ὑφ᾽ ὑμῶν*, weil *αἰτίας ἔχων* = 'angeklagt werde' ist. — *ἐν ᾧ*, in dem (Punkte), worin. — *ἐμαυτῷ δοκῶ*, urbaner Ausdruck, wie lat. videor mihi. — *παρεσχημ.*, s. II, 1, 13 z. *ἴσθι*. Vergl. II, 5, 7. — *ἀπετραπόμην* mit Nachdruck voran. — *ἤδη — ὡρμημ.*, concessiv. — *οὔτοι* — 'keineswegs'. — *πυνθανόμ.* und *ἀκούων* causal. — *ὠφελήσων*, Grund zu *ἀπετραπ.* — Das Object ist aus *ὑμᾶς* verständlich.

§. 12. *ἐπεὶ δὲ ἦλθον* nach I, 3, 4 z. *ἐπειδὴ* u. den Gen. absol. nach I, 1, 6 z. *ἐπιβουλ.* 3. — *πολλὰ ὑπισχνουμένου* frei: 'grosse Versprechungen machen liess'. — *ἦγον δέ* = 'vielmehr'. — *ὅθεν*, s. I, 2, 8. — *διαβῆναι*, im D. setze ein Hülfswort hinzu. — *ὑμῖν* u. *ὑμᾶς*, Stellung.

§. 13. *ἐκ τούτου*, beginnt den Nachsatz. — *ὅπερ εἰκός*, Zwischenbemerkung, um den folgenden Gedanken ins rechte Licht zu stellen.

§. 14. *ἀκούοντες — ταῦτα*, Anaphora, die bei den beiden ersten Gliedern noch durch Homoioteleuta verstärkt wird. — *ἐνταῦθα*, beachte die nachdrückliche Trennung von *ἀγαγών*. — *ἔνθα* bei einem Verb. der Bewegung schon II, 3, 19.

§. 15—23. Thl. II. er weist nach, dass er vom Seuthes getäuscht ist.

§. 15. *ἐπεὶ — μισοῖτε*. Xen. hat den Satz *ἐπεὶ — μισθοῦ* vorangestellt, weil er zu beiden hypothetischen Sätzen gehört. Im D. nimm entweder den Satz *εἰ — αὐτόν* voran, mache *ἐπεὶ — μισθοῦ* zum Zwischensatze etc., oder nimm den Satz *δικαίως — μισοῖτε* voran, daran den Bedingungssatz u. *ἐπεὶ κτέ.* wieder als Zwischensatz — *εἰ* c. Ind. Praes. von einer Handlung, die gar nicht eingetreten ist, drückt aus, unter welcher Bedingung das im Hauptsatze Ausgesagte eintreten

φορώτατός εἰμι, πῶς ἂν ἔτι δικαίως ὑμᾶς αἱρούμενος ἀντὶ Σεύ-
θου ὑφ' ὑμῶν αἰτίαν ἔχοιμι περὶ ὧν πρὸς τοῦτον διαφέρομαι;
ἀλλ' εἴποιτ' ἄν, ὅτι ἔξεστι καὶ τὰ ὑμέτερα ἔχοντα παρὰ Σεύθου 16
τεχνάζειν. οὐκοῦν δῆλον τοῦτό γέ ἐστιν, εἴπερ ἐμοὶ ἐτέλει τι
Σεύθης, οὐχ οὕτως ἐτέλει δήπου, ὡς ὧν τε ἐμοὶ δοίη στέροιτο
καὶ ἄλλα ὑμῖν ἀποτίσειεν; ἀλλ' οἶμαι, εἰ ἐδίδου, ἐπὶ τούτῳ ἂν
ἐδίδου, ὅπως ἐμοὶ δοὺς μεῖον μὴ ἀποδοίη ὑμῖν τὸ πλεῖον. εἰ 17
τοίνυν οὕτως ἔχειν οἴεσθε, ἔξεστιν ὑμῖν αὐτίκα μάλα ματαίαν
ταύτην τὴν πρᾶξιν ἀμφοτέροις ἡμῖν ποιῆσαι, ἐὰν πράττητε αὐ-
τὸν τὰ χρήματα. δῆλον γάρ, ὅτι Σεύθης, εἰ ἔχω τι παρ' αὐτοῦ,
ἀπαιτήσει με, καὶ ἀπαιτήσει μέντοι δικαίως, ἐὰν μὴ βεβαιῶ
τὴν πρᾶξιν αὐτῷ, ἐφ' ᾗ ἐδωροδόκουν. ἀλλὰ πολλοῦ μοι δοκῶ 18
δεῖν τὰ ὑμέτερα ἔχειν· ὀμνύω γὰρ ὑμῖν θεοὺς πάντας καὶ πά-
σας μηδ' ἃ ἐμοὶ ἰδίᾳ ὑπέσχετο Σεύθης ἔχειν· πάρεστι δὲ καὶ
αὐτὸς καὶ ἀκούων σύνοιδέ μοι, εἰ ἐπιορκῶ· ἵνα δὲ μᾶλλον θαυ- 19
μάσητε, συνεπόμνυμι μηδὲ ἃ οἱ ἄλλοι στρατηγοὶ ἔλαβον εἰλη-
φέναι, μὴ τοίνυν μηδὲ ὅσα τῶν λοχαγῶν ἔνιοι. καὶ τί δὴ ταῦτ' 20
ἐποίουν; ᾤμην, ἄνδρες, ὅσῳ μᾶλλον συμφέροιμι τούτῳ τὴν
τότε πενίαν, τοσούτῳ μᾶλλον αὐτὸν φίλον ποιήσεσθαι, ὁπότε

soll. — *δικαίως* durch *ἂν* betont. — *μάλιστα φίλος*, Umschreibung des Superlativs zur Hebung des Gegensatzes von *διαφορώτατος*. Beachte die anaphorische Wortstellung dieses Satzes. — *πῶς ἂν κτέ.*, rhetorische Frage statt des Nachsatzes. — *αἱρούμενος* nach I, 1, 6 z. *ἐπιβουλ.* 3 mit 'der ich'. — *περὶ ὧν*, Attract. für *τούτων, περὶ ὧν* oder *ἃ διαφέρομαι.*

§. 16. *ἀλλ' εἴποιτ' ἄν*, führt einen erwarteten Einwurf ein. S. auch §. 21. — *ὅτι ἔξεστι*, im D. ein Hauptsatz in d. orat. obl. — *τεχνάζειν* d. h. 'Feindschaft gegen Seuthes erheucheln'. Subj. ist das bei *ἔχοντα* zu denkende *με*. — *οὕτως* 'in der Absicht'. — *ὧν* für *τούτων ἁ.* — *οἶμαι*, s. II, 1, 16 z. d. W. — *ἐπὶ τούτῳ* = 'unter der Bedingung, in der Absicht'. — *ἐμοὶ* — *ὑμῖν*, Chiasmus. — *μεῖον* — *πλεῖον*, Homoioteleuton. — Beachte auch den Wechsel, dass im 2. Nachsatze *ἂν* hinzutritt. — *ἀποδοίη*, warum *ἀπό*?

§. 17. *εἰ* — *οἴεσθε* i. e. dass ihr betrogen werdet. — *πρᾶξιν*, 'Vorhaben' in bösem Sinne. — *πρᾶξιν* — *πράττητε*, Paronomasie. — *πράττειν τινά τι*, 'etwas von jemandem fordern.' — *τὰ χρήματ.*, s. I, 3, 20 zu *τὴν δίκην*. — *ἀπαιτήσει* warum wiederholt? — *πρᾶξιν*, 'Vortheil'. — *ἐφ' ᾗ* = 'zu welchem i. e. welchen ich ihm verschaffen wollte oder sollte'.

§. 18. *πολλοῦ δεῖν*, s. I, 5, 14 z. *ὀλίγου δέω*. — *μοι δοκῶ*, s. §. 10, im D. kaum möglich zu übersetzen. — *θεοὺς* — *πάσας*, s. VI, 1, 31 z. d. W. — *μηδ'* wird durch Zwischenstellung betont. S. auch VI, 6, 17 z. *μήτε*. — *ἀκούων* frei: 'als Ohrenzeuge.'

§. 19. *μὴ τοίνυν μηδέ* = 'ja nicht einmal.'

§. 20. *τί δή* = 'warum in aller Welt', eine rhetorische Frage, welche der Sprechende an sich selbst richtet und durch welche die Rede lebendig wird. — *ταῦτ' ἐποίουν* = 'so handeln'. — *συμ-*

δυνασθείη. ἐγὼ δὲ ἅμα τε αὐτὸν ὁρῶ εὖ πράττοντα, καὶ
21 γιγνώσκω δὴ αὐτοῦ τὴν γνώμην. εἴποι δή τις ἄν, οὔκουν αἰσχύνει οὕτω μώρως ἐξαπατώμενος; ναὶ μὰ Δία ᾐσχυνόμην μέντοι, εἰ ὑπὸ πολεμίου γε ὄντος ἐξηπατήθην· φίλῳ δὲ ὄντι ἐξα-
22 πατᾶν αἴσχιόν μοι δοκεῖ εἶναι ἢ ἐξαπατᾶσθαι. ἐπεί, εἴ γε πρὸς φίλους ἐστὶ φυλακή, πᾶσαν οἶδα ὑμᾶς φυλαξαμένους ὡς μὴ παρασχεῖν τούτῳ πρόφασιν δικαίαν μὴ ἀποδιδόναι ἡμῖν ἃ ὑπέσχετο· οὔτε γὰρ ἠδικήσαμεν τοῦτον οὐδὲν οὔτε κατεβλακεύσαμεν τὰ τούτου οὐδὲ μὴν κατεδειλιάσαμεν οὐδὲν ἐφ' ὅ,τι ἡμᾶς
23 οὗτος παρεκάλεσεν. ἀλλά, φαίητε ἄν, ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς μηδ', εἰ ἐβούλετο, ἐδύνατο ἐξαπατᾶν. πρὸς ταῦτα δὴ ἀκούσατε ἃ ἐγὼ οὐκ ἄν ποτε εἶπον τούτου ἐναντίον, εἰ μή μοι παντάπασιν ἀγνώμονες ἐδοκεῖτε εἶναι ἢ λίαν εἰς ἐμὲ ἀχάριστοι.
24 ἀναμνήσθητε γάρ, ἐν ποίοις τισὶ πράγμασιν ὄντες ἐτυγχάνετε, ἐξ ὧν ὑμᾶς ἐγὼ ἀνήγαγον πρὸς Σεύθην. οὐκ εἰς μὲν Πέρινθον προσῇτε τῇ πόλει, Ἀρίσταρχος δ' ὑμᾶς ὁ Λακεδαιμόνιος οὐκ εἴα εἰσιέναι ἀποκλείσας τὰς πύλας; ὑπαίθριοι δ' ἔξω ἐστρατοπεδεύετε, μέσος δὲ χειμὼν ἦν, ἀγορᾷ δὲ ἐχρῆσθε σπάνια μὲν ὁρῶν-

φέρειν τινί τι, 'mit einem etwas ertragen' d. h. einem etwas tragen helfen. — δυνασθείη wie zu verstehen, zeigt das folgende εὖ πράττοντα d. h. Macht u. Geld haben, s. I, 1, 9 z. ἠγάσθη. — τὴν γνώμην = 'wahre Gesinnung d. h. undankbare Ges.'

§ 21. ἐξαπατώμενος, Partic. nach αἰσχύνει wird im D. Inf. oder Nebensatz. — ᾐσχυνόμην, mit Lebhaftigkeit bestimmter Ausdruck, wir gebrauchen einen bedingten.

§. 22. ἐπεί = 'denn'. — εἴ γε, 'wenigstens wenn'. Im D. kann man statt dessen einen Relativsatz in Beziehung auf πᾶσαν sc. φυλακήν setzen. — πᾶσαν φυλαξαμένους, s. I, 2, 10 z. τὰ Λύκαια ἔθυσ. — πρόφασιν, wie war es I, 1, 7 construiert? — οὔτε — οὔτε — οὐδέ, οὐδέ hebt zusammenfassend das letzte Glied hervor. — τὰ τούτου, Genit. vertritt das Pron. poss., s. §. 33. Vergl. III, 1, 15 z. ἐν οἵοις.

§. 23. τὰ ἐνέχυρα, s. I, 3, 20 z. τὴν δίκην. — ὡς steht im Absichtssatze mit d. Ind., weil die Absicht nicht erreicht ist und weil der Hauptsatz mit dem Modus der Nichtwirklichkeit nur eine Annahme ausdrückt. Im D. gebr. den Conj. — εἰ μὴ — ἐδοκεῖτε, s. II, 1, 4 z. εἰ ἦλθ.

§. 24—32. Thl. III schildert die Lage der Griechen vor und nach der Vereinigung mit Seuthes und rechtfertigt Xen.'s Verfahren 1) aus dem Gesichtspunkte der Nothwendigkeit, 2) des Nutzens und wendet sich 3) an das Gefühl für Ehre bei seinen Hörern. (Rehd.)

§. 24. πράγμασιν, s. IV, 1, 17 z. d. W. — εἰς μὲν Πέρινθον ist zwar VII, 2, 11 nicht ausdrücklich erwähnt, folgt aber, da die Griechen ausserhalb der Stadt sind, aus §. 12 u. §. 16, was der Redner für seinen Zweck anwendet. — ὑπαίθριοι, s. I, 2, 25 z. προτέρα. — ἐστρατοπεδεύετε nach I, 3, 5 z. ἐρεῖ mit 'müssen'. — μέσος δὲ χειμών, wir übersetzen das Adj. adverbiell und das Hauptw. mit einer Präposition. — ἀγορᾷ δὲ ἐχρῆσθε frei: 'ihr musstet die Lebensmittel

τες τὰ ὤνια, σπάνια δ' ἔχοντες, ὅτων ὠνήσεσθε, ἀνάγκη δὲ ἦν
μένειν ἐπὶ Θρᾴκης· τριήρεις γὰρ ἐφορμοῦσαι ἐκώλυον δια- 25
πλεῖν· εἰ δὲ μένοι τις, ἐν πολεμίᾳ εἶναι, ἔνθα πολλοὶ μὲν ἱπ-
πεῖς ἦσαν ἐναντίοι, πολλοὶ δὲ πελτασταί, ἡμῖν δὲ ὁπλιτικὸν μὲν 26
ἦν, ᾧ ἀθρόοι μὲν ἰόντες ἐπὶ τὰς κώμας ἴσως ἂν ἐδυνάμεθα σῖ-
τον λαμβάνειν οὐδέν τι ἄφθονον, ὅτῳ δὲ διώκοντες ἂν ἢ ἀνδρά-
ποδα ἢ πρόβατα κατελαμβάνομεν οὐκ ἦν ἡμῖν· οὔτε γαρ ἱππι-
κὸν οὔτε πελταστικὸν ἔτι ἐγὼ συνεστηκὸς κατέλαβον παρ' ὑμῖν.
εἰ οὖν ἐν τοιαύτῃ ἀνάγκῃ ὄντων ὑμῶν μηδ' ὁντιναοῦν μισθὸν 27
προσαιτήσας Σεύθην σύμμαχον ὑμῖν προσέλαβον, ἔχοντα καὶ
ἱππέας καὶ πελταστάς, ὧν ὑμεῖς προσεδεῖσθε, ἦ κακῶς ἂν ἐδό-
κουν ὑμῖν βεβουλεῦσθαι πρὸ ὑμῶν; τούτων γὰρ δήπου κοινω- 28
νήσαντες καὶ σῖτον ἀφθονώτερον ἐν ταῖς κώμαις εὑρίσκετε διὰ
τὸ ἀναγκάζεσθαι τοὺς Θρᾷκας κατὰ σπουδὴν μᾶλλον φεύγειν,
καὶ προβάτων καὶ ἀνδραπόδων [μᾶλλον] μετέσχετε. καὶ πολέμιον 29
οὐκέτι οὐδένα ἑωρῶμεν, ἐπειδὴ το ἱππικὸν ἡμῖν προσεγένετο·
τέως δὲ θαρραλέως ἡμῖν ἐφείποντο οἱ πολέμιοι καὶ ἱππικῷ καὶ
πελταστικῷ [κωλύοντες μηδαμῇ κατ' ὀλίγους ἀποσκεδαννυμέ-
νους τὰ ἐπιτήδεια ἀφθονώτερα ἡμᾶς πορίζεσθαι]. εἰ δὲ δὴ ὁ 30
συμπαρέχων ὑμῖν ταύτην τὴν ἀσφάλειαν μὴ πάνυ πολὺν μισθὸν
προσετέλει τῆς ἀσφαλείας, τοῦτο δὴ τὸ σχέτλιον πάθημα καὶ διὰ

kaufen'. — *ὁρῶντες* u. *ἔχοντες* mit 'während' oder 'obwohl'. — *σπάνια*, beim zweiten ist *χρήματα* zu denken. — *ὅτων*, seltene Form für *ὧν τινων*. — *ἐπί* c. Gen. drückt hier die Umgebung aus; hier: 'an der Grenze'.

§. 25. *εἶναι* hängt auch von *ἀνάγκη* ab. — *πολλοὶ* — *πολλοί*, Anaphora mit der Conjunctio verbunden.

§. 26. Beachte die chiastische Stellung der Sätze: Hauptsatz, Relativsatz; Relativsatz, Hauptsatz, u. *ἡμῖν* — *ἡμῖν* den *κύκλος*, s. II, 3, 5 z. *ἄριστον*. — *ἡμῖν δέ*, wir subordinieren mit: 'während wir'. — *οὐδέν τι ἄφθονον* mit Nachdruck am Ende; im D. mache es zum Attrib. Vergl. VII, 3, 35. — *ὅτῳ* = 'eine Truppenabtheilung aber, mit' etc. — *συνεστηκός* = 'im Bestand'. — *ἀθρόον* opp. *διαλυθέν*.

§. 27. *μηδ' ὁντιναοῦν* — *προσαιτήσας*, s. I, 2, 22 z. *οὐδέν*. = 'ohne auch nur irgend welchen d. h. ohne den geringsten'. — *ἦ κακῶς κτἑ.*, der Nachsatz mit rhetorischer Lebhaftigheit in eine Frage verwandelt.

§. 28. *τούτων* bezieht sich auf *ἱππέας καὶ πελταστάς*. — *κοινωνήσαντες* frei: 'im Bunde mit'. — *μᾶλλον* nachgestellt. — *μᾶλλον μετέσχετε* passt zu VII, 3, 10 nur mit der §. 31 gegebenen Erläuterung.

§. 28. *ἐπειδὴ κτἑ.*, Nachstellung des zeitlich Früheren. — *μηδαμῇ*, s. I, 3, 2 z. *μή*. — *κατ' ὀλίγους ἀποσκεδαν.* frei: 'in kleinen Abtheilungen.'

§. 30. *ὁ συμπαρέχων*, wessen Namen umschreibt er und warum? — *μὴ πάνυ πολύν*, Euphemismus. — *μισθὸν τῆς ἀσφαλ.*, s. V, 6, 31. z. *μισθόν*. — *τοῦτο δὴ τὸ σχέτλ. κτἑ.*, eine bittere Frage

31 τοῦτο οὐδαμῇ οἴεσθε χρῆναι ζῶντα ἐμὲ ἀνεῖναι; νῦν δὲ δὴ πῶς ἀπέρχεσθε; οὐ διαχειμάσαντες μὲν ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις, περιττὸν δ' ἔχοντες τοῦτο, εἴ τι ἐλάβετε παρὰ Σεύθου; τὰ γὰρ τῶν πολεμίων ἐδαπανᾶτε. καὶ ταῦτα πράττοντες οὔτε ἄνδρας ἐπείδετε ὑμῶν αὐτῶν ἀποθανόντας οὔτε ζῶντας ἀπεβάλετε.
32 εἰ δέ τι καλὸν πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ βαρβάρους ἐπέπρακτο ὑμῖν, οὐ καὶ ἐκεῖνο σῶν ἔχετε καὶ πρὸς ἐκείνοις νῦν ἄλλην εὔκλειαν προσειλήφατε καὶ τοὺς ἐν τῇ Εὐρώπῃ Θρᾷκας, ἐφ' οὓς ἐστρατεύσασθε, κρατήσαντες; ἐγὼ μὲν ὑμᾶς φημὶ δικαίως ἄν, ὧν ἐμοὶ χαλεπαίνετε, τούτων τοῖς θεοῖς χάριν εἰδέναι ὡς ἀγα-
33 θῶν. καὶ τὰ μὲν δὴ ὑμέτερα τοιαῦτα. ἄγετε δὴ πρὸς θεῶν καὶ τὰ ἐμὰ σκέψασθε ὡς ἔχει. ἐγὼ γάρ, ὅτε μὲν πρότερον ἀπῆρα οἴκαδε, ἔχων μὲν ἔπαινον πολὺν πρὸς ὑμῶν ἀπεπορευόμην, ἔχων δὲ δι' ὑμᾶς καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν. ἐπιστευόμην δὲ ὑπὸ Λακεδαιμονίων· οὐ γὰρ ἄν με ἔπεμπον πάλιν πρὸς
34 ὑμᾶς. νῦν δὲ ἀπέρχομαι πρὸς μὲν Λακεδαιμονίους ὑφ' ὑμῶν διαβεβλημένος, Σεύθῃ δὲ ἀπηχθημένος ὑπὲρ ὑμῶν, ὃν ἤλπιζον

statt des Nachsatzes: 'so habe ich mir doch sicher einiges Verdienst erworben'.

§. 31. οὐ, eigentlich ist ἀπέρχεσθε zu wiederholen; doch kann man οὐ = nonne u. διαχειμάσαντες als Prädic. fassen = 'den Winter hindurch leben'. — εἴ τι, Xenoph. spricht zweifelhaft, obwohl er nach VII, 5, 4 bestimmt sprechen konnte. Im D. kann der Satz relativ übersetzt werden = 'was etwa'. — ταῦτα πράττοντες frei: 'in dieser glücklichen Lage'. — ἐπείδετε — ἀπεβάλετε, Chiasmus. ἀπεβάλετε, durch Gefangenschaft.

§. 32. εἰ δέ τι καλόν κτέ., hier ist der eigentliche Inhalt des Fragesatzes: 'Habt ihr nicht den in Asien erworbenen Ruhm etc.' zur Hervorhebung in einem Bedingungssatze voraufgeschickt. — καλόν τι πράττειν = 'rem bene gerere i. e. gloriam sibi rebus bene gestis parare'. — ὑμῖν, Dat. beim Passiv, s. I, 8, 12. — ἐκείνοις nach dem collectiven τι. — ἄλλην = 'neuen'. — κρατήσαντες, 'dadurch dass'. — ὧν Gen. causae: 'weswegen'.

§. 33—38. Thl. IV. Er schildert seine Verhältnisse und dabei der Soldaten Undank.

§. 33. πρὸς θεῶν, s. II, 1, 17 z. d. W. — τὰ ἐμά, Anticipation, s. I, 1, 5 z. βαρβάρ. u. II, 4, 6 z. τὸν Εὐφράτ. — ἀπῆρα, eigentlich von Schiffen, solvere ancoram. Warum konnte Xenoph. dieses Wort von sich gebrauchen? — πρότερον, s. VII. 1, 40. — ἔχων — εὔκλειαν, Anaphora mit Chiasmus gemischt. — ἔχων im D. Prädicat, so dass ἀπεπορευόμην entweder unübersetzt bleibt oder durch Hauptwort mit einer Präposit. — ὑπὸ τ. ἄλλ. Ἑλλ. s. oben §. 11 zu ὑφ' ὑμῶν. — ἐπιστευόμην, die Griechen machen das Personalobject, selbst wenn es beim Activ im Dativ steht, beim Passiv zum Subjecte = 'Vertrauen geniessen'. — οὐ γὰρ ἄν, den nicht ausgesprochenen, aus ἐπιστευόμ. zu ergänzenden Bedingungssatz deuten wir durch ein zugefügtes 'sonst' an. — ἔπεμπον, im D. ein ander tempus und modus.

§. 34. πρὸς Λακεδ. gehört zu διαβεβλημ. Durch die Wiederholung des ὑμῶν mit verschiedenen Präpositionen wird die Undankbarkeit

εὖ ποιήσας μεθ' ὑμῶν ἀποστροφὴν καὶ ἐμοὶ καλὴν καὶ παισίν,
εἰ γένοιντο, καταθήσεσθαι. ὑμεῖς δ', ὑπὲρ ὧν ἐγὼ ἀπήχθημαί 35
τε πλεῖστα, καὶ ταῦτα πολὺ κρείττοσιν ἐμαυτοῦ, πραγματευό-
μενός δὲ οὐδὲ νῦν πω πέπαυμαι ὅ,τι δύναμαι ἀγαθὸν ὑμῖν,
τοιαύτην ἔχετε γνώμην περὶ ἐμοῦ, ἀλλ' ἔχετε μέν με οὔτε φεύ- 36
γοντα λαβόντες οὔτε ἀποδιδράσκοντα· ἢν δὲ ποιήσητε ἃ λέγετε,
ἴστε, ὅτι ἄνδρα κατακεκανότες ἔσεσθε πολλὰ μὲν δὴ πρὸ ὑμῶν
ἀγρυπνήσαντα, πολλὰ δὲ σὺν ὑμῖν πονήσαντα καὶ κινδυνεύ-
σαντα καὶ ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος, θεῶν δ' ἵλεων ὄντων
καὶ τρόπαια βαρβάρων πολλὰ δὴ σὺν ὑμῖν στησάμενον, ὅπως
δέ γε μηδενὶ τῶν Ἑλλήνων πολέμιοι γένοισθε, πᾶν ὅσον ἐγὼ
ἐδυνάμην πρὸς ὑμᾶς διατεινάμενον. καὶ γὰρ οὖν νῦν ὑμῖν ἔξ- 37
εστιν ἀνεπιλήπτως πορεύεσθαι, ὅπῃ ἂν ἕλησθε, καὶ κατὰ γῆν
καὶ κατὰ θάλατταν. ὑμεῖς δέ, ὅτι πολλὴ ὑμῖν εὐπορία φαίνε-
ται, καὶ πλεῖτε ἔνθα δὴ ἐπεθυμεῖτε πάλαι, δέονταί τε ὑμῶν οἱ
μέγιστον δυνάμενοι, μισθὸς δὲ φαίνεται, ἡγεμόνες δὲ ἥκουσι

kräftig hervorgehoben. — ὅν gehört zu εὖ ποιήσας u. καταθήσεσθαι, so dass man es bei εὖ ποιήσας im D. auflösen kann in ἐπεὶ εὖ ἐποίησα αὐτόν. — καλήν durch Trennung betont. — Frei: 'Bei dem ich mir dadurch, dass ich ihm etc.' — καταθήσεσθαι = 'für sich aufbewahren, sich sichern', vergl. II, 5, 8 z. d. W.

§. 35. πλεῖστα z. ἀπήχθημαι, s. I, 2, 10 z. τὰ Λύκαια ἔθυσ. u. I, 3. 3 z. τά τε ἄλλα. — καὶ ταῦτα = 'und zwar', s. I, 4, 12 z. d. W. — τὲ — τέ gehören zusammen. — πραγματευόμενος — ὑμῖν, selbständiger Satz wie I, 1, 2 z. καὶ στρατηγόν. Im D. setze den Relativsatz fort. — τοιαύτην d. h. 'eine so schlechte'.

§. 36. ἔχετε frei: 'ich bin in eurer Gewalt'. — φεύγοντα u. ἀποδιδράσκοντα nach I, 1, 6 z. ἐπιβουλ. 1. — κατακεκανότες ἔσεσθε, Umschreibung eines Futurs. Die Bedeutung s. I, 5, 16 zu κατακεκοφ. — πολλὰ — πολλά, Anaphora in der erklärenden Apposition. — καὶ κινδυνεύσ. steigernd. — ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος = 'in und ausser der Reihe' d. h. 'sowohl wenn die Reihe an mich kam als auch sonst', oder: wenn es beim Wechsel des Commando meine Pflicht erforderte oder nicht erforderte. — θεῶν δ' ἵλεων ὄντων frei: 'durch Gnade der Götter'. — βαρβάρων im D. mit einer Präposition. Dieser Gen. erklärt sich aus dem Gebrauche, auf Inschriften erbeuteter Sachen die Person, der die Beute abgenommen ist, in den Genitiv zu setzen. Excurs §. 54. — ὅπως κτέ., Voranstellung des Nebensatzes. — ἐγὼ ἐδυνάμην, dieser Uebergang in die erste Person ist gestattet, weil Xen. mit ἄνδρα sich selbst meint. — πρὸς ὑμᾶς = 'vobis invitis'. Beispiele dieses Verfahrens s. VI, 6, 11 u. VII, 1, 25.

§. 37. ὑμεῖς δέ mit Nachdruck voran. Im Folgenden steht nicht das passende Prädicat, sondern in Folge des erregten Gefühls folgt anakoluthisch: νῦν δὴ καιρὸς ὑμῖν δοκεῖ. — ὅτι = 'weil', führt eine bittere Bemerkung ein. — εὐπορία φαίνεται = 'ihr habt Aussicht auf eine glückliche Lage'. Beachte die kurzen Sätze, welche der Bitterkeit des Ausdrucks angemessen sind. — δέονται d. h. 'bitten um eure Hülfe,

Λακεδαιμόνιοι οἱ κράτιστοι νομιζόμενοι εἶναι, νῦν δὴ καιρὸς
38 *ὑμῖν δοκεῖ εἶναι ὡς τάχιστα ἐμὲ κατακανεῖν; οὐ μὴν ὅτε γε ἐν τοῖς ἀπόροις ἦμεν, ὦ πάντων μνημονικώτατοι, ἀλλὰ καὶ πατέρα ἐμὲ ἐκαλεῖτε καὶ ἀεὶ ὡς εὐεργέτου μεμνῆσεσθαι ὑπισχνεῖσθε. οὐ μέντοι ἀγνώμονες οὐδὲ οὗτοί εἰσιν οἱ νῦν ἥκοντες ἐφ' ὑμᾶς· ὥστε, ὡς ἐγὼ οἶμαι, οὐδὲ τούτοις δοκεῖτε βελτίονες εἶναι τοιοῦτοι ὄντες περὶ ἐμέ. ταῦτ' εἰπὼν ἐπαύσατο.*

39 *Χαρμῖνος δὲ ὁ Λακεδαιμόνιος ἀναστὰς εἶπεν, Οὐ τὼ σιώ, ἀλλ' ἐμοὶ μέντοι οὐ δικαίως δοκεῖτε τῷ ἀνδρὶ τούτῳ χαλεπαίνειν· ἔχω γὰρ καὶ αὐτὸς αὐτῷ μαρτυρῆσαι. Σεύθης γὰρ ἐρωτῶντος ἐμοῦ καὶ Πολυνίκου περὶ Ξενοφῶντος, τίς ἀνὴρ εἴη, ἄλλο μὲν οὐδὲν εἶχε μέμψασθαι, ἄγαν δὲ φιλοστρατιώτην ἔφη αὐτὸν εἶναι· διὸ καὶ χεῖρον αὐτῷ εἶναι πρὸς ἡμῶν τε τῶν Λα-*
40 *κεδαιμονίων καὶ πρὸς αὐτοῦ. ἀναστὰς ἐπὶ τούτῳ Εὐρύλοχος Λουσιάτης Ἀρκὰς εἶπε, Καὶ δοκεῖ γέ μοι, ἄνδρες Λακεδαιμόνιοι, τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι, παρὰ Σεύθου ἡμῖν τὸν μισθὸν ἀναπρᾶξαι ἢ ἑκόντος ἢ ἄκοντος, καὶ μὴ πρότερον*
41 *ἡμᾶς ἀπαγαγεῖν. Πολυκράτης δὲ Ἀθηναῖος εἶπεν ἐνετὸς ὑπὸ Ξενοφῶντος, Ὁρῶ γε μήν, ἔφη, ὦ ἄνδρες, καὶ Ἡρακλείδην ἐνταῦθα παρόντα, ὃς παραλαβὼν τὰ χρήματα, ἃ ἡμεῖς ἐπονήσαμεν, ταῦτα ἀποδόμενος οὔτε Σεύθῃ ἀπέδωκεν οὔτε ἡμῖν τα γιγνόμενα, ἀλλ' αὐτὸς κλέψας πέπαται. ἢν οὖν σωφρονῶμεν,*

begehren eure Dienste'. — *μισθὸς δὲ φαίνεται*, 'habt Aussicht auf Sold'. — *οἱ* gehört z. *νομιζόμενοι*, s. I, 3, 9 z. *τὸν βουλόμ.*

§. 38. *οὐ μήν* sc. *καιρὸς ἐδόκει εἶναι.* — *μνημονικώτατοι* ironisch. Rehd.: 'Ihr Meister im Gedenken'. — *ἀλλά*, 'sondern damals'. — *οὗτοι* mit einer Handbewegung auf Charminos und Polynikos. — *βελτίονες*, als wenn ihr nicht so undankbar wäret. — *ταῦτ' εἰπών*, abschliessendes Asyndeton. S. auch I, 3, 13 z. d. W.

§. 39. Charminos zeugt für Xenophon.

οὐ τὼ σιώ, s. VI, 6, 34 z. d. W. — *μέντοι*, Xenophons Ausspruch bestätigend. — *ἔχω* = 'ich kann'. — *αὐτὸς αὐτῷ*, gegensätzliche Paronomasie. — *ἐρωτῶντος*, warum der Singul.? — Zur Sache s. oben §. 4. — *ἄγαν δέ* im D. durch 'als dass' anzuknüpfen. — *χεῖρον*, s. III, 3, 15 z. *βέλτιον*.

§. 40—41. Eurylochos und Polykrates schieben alle Schuld auf Seuthes und Herakleides.

§. 40. *ἀναστάς*, s. I, 3, 20 z. *ἔδοξε*, s. auch §. 42. — *τοῦτο* gehört nach I, 3, 3 z. *τά τε ἄλλα* z. *στρατηγῆσαι* = 'dieses Feldherrnamt für uns führet'. — *ἀναπρᾶξαι*, epexegetischer Inf. — *ἢ ἑκόντος*, betonte Stellung.

§. 41. *Πολυκράτης*, schon oben VII, 2, 17 Freund des Xenophon. — *ἐνταῦθα* mit einer Handbewegung. — *παραλαβών* u. *ἀποδόμενος* concessiv. — *ἐπονήσαμεν* prägnant: 'durch Mühen erwerben'. — *τὰ γιγνόμενα*, 'das eingenommene Geld'. V, 3, 4 steht *τὸ ἀργύριον*

ἑξόμεθα αὐτοῦ. οὐ γὰρ δὴ οὗτός γε, ἔφη, Θρᾷξ ἐστίν, ἀλλ' Ἕλλην ὢν Ἕλληνας ἀδικεῖ.

Ταῦτα ἀκούσας ὁ Ἡρακλείδης μάλα ἐξεπλάγη· καὶ προσ- 42 ελθὼν τῷ Σεύθῃ λέγει, Ἡμεῖς ἢν σωφρονῶμεν, ἄπιμεν ἐντεῦθεν ἐκ τῆς τούτων ἐπικρατείας. καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους ᾤχοντο ἀπελαύνοντες εἰς τὸ ἑαυτῶν στρατόπεδον. καὶ ἐντεῦθεν 43 Σεύθης πέμπει Ἀβροζέλμην τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς Ξενοφῶντα καὶ κελεύει αὐτὸν καταμεῖναι παρ' ἑαυτῷ ἔχοντα χιλίους ὁπλίτας, καὶ ὑπισχνεῖται αὐτῷ ἀποδώσειν τά τε χωρία τὰ ἐπὶ θαλάττῃ καὶ τἆλλα ἃ ὑπέσχετο. καὶ ἐν ἀπορρήτῳ ποιησάμενος λέγει, ὅτι ἀκήκοε Πολυνίκου, ὡς, εἰ ὑποχείριος ἔσται Λακεδαιμονίοις, σαφῶς ἀποθανοῖτο ὑπὸ Θίβρωνος. ἐπέστελλον δὲ 44 ταῦτα καὶ ἄλλοι πολλοὶ τῷ Ξενοφῶντι, ὡς διαβεβλημένος εἴη καὶ φυλάττεσθαι δέοι. ὁ δὲ ἀκούων ταῦτα δύο ἱερεῖα λαβὼν ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ, πότερά οἱ λῷον καὶ ἄμεινον εἴη μένειν παρὰ Σεύθῃ ἐφ' οἷς Σεύθης λέγει ἢ ἀπιέναι σὺν τῷ στρατεύματι. ἀναιρεῖ δὲ αὐτῷ ἀπιέναι.

Ἐντεῦθεν Σεύθης μὲν ἀπεστρατοπεδεύσατο προσωτέρω· VII. οἱ δὲ Ἕλληνες ἐσκήνησαν εἰς κώμας ὅθεν ἔμελλον πλεῖστα ἐπισιτισάμενοι ἐπὶ θάλατταν ἥξειν. αἱ δὲ κῶμαι αὗται ἦσαν δεδο-

γενόμενον. — κλέψας, 'unterschlagen'. Ein weniges lieferte er VII, 5, 2 sqq. ab. — ἔχεσθαί τινος, 'sich an einen halten'. — Θρᾷξ, dem ein Betrug nicht übel genommen werden kann, s. VII, 5, 7 die Bemerkung über Seuthes.

§. 42—44. Herakleides und Seuthes entfernen sich: letzterer lässt dem Xenophon neue Anträge machen.

§. 42. ἡμεῖς ἢν σωφρονῶμεν mit zugefügtem Pron.; des Gegensatzes wegen gebraucht Herakl. des Polykrates Wendung. — ἐκ τῆς — ἐπικρατ. frei: 'aus dem Bereich dieser', vergl. VI, 4, 4. — ᾤχοντο mit Partic. s. I, 1, 2 z. λαβών.

§. 43. κελεύει u. ὑπισχνεῖται, s. I, 1, 3 z. συλλαμβ. — τά τε χωρία, s. VII, 2, 25. 38. 5, 8. — ἐν ἀπορρήτῳ ποιησάμ. = 'als Geheimniss eröffnen lassen'. — ἔσται, Xenophon. — ὑπό warum bei ἀποθανεῖσθαι?

§. 44. ἐπέστελλον, durch Briefe oder Boten. — ταῦτα auf das Folgende hinweisend. — ἄλλοι, aus der Umgebung des Seuthes. — ἀκούων ταῦτα, 'auf diese Nachricht'. — δύο, s. VI, 1, 22 z. d. W. — λαβών unübersetzt. — τῷ Διί. s. III, 2, 9. — λῷον καὶ ἄμεινον, s. VI, 2, 15 z. d. W. — ἐφ' οἷς, 'unter den Bedingungen, die'. — ἀναιρεῖ eigentlich von Orakelsprüchen, s. III, 1, 6. Was für ein Asyndeton? — ἀπιέναι, im D. genügt ein Pronomen.

VII. Verhandlungen mit Seuthes wegen des Soldes.

§. 1—3. Medosades, unwillig über die Ausplünderung seiner Dörfer, verlangt den Abzug der Griechen.

§. 1. ἀπεστρατοπεδεύσατο, warum ἀπό? III, 4, 34 stand noch ein Genit. dabei. — ἐσκήνησ. εἰς κώμας, εἰς, weil ein Marsch vorausgegangen. S. I, 2, 2 z. παρῆσαν. — ὅθεν, s. I, 2, 8 z. d. W.

2 μέναι ὑπὸ Σεύθου Μηδοσάδη. ὁρῶν οὖν ὁ Μηδοσάδης δαπανώμενα τὰ ἐν ταῖς κώμαις ὑπὸ τῶν Ἑλλήνων χαλεπῶς ἔφερε· καὶ λαβὼν ἄνδρα Ὀδρύσην δυνατώτατον τῶν ἄνωθεν καταβεβηκότων καὶ ἱππέας ὅσον τριάκοντα ἔρχεται καὶ προκαλεῖται Ξενοφῶντα ἐκ τοῦ Ἑλληνικοῦ στρατεύματος. καὶ ὃς λαβών τινας τῶν λοχαγῶν καὶ ἄλλους τῶν ἐπιτηδείων προσέρχεται.

3 ἔνθα δὴ λέγει Μηδοσάδης, Ἀδικεῖτε, ὦ Ξενοφῶν, τὰς ἡμετέρας κώμας πορθοῦντες. προλέγομεν οὖν ὑμῖν, ἐγώ τε ὑπὲρ Σεύθου καὶ ὅδε ἀνὴρ παρὰ Μηδόκου ἥκων τοῦ ἄνω βασιλέως, ἀπιέναι ἐκ τῆς χώρας· εἰ δὲ μή, οὐκ ἐπιτρέψομεν ὑμῖν, ἀλλ', ἐὰν ποιῆτε κακῶς τὴν ἡμετέραν χώραν, ὡς πολεμίους ἀλεξόμεθα.

4 Ὁ δὲ Ξενοφῶν ἀκούσας ταῦτα εἶπεν, Ἀλλὰ σοὶ μὲν τοιαῦτα λέγοντι καὶ ἀποκρίνασθαι χαλεπόν· τούτου δ' ἕνεκα τοῦ νεανί-
5 σκου λέξω, ἵν' εἰδῇ, οἷοί τε ὑμεῖς ἐστε καὶ οἷοι ἡμεῖς. ἡμεῖς μὲν γάρ, ἔφη, πρὶν ὑμῖν φίλοι γενέσθαι ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας, ὅποι ἐβουλόμεθα, ἣν μὲν ἐθέλοιμεν πορθοῦντες,
6 ἣν δ' ἐθέλοιμεν καίοντες, καὶ σὺ ὁπότε πρὸς ἡμᾶς ἔλθοις πρεσβεύων, ηὐλίζου τότε παρ' ἡμῖν οὐδένα φοβούμενος τῶν πολεμίων· ὑμεῖς δὲ οὐκ ἦτε εἰς τήνδε τὴν χώραν, ἢ εἴ ποτε ἔλθοιτε, ὡς ἐν κρειττόνων χώρᾳ ηὐλίζεσθε ἐγκεχαλινωμένοις τοῖς ἵπ-
7 ποις. ἐπεὶ δὲ ἡμῖν φίλοι ἐγένεσθε καὶ δι' ἡμᾶς σὺν θεοῖς ἔχετε τήνδε τὴν χώραν, νῦν δὴ ἐξελαύνετε ἡμᾶς ἐκ τῆσδε τῆς χώρας,

§. 2. τὰ ἐν τ. κ., im D. muss das Hauptwort gesetzt werden. — ἄνωθεν, Oberthrakien. Zur Sache VII, 5, 15. — προκαλεῖται, s. I, 1, 3 z. συλλαμβ. mit Beachtung des Mediums. — καὶ ὅς, s. 1, 8, 16 z. d. W.

§. 3. πορθοῦντες, mit 'dass'. — ἐγώ τε καὶ ὅδε, Apposition zu Subj. — ὑπέρ, frei: 'im Namen'. — Μηδόκου, s. VII, 2, 32. 3, 16. — ἐπιτρέψομεν sc. χώραν nach I, 4, 8 z. τούτων στερήσ. — ὑμῖν gehört nach demselben Citat auch z. ἀλεξόμεθα.

§. 4—10. Xenophon erinnert ihn derb daran, dass er den Griechen den Besitz verdanke.

§. 4. τοιαῦτα λέγοντι frei: 'auf solche Aeusserungen'. — καὶ ἀποκρ., 'auch nur'. — χαλεπόν, 'widerlich, unangenehm'.

§. 5. Beachte die gegen §. 4. chiastisch folgende Erklärung zu ὑμεῖς und ἡμεῖς. — ἣν μὲν — ἣν δέ, contrahierte Relativsätze. Im D. 'die eine — die andre' u. ἐθέλοιμεν frei: nach Belieben'. S. auch I, 1, 5 z. ὅστις ἀφικνοῖτο.

§. 6. ἔλθοις, Optat. iterat. Zur Sache VII, 5, 2. 10. 24. 25. — οὐδένα φοβούμενος, s. I, 2, 22 z. οὐδενός. — ἐγκεχαλινωμένοις, VII, 2, 21. Es ist Gegensatz von οὐδένα φοβούμ.; statt aber zu sagen 'in grösster Furcht', giebt er an, wodurch die Furcht sich äussert. Es liegt in dieser Wendung bittrer Spott.

§. 7. νῦν δή, δή ironisch: 'nun

ἣν παρ' ἡμῶν ἐχόντων κατὰ κράτος παρελάβετε· ὡς γὰρ αὐτὸς
οἶσθα, οἱ πολέμιοι οὐχ ἱκανοὶ ἦσαν ἡμᾶς ἐξελαύνειν. καὶ οὐχ 8
ὅπως δῶρα δοὺς καὶ εὖ ποιήσας ἀνθ' ὧν εὖ ἔπαθες ἀξιοῖς ἡμᾶς
ἀποπέμψασθαι, ἀλλ' ἀποπορευομένους ἡμᾶς οὐδ' ἐναυλισθῆ-
ναι ὅσον δύνασαι ἐπιτρέπεις. καὶ ταῦτα λέγων οὔτε θεοὺς αἰ- 9
σχύνει οὔτε τόνδε τὸν ἄνδρα, ὃς νῦν μέν σε ὁρᾷ πλουτοῦντα,
πρὶν δὲ ἡμῖν φίλον γενέσθαι ἀπὸ λῃστείας τὸν βίον ἔχοντα, ὡς
αὐτὸς ἔφησθα. ἀτὰρ τί πρὸς ἐμὲ λέγεις ταῦτα; ἔφη· οὐ γὰρ 10
ἔγωγ' ἔτι ἄρχω, ἀλλὰ Λακεδαιμόνιοι, οἷς ὑμεῖς παρεδώκατε τὸ
στράτευμα ἀπαγαγεῖν οὐδὲν ἐμὲ παρακαλέσαντες, ὦ θαυμαστό-
τατοι, ὅπως, ὥσπερ ἀπηχθανόμην αὐτοῖς ὅτε πρὸς ὑμᾶς ἦγον
οὕτω καὶ χαρισαίμην νῦν ἀποδιδούς.
Ἐπεὶ ταῦτα ἤκουσεν ὁ Ὀδρύσης, εἶπεν, Ἐγὼ μέν, ὦ Μη- 11
δόσαδες, κατὰ τῆς γῆς καταδύομαι ὑπὸ τῆς αἰσχύνης ἀκούων
ταῦτα. καὶ εἰ μὲν πρόσθεν ἠπιστάμην, οὐδ' ἂν συνηκολούθησά
σοι· καὶ νῦν ἄπειμι. οὐδὲ γὰρ ἂν Μήδοκός με ὁ βασιλεὺς ἐπαι-
νοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐεργέτας. ταῦτ' εἰπὼν ἀναβὰς ἐπὶ 12
τὸν ἵππον ἀπήλαυνε καὶ σὺν αὐτῷ οἱ ἄλλοι ἱππεῖς πλὴν τεττά-
ρων ἢ πέντε. ὁ δὲ Μηδοσάδης, ἐλύπει γὰρ αὐτὸν ἡ χώρα πορ-

freilich'. — ἐξελαύνετε, Praes., weil die Handlung noch nicht zum Abschluss gebracht ist, mit 'wollen' zu übersetzen. — ἐκ τῆσδε, mit Bitterkeit den Begriff bezeichnend, ist nachdrücklicher als ἐκ ταύτης. — κατὰ κράτος gehört z. ἐχόντων = a nobis, qui per vim occupatam tenebamus. — ὡς γάρ im D. ein Zwischensatz, wobei γάρ in den Satz οἱ πολέμιοι tritt.

§. 8. οὐχ ὅπως = 'nicht nur nicht'. — ἀνθ' ὧν, Attraction, s. I, 3, 4 z. d. W. — ἀποπέμψασθαι = 'entlassen'. So oft das Medium. — ἀποπορευομένους ἡμᾶς nach I, 1, 6 z. ἐπιβουλ. 1: 'bei unsrer Abreise'.

